

ΙΤΙΧΑΣΑΣΑΜΟΥΤΣΑΪΑ,

ΤΟΥΤΕΣΤΙΝ

ΑΡΧΑΙΟΛΟΓΙΑΣ ΣΥΛΛΟΓΗ,

Ἢ

Περὶ διαλόγων τε καὶ μύθων φιλοσοφικῶν, νομίμων τε καὶ ἐθίμων ἰνδικῶν, συλλεχθέντων κατ' ἐκλογὴν ἐκ τῆς Μαχαβαράτας, συγγραφείσης ὑπὸ τοῦ φιλοσόφου Βεάσα.

ΜΕΤΑΦΡΑΣΘΕΙΣΑ ΕΚ ΤΟΥ ΒΡΑΧΜΑΝΙΚΟΥ

ΠΑΡΑ

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ,

ΑΘΗΝΑΙΟΥ.

Νῦν δὲ πρῶτον ἐκδοθεῖσα,

Καὶ μετὰ προλεγομένων καὶ παρατηρήσεων αὐξηθεῖσα,

Δαπάνῃ μὲν καὶ μελέτῃ

ΓΕΩΡΓΙΟΥ Κ. ΤΥΠΑΛΔΟΥ,

Ἐφόρου τῆς Δημοσίου καὶ Πανεπιστημιακῆς Βιβλιοθήκης,

Ἐπιστασίᾳ δὲ

Γ. ΑΠΟΣΤΟΛΙΔΟΥ ΚΟΣΜΗΤΟΥ,

Βιβλιοφύλακος.






ΕΝ ΑΘΗΝΑΙΣ.

Ἐκ τῆς Τυπογραφίας Γ. Χαρτοφύλακος.

1851.





ΤΗ

ΜΕΓΑΛΕΙΟΤΑΤΗ

ΒΑΣΙΛΙΣΣΗ

ΤΗΣ

ΕΛΛΑΔΟΣ

ΑΜΑΛΙΑ

ΤΗΝ ΥΠΟ

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ

Ἐκ τοῦ Ἰνδικοῦ μεταφρασθεῖσαν βίβλον,

τὴν ἐπὶ τῶν

ἡμερῶν τῆς Ἀντιβασιλείας

ΑΥΤΗΣ

ΕΚΔΟΘΕΙΣΑΝ

Εὐσεβάστως ἀνατίθησιν

Εὐγνωμονῶν

Ὁ ΕΚΔΟΤΗΣ.



ΠΡΟΛΕΓΟΜΕΝΑ.

Σπουδαια, καὶ λίαν περίεργος ἐστὶν ἡ ὕλη τοῦ παρόντος ποιήματος, καὶ ἀνεκτίμητος ἡ πραγματικὴ αὐτοῦ ἀξία. Καθότι, ἐκτὸς τῶν πρεσβευομένων ἐν τῇ Ἰνδίᾳ φιλοσοφικῶν, καὶ θεολογικῶν δοξασιῶν, περιέχει, ἐν κεφαλαίῳ, πίνακα οὕτως εἰπεῖν, ἀρετῶν τε καὶ κακιῶν, καὶ ἀρχὰς ἠθικῆς, διδασκούσης τὰ καθ᾽ ὅλας τὰς τάξεις καὶ περιστάσεις καθήκοντα τοῦ ἀνθρώπου, οὐ μόνον πρὸς τὸ Θεῖον, καὶ τὸν ἄνθρωπον, ἀλλὰ καὶ τὸν πρὸς αὐτὰ τὰ ἄλογα ζῶα, ἢ μᾶλλον εἰπεῖν, πρὸς πάντα τὰ ἔμψυχα οἶκτον καὶ συμπάθειαν, κατὰ τὸ παρ᾽ Ἰνδοῖς πρευεσβόμενον σύστημα τοῦ Πανθεϊσμοῦ.

Τὰ ὑψηλὰ ταῦτα παραγγέλματα ἐντέλλεται ἡ Βεδικὴ θεολογία, διατάσσει ἡ τοῦ Μανοῦ θεσμοθεσία, ἑρμηνεύει ἡ ἐπικὴ Μαχαβαράτα, ἐξηγεῖ ἡ τῆς Γιτᾶς θεοδιδασκαλία, καὶ ἀποδεικνύει ἡ παροῦσα πραγματεία διὰ κομψῶν ἀφηγήσεων καὶ ποικίλων παραδειγμάτων.

Δύο ἀρχαῖα ἐπικὰ ποιήματα, ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη(1), ἔχουσιν οἱ Ἰνδοί. Τὸ μὲν ἐστὶν ἡ τοῦ Βαλμίκη Ῥαμαϊάνα· τὸ δὲ ἡ Μαχαβαράτα τοῦ Βεάσα. Ὁ τελευταῖος οὗτος, κατὰ τὴν μαρτυρίαν αὐτοῦ τοῦ συγγραφέως « καὶ τὴν θαυμαστὴν » Μαχαβαράταν συνεγράψατο, καὶ τὰς Βέδας ἐν τάξει ἔθε- » το (2). Ἐκτὸς ὅμως τούτων, ὁ αὐτὸς Βεάσας ἐσύνθεσε καὶ

(1) Προλεγόμενα Βαλαβαράτας, καὶ Ῥαγγοῦ-Βάνσας.

(2) Προοίμιον τῆς Ἰτιχασασαμουτσαΐας δίστ. 7.

α

τὴν ἐπιτομὴν τῶν Βεδῶν, ἣν Βεδάγγαν ὠνόμασε (1). Ἡ Μαχαβαράτα οὖν, καί τοι περιγράφουσα τὸν μεταξὺ Πανδοϊδῶν, καὶ Καουραβῶν ὑπὲρ τῆς διαδοχῆς τῆς Βασιλείας μέγαν πόλεμον, βρίθει μᾶλλον τῆς Ῥαμαϊάνας, θεολογικῶν καὶ μεταφυσικῶν ἐννοιῶν, καὶ ἠθικῶν παραγγελμάτων. Καθότι ὁ Βεάσας, μέγας ὢν ποιητὴς καὶ σοφὸς, ὑπῆρξε συγχρόνως καὶ ἀρχηγὸς ἐπισημοτάτης θεολογικῆς σχολῆς, ἥτις ἔτι καὶ νῦν διατηρεῖται, καὶ πολλοὺς λίαν διακεκριμένους Βραχμάνας ἔχει ὀπαδούς (2), ὥστε ἡ Μαχαβαράτα ἐςὶν ἐπικὸν ἅμα καὶ θεολογικὸν ποίημα.

Ἀλλ' ἐπειδὴ ἡ ἐπικὴ αὕτη Μαχαβαράτα, ἥτις ἕνεκα τοῦ μικτοῦ αὐτῆς χαρακτῆρος, καὶ τῶν ἐν αὐτῇ μακρῶν Ἐπεισοδίων σύγκειται ἐκ διακοσίων, περίπου, χιλιάδων Σλοκῶν, ἤτοι διςίχων, ἐςὶ λίαν ἐκτεταμένη· αἱ δὲ θεολογικαὶ ἀρχαὶ, καὶ τὰ ἠθικὰ διηγήματα εἰσὶ τῆδε κακεῖσε διασκορπισμένα· τούτων ἕνεκα, ὁ μὲν ποιητὴς Ἀμάρας, συντεμὼν αὐτὴν, καὶ τὸ ἡρωϊκὸν μέρος λαβὼν, τὴν παρ' ἡμῖν δημοσιευθεῖσαν Βαλαβαράταν ἐσύνθεσεν· αὐτὸς δ' ὁ Βεάσας, τὴν ὑψηλὴν καὶ μυστικὴν θεολογίαν χωρίσας, εἰς ἰδιαίτερον ἐπεισόδιον κατεχώρισε, καὶ Γιτὰν, ἢ Θεσπέσιον μέλος ὠνόμασεν. Ἕτερος δὲ ποιητὴς ἄγνω-

---

(1) Τὴν ἐπιτομὴν αὐτῆς εὑρίσει ὁ ἀναγνώστης ἐν τῷ συγγράμματι τοῦ Ῥαγιὰ Ῥαμμοχοὺν-Ῥόη (Rammokun Roy) ἀγγλιστὶ ἐκδοθεῖσαν κατα τὸ 1832 ἐν Λονδίνῳ, καὶ ὑπ' ὄψιν τοῦ σοφοῦ τούτου Βραχμᾶνος τυπωθεῖσαν.

(2) Ὁ Βραχμὰν Ῥαμμοχοὺν Ῥόης εἶναι βεβαίως ὀπαδὸς τοῦ Βεάσα. Καθότι αἱ ἀρχαὶ, τὰς ὁποίας ἐκθέττει οὗτος ἐν τῷ προῤῥηθέντι συγγράμματι, συμφωνοῦσι κατὰ πάντα, ὡς πρὸς τὰς θεολογικὰς δοξασίας τοῦ τριακοστοῦ τρίτου Κεφαλαίου τῆς παρούσης πραγματείας, ὅπερ περὶ Θεοσεβείας ἐπιγράφεται· ἐπίσης δὲ καὶ ὡς πρὸς τὴν θεοδιδασκαλίαν τῆς Γιτᾶς, καὶ τὴν τῆς Βεδάγγας τοῦ Βεάσα.

ϛος, κατὰ δυστυχίαν, μέχρι τοῦδε εἰς ἡμᾶς, ἅπαν τὸ ἠθικὸν καὶ προτρεπτικὸν μέρος συλλέξας, τὴν παροῦσαν *αὐθύπαρκτον πραγματείαν* ἐσχημάτισε, καὶ Ἰτιχασασαμουτσαΐαν ἐκάλεσεν (1).

Ἔστι δ' ἡ λέξις αὕτη σύνθετος ἀφ' ἑνὸς μὲν, ἐκ τῆς *Ἰτιχάσα*, ἥτις διήγημα καὶ ἔπος δηλοῖ, καὶ ἀφ' ἑτέρου, ἐκ τῆς *Σαμουσταΐα*, ἥτις συλλογὴν καὶ ἐκλογὴν φανερώνει· ὥστε Ἰτιχασασαμουτσαΐα ἐστὶ συλλογὴ καὶ ἐκλογὴ καὶ, ὡς ἔπος εἰπεῖν, χρηστομάθεια, ἢ ἀπάνθισμα, καὶ ἐκλόγιον ἐκ τοῦ ἐπικοῦ ποιήματος τῆς Μαχαβαράτας, ὑπό τινος ἀνωνύμου, ἢ τοὐλάχιστον ἀγνώστου παρ' ἡμῖν συλλογέως ποιητοῦ, συνοπτικῶς συμπιληθὲν, ὡς αὐτὸς ὁ συγγραφεὺς ἐν τῷ προοιμίῳ αὐτοῦ βεβαιοῖ. « Μὴ δὲ ζητήτω, λέγει, ὁ ἀγαθὸς » ἀναγνώστης ἐν τῇ παρούσῃ πραγματείᾳ τάξιν τῶν ἐν τῇ » Βαράτᾳ ἀφηγήσεων· καὶ γὰρ, κατὰ *τὸ ὃ ἔχει ὄνομα* » (Ἰτιχάσα-Σαμουτσαΐα) συλλογὴ καὶ ἐκλογή ἐστι τῆς ἐν » τῇ Μαχαβαράτᾳ ἀρχαιολογίας (2). » Περιέχει δὲ παραγ-

---

(1) Ἡ Ἰτιχάσα Σαμουτσαΐα σύγκειται ἐκ τριῶν καὶ τριάκοντα Κεφαλαίων, ἐξ ὧν τὰ μὲν τριάκοντα δύο ἠρανίσθη ὁ ποιητὴς ἐκ τῆς Μαχαβαράτας· τὸ δὲ ἓν, ἤτοι τὸ περὶ τῆς Δαμάλεως Βαχουλᾶς, ἐκ τῆς Βρινδαβαναμαχάτμας. Τὸ τερπνότατον ἑπομένως διήγημα τῆς Βαχουλᾶς λείπει, φαίνεται, ἐκ τῶν χειρογράφων τοῦ Λονδίνου, καὶ τῆς ἐθνικῆς βιβλιοθήκης τῶν Παρισίων, καθότι τριάκοντα καὶ δύο μόνον περιέχουσιν ἐκεῖνα Κεφάλαια. Νομίζομεν ὅμως ὅτι ὁ πλήρης ἠθικῆς διδασκαλίας μῦθος τῆς Βαχουλᾶς ἀνήκει μᾶλλον εἰς ἠθικῶν διηγημάτων συλλογὴν παρὰ τὸ τριακοστὸν τρίτον κεφάλαιον, ὅπερ ἐστὶν ὅλως θεολογικὸν, ἀφορίζον, οὕτως εἰπεῖν, τὸ ἄκρον ἀγαθὸν, τὸ ὕψιστον Θεῖον, καὶ τὴν πρὸς αὐτὸ ἀπαιτουμένην λατρείαν. Τὸ κεφάλαιον τοῦτο, ἢ τὴν ὕλην αὐτοῦ ἐρανίσθη, φαίνεται, ὁ ποιητὴς ἐξ αὐτῆς τῆς Βεδάγγας τοῦ Βεάσα. Ἀξιοσημείωτος δὲ ὁ ἀριθμὸς τῶν στίχων τοῦ παρόντος ποιήματος, ἤτοι 3333. Καθότι ἡ τριὰς ἐστὶν ἡ δημιουργικὴ ἐμφάνισις τοῦ ὑψίστου Ὄντος.

(2) Προοίμιον δίστ. 25. Σημειωτέον, ὅτι ἡ Μαχαβαράτα, καὶ Βαράτα ἐνίοτε, συντομίας χάριν, λέγεται.

γέλματα, καὶ ἠθικὴν διδασκαλίαν παρουσιαζομένην, ὡς ἐπιτοπολὺ, διὰ τερπνῶν διηγημάτων, κομψῶν ἀφηγήσεων, καὶ μύθων ἀμιμήτου, τῳόντι, καλλονῆς. Διὰ τοῦτο ὁ ποιητὴς *βακτηρίαν*, εἰκονικῶς αὐτὴν, ὡς καὶ τὴν Μαχαβαράταν, ὀνομάζει τοῦ προσπταίοντος ἀνθρώπου ἐν τῇ τρίβῳ τοῦ βίου τούτου (1).

Ὁ δὲ ἐν Λονδίνῳ σοφὸς Καθηγητὴς Κ. Οὐΐλσὼν γράφει πρὸς ἡμᾶς. «Ὅτι Ἰτιχάσα Σαμουτσαΐα ἐστὶ συλλογὴ ἱστοριῶν, » καὶ διηγημάτων ἠθικῶν, ἐκ παραδόσεως διατηρηθέντων, καὶ » ἐκ τῆς Μαχαβαράτας ἐξαχθέντων, ἰδίως δὲ ἐκ τοῦ Κεφαλαίου » ἢ βιβλίου καλουμένου Σαντί-Πάρβα.»

Ἡ Ἰτιχάσα Σαμουτσαΐα δὲν εὑρίσκεται καταγεγραμμένη ἐν οὐδενὶ τῶν παρ' ἡμῖν καταλόγων καὶ χρηστομαθειῶν (2), οὐδὲ ἐν τῇ Σανκριτικῇ βιβλιοθήκῃ τοῦ Ἀδελούγκου ἀναφέρεται (3). Ἐκ τούτου εἰκάσας, ὅτι τὸ σύγγραμμα ἐστὶν, ἢ παντάπασιν ἄγνωστον, ἢ μικρὸν, καὶ μόλις ἐγνωσμένον, ἔγραψα πρός τινας τῶν ἐπισήμων ἰνδολόγων, οἵτινες καὶ τὰς ἐκδόσεις ἡμῶν μετὰ πολλῆς ἐπιεικείας κρίνουσι (4), καὶ

---

(1) Αὐτόθι δίστ. 3.

(2) An Historical sketch of sanscrit literature, Oxford 1832 vol. I. James Maddens. Oriental Catalogue. London 1847. Τὰ δὲ παραρτήματα μέχρι τοῦ 1850. Catalogue of Books and manuscripts in oriental literature. By W. H. Allen. Loudon 1848.

(3) Bibliotheca Sanscrita. Adelung. 1837. St. Petersbourg.

(4) Τοιοῦτοι εἰσὶν οἱ ΚΚ. Λάσσενος, Κ. Οὐΐλσὼν, Κ. Κλάρκος, κτλ. Ὁ τελευταῖος οὗτος γραμματεὺς τῆς ἐν Λονδίνῳ Ἀσιατικῆς Ἑταιρίας προσθέτει, ὅτι ἀναγνώσας ἐν τοῖς προλεγομένοις τῆς Γιτᾶς τὴν σύγκρισιν τῶν Ἰνδικῶν καὶ Ἑλληνικῶν φιλοσοφημάτων, καὶ τὴν ταὐτότητα αὐτῶν παρατηρήσας, ὑπέλαβον, ὅτι μία ψυχὴ εἰς δύο μερίδας, οὕτως εἰπεῖν,

πρόθυμοί εἰσιν, ὅπως παντὶ σθένει συνδράμωσιν ἡμᾶς. Καὶ ὁ μὲν σοφὸς τῆς Βόνης κριτικὸς Κ. Λάσσενος, σπεύσας ἀπήντησε καλοκἀγάθως, « Ὅτι τὸ περὶ οὗ ὁ λόγος ποίημα, ἀναφέ-
» ρεται μὲν ἐν τῷ καταλόγῳ τῶν σανκριτικῶν χειρογράφων
» τοῦ Λαγγλεσίου καὶ Ἀμιλτῶνος (σελ. 21 ἀριθ. XX 34), καὶ
» ὡς συλλογὴ *ἠθικῶν διηγημάτων* ἑρμηνεύεται παρὰ τῶν
» ἐκδοτῶν τοῦ καταλόγου· ἀλλ' ὅτι οὐδεμία, ποτὲ, εἰς οὐδὲν
» μέρος ἐφάνη τοῦ κειμένου ἐκτύπωσις, ἢ μετάφρασις αὐτοῦ,
» οὐδ' ἀνάλυσίς τις ἢ ἔκθεσις τοῦ ποιήματος τούτου ἐδημοσι-
» εύθη ποτὲ ἐν οὐδενὶ περιοδικῷ συγγράμματι. »

Ὁ δὲ ἐν Λονδίνῳ διάσημος Ἰνδολόγος Κ. Οὐϊλσὼν, βεβαιοῖ μὲν ἐν συντόμῳ τὰ αὐτὰ διὰ τοῦ Κ. Κλάρκου· ἐκθέττει δ' ἀκολούθως, κατ' εὐθεῖαν ἀπαντῶν πρὸς ἡμᾶς· « Ὅτι οὐδεμία μετάφρασις τῆς Ἰτιχάσα-Σαμουτσαΐας γνω-
» ρίζεται, ἂν καὶ αἱ περὶ Μαχαβαράτας ἐκθέσεις καὶ
» αναλύσεις οὐκ εἰσὶ σπάνιαι. Ὁ ἐρανιστὴς, τῆς Ἰτι-
» χασα-Σαμουτσαΐας ἐστὶν ἀναμφιβόλως νεωτέρας ἐπο-
» χῆς, ὅστις πρὸς ἠθικὴν ὠφέλειαν ἀποβλέπων(1), καὶ ἐπὶ
» τῆς ἐπισημότητος τῆς Μαχαβαράτας στηριζόμενος, ἔκρυψε,
» φαίνεται, τὸ ὄνομα αὐτοῦ. Τοιαῦται Συλλογαὶ, Ἐπιτο-
» μαὶ, καὶ Ἀπανθίσματα ἐκ τῶν κλασικῶν συγγραμμάτων
» γίνονται κοινῶς ἐν τῇ Ἰνδίᾳ, ἄνευ πολλάκις τῆς προσ-
» θήκης τοῦ ὀνόματος τοῦ ἐρανιστοῦ. Παρετήρησα δ' εἰς

διαιρεθεῖσα, τὰ δύο τοῦ κόσμου πέρατα κατῴκησαν· ἡ μὲν ἐν Ἑλλάδι, ἡ δὲ ἐν τῇ Ἰνδίᾳ· τὰ αὐτὰ δὲ περὶ τῶν αὐτῶν ζητημάτων ἀμφότεραι φιλοσοφοῦσαι.

(1) Ἴδε τὸ προοίμιον δίστ. 23—24.

» ἓν τῶν δύο Σανκριτικῶν χειρογράφων, εὑρισκομένων εἰς » τὴν ἐν Λονδίνῳ βιβλιοθήκην τοῦ Καταστήματος τῶν » Ἀνατολικῶν Ἰνδιῶν, καὶ τὸν αὐτὸν ἀμφοτέρων φερόντων » τίτλον, Ἰτιχάσα-Σαμουτσαΐα, ὅτι τὸ ἓν ἐξ αὐτῶν *ἀντε-* » *γράφη*, λέγει, *παρὰ δύο μαθητῶν* τοῦ *Λιγκόγη-Ῥου-* » *δράχα*, *ἐκ τῆς οἰκογενείας Πιγγάλα*· ἐξ οὗ δείκνυται, » ὅτι τὸ χειρόγραφον ἀντεγράφη, ἀλλ' οὐχὶ συνεγράφη » παρὰ τῶν μαθητῶν τοῦ Ῥουδράχα. Ὑπάρχουσι δ' ὡς » εἶπον, καὶ ἕτερα τοιαῦτα ἐρανίσματα. Τοιαύτη ἐστὶ καὶ » ἡ συλλογὴ ἐκ τῆς Μαχαβαράτας, καλουμένη *Βαράτα πα-* » *νεύσα-Ῥάτινα*, ἤτοι οἱ πολύτιμοι λίθοι τῆς Μαχαβα- » ράτας, συνταχθεῖσα πρὸς χρῆσιν τῶν σπουδαζόντων ἐν » τῷ γυμνασίῳ τῶν Ἀνατολικῶν Ἰνδιῶν. Οἱ δὲ ΚΚ. Λαγγλέ- » σιος καὶ Ἅμιλτων ἐν τῷ Καταλόγῳ τῶν Σανκριτικῶν » χειρογράφων (σελ. 21 ἀριθ. XX. 34) λέγουσι· Ce » Carton contient trois ouvrages jthiasa-Samutchaya, » ou collections, de differants exraits de Maha-Bha- » rata (1). Τὰ δύο δ' ἀνωτέρω χειρόγραφα, τὸν αὐτὸν, ὡς » εἶπον, φέροντα τίτλον, διαφέρουσι μὲν πρὸς ἄλληλα κατά » τε τὴν ἀρχὴν, καὶ τὸ τέλος· οὐσιωδῶς ὅμως εἰσὶ κατὰ » πάντα ὅμοια. Ἕκαστον δὲ τῶν χειρογράφων σύγκειται » ἐκ 32 διηγημάτων κατὰ τὴν αὐτὴν τάξιν· ἤγουν ά. τὸ

---

(1) Τὸν κατάλογον τῶν Σανκριτικῶν χειρογράφων τοῦ Λαγγλεσίου καὶ Ἁμιλτῶνος ἐστερεῖτο ἡ βιβλιοθήκη ἡμῶν. Ἀλλ' ὁ ἐν Λειψίᾳ φιλόμουσος καὶ φιλογενὴς Κ. Ἀθανάσιος Θεοχαρίδης φροντίσας ἐπρομήθευσεν ἡμῖν καὶ τοῦτον, καί τινα ἄλλα συγγράμματα ἀναγκαῖα, περὶ ὧν εὐχαριστῶ ἐξ ὅλης ψυχῆς τὸν ἀγαθὸν τοῦτον ἄνδρα.

» παράδειγμα τοῦ Βραχμᾶνος πρὸς τὸν Βασιλέα Σεναζίταν· » β′. τὸν μῦθον τῆς Βραχμανίδος Γαουταμῆς· γ′. τὸ διή- » γημα τοῦ Μουγδάλα κτλ. (1). »

Ὁ δὲ πολυμαθὴς συγγραφεὺς τῆς Ἰνδικῆς Ἀρχαιολογίας Κ. Λάσσενος, πρὸς ὃν εἴχον πέμψει καί τινα τοῦ ποιήματος ἀποσπάσματα, ἀποφαίνεται λέγων· « Κατὰ τὰ κοινοποιη- » θέντα μοι ἀποσπάσματα, ἡ Ἰτιχάσα-Σαμουτσαΐα ἐστὶν » ἕτερον σύγγραμμα, παρ᾽ ὅ,τι ὑπέθεσα, ὁδηγηθεὶς κατ᾽ ἀρ- » χὰς ἀπὸ μόνης τῆς ἐπιγραφῆς. Δὲν εἶναι δηλαδὴ ἁπλῆ » συλλογὴ διηγημάτων *ἀλλ᾽ αὐθύπαρκτον σύγγραμμα*. Ἡ » διήγησις τοῦ μεγάλου πολέμου ἐχρησίμευσε, φαίνεται, ὡς » θέμα, ὅπως ἐκτεθῶσι διδασκαλίαι περὶ διαφόρων ἠθικῶν » ἀντικειμένων. Αὐτὸ τοῦτο παρατηρεῖται καὶ εἰς τὴν Γιτάν. » Αἱ ἀφηγήσεις καὶ ἡ διδασκαλία ἐρανίσθησαν, ἀναμφιβό- » λως, ἐκ τοῦ Μαΐτας τῆς Μαχαβαράτας· πλὴν δὲν εὑρί- » σκονται συναρμολογημέναι κατὰ τὸν αὐτὸν τρόπον, ὡς ἐν » τῇ Ἰτιχάσα-Σαμουτσαΐα· π. χ. ἐν τῷ πρώτῳ συγγράμ- » ματι ἡ Γαγγὰ (ὁ Γάγγης ποταμὸς) δοξάζεται ὡς τὸ ἱε- » ρότερον τῶν ἁγιασμάτων (ὅρα·τὴν ἐμὴν Ἰνδικ. Ἀρχαιολ. » Τ. Ι. σελ. 587). Πλὴν, καθ᾽ ὅσον ἐνθυμοῦμαι, δὲν ὑπάρ- » χει ξεχωριστὸν κεφάλαιον, ἐν τῷ ὁποίῳ ἀναπτύσσεται » τοῦτο ἀκριβέστερον, ὡς ἐν τῇ παρ᾽ ὑμῖν ἐκδιδομένῃ Ἰτι- » χασα-Σαμουτσαΐα (2).

(1) Ἀποδίδοντες τὸν ὀφειλόμενον ἔπαινον πρὸς τὸν σοφὸν Ἰνδολόγον Κ. Κ. Οὐΐλσῶνα, ἕνεκα τῆς καλοκἀγάθου αὐτοῦ προθυμίας, ὁμολογοῦμεν πρὸς αὐτὸν μεγίστην καὶ βαθεῖαν εὐγνωμοσύνην.

(2) Ἴδε κεφάλ. ΣΤ′. σελ. 48 περὶ ἁγιότητος τοῦ Γάγγου, καὶ κεφ. ΚΖ′ περὶ νοερῶν ἁγιασμάτων.

» Τὰ χωρία, εἰς ἃ ἐξομοιοῦται ὁ Ναράδας ὡς πρὸς τὸν » Ἀρζούναν, καὶ ὁ Ναραϊάνας, ὡς πρὸς τὸν Κρισνᾶν, καὶ ὡς » θεῖα ὄντα δοξάζονται, εἰσὶ διεσκορπισμένα καθ' ὅλον τὸ » ποίημα· ἡ δὲ ἐξύμνησις αὐτῶν ἐστὶν ὁ κυρίως σκοπὸς τοῦ » συγγραφέως τῆς Ἰτιχάσα-Σαμουτσαΐας. Διὸ εἰς αὐτούς, καὶ » μετ' αὐτῶν τελειώνει τὸ ποίημα αὐτοῦ, ὡς καὶ ἐν τῇ » Μαχαβαράτᾳ διὰ τῆς ἀναλήψεως τοῦ Πουνδαρίκα εἰς τὸν » οὐρανόν, τοῦ Κρισνᾶ, καὶ Ἰνδδιστίρα ἐν τῇ Μαλαβαράτᾳ.

«Καὶ ἡ ἀρχὴ τῆς Ἰτιχάσα-Σαμουτσαΐας ἐλήφθη ἐξ ἐκείνου· » διότι ἀρχίζει διὰ τῆς παραμυθίας τοῦ Βεάσα πρὸς τὸν » Ἰνδδιστίραν διὰ τὸ δυστύχημα, προκύψαν ἐκ τοῦ θανάτου » τοσούτων συγγενῶν, φονευθέντων ἐν τῷ περὶ διαδοχῆς » μέγᾳ πολέμῳ.

» Ἐκ τῶν παρατηρήσεων τούτων γίνεται δῆλον, ὅτι εἶναι » ἀδύνατον ἵνα διορίσῃ τις τὰ χωρία τῆς Μαχαβαράτας ἐξ ὧν » ἠρανίσθη τὴν ὕλην ὁ συγγραφεὺς τῆς Ἰτιχάσα-Σαμουτσαΐας· » π. χ. Τρία μέρη τῆς Μαχαβ. σελ. 128—131—169 IV. » διαπραγματεύονται περὶ τῆς ἀξίας τῶν βοῶν· ἀλλὰ δὲν » δύναμαι ἵνα ὁρίσω κατὰ πόσον συνᾴδει ὡς πρὸς τὸ ΚΒ » Κεφάλαιον τῆς Ἰτιχάσα-Σαμουτσαΐας.

» Ὅσον δ' ἀφορᾷ τὰ διηγήματα, ὀλίγα τινὰ ἠδυνήθην » ἵνα εὕρω. Ἀλλ' ὑπάρχουσι πλειότερα Ἰτιχάσα, δυνάμενα » ἵνα συγκριθῶσιν ὡς πρὸς τὸ 27 Κεφάλ. τῆς Μαχαβαράτας. » Εἰς τὸ III αὐτῆς, σελ. 714 διδάσκει τὸν Μανδάναν περὶ » τῆς ἀξίας τῆς ἀπαρνήσεως ἀπὸ πάσης κοσμικῆς κλίσεως. » Σελ. 761 εὑρίσκεται ὁ διάλογος μεταξὺ αὐτοῦ καὶ τοῦ » Βολίσχα περὶ τοῦ ἄκρου ἐφετοῦ. Σελ. 796 διδάσκει τὸν

» Κούκαν περὶ τῆς ἐσχάτης ἀπολυτρώσεως. Τὸ δὲ 15 Κεφ. » τῆς Ἰτιχάσα-Σαμουτσαΐας συμφωνεῖ βεβαίως ὡς πρὸς τὸ » διήγημα III. σελ. 769, ἔνθα ἀποδεικνύεται, ὅτι ἐν τῇ » πλεονεξίᾳ οὐκ ἔστι σωτηρία, ἀλλ' ἐν τῇ πράξει τῆς ἀρε- » τῆς. Τὸ δὲ διήγημα τοῦ Κεφ. ΚΈ τῆς Ἰτιχασα-Σαμουτσαΐας » συμφωνεῖ ὁπωσοῦν ὡς πρὸς τὸ IV. σελ. 120 τῆς Μα- » χαβαράτας. Οὕτω καὶ τὸ ἐν τῇ Μαχαβαράτᾳ I. σελ. 585 » ὡς πρὸς τὸ Έ, ἔνθα ὁ Ἴνδρας, μεταμορφωθεὶς εἰς ἱέρακα, » καὶ ὁ Ἀγνὴς εἰς περιστερὰν, ἠβουλήθησαν ἵνα πειραθῶσι » τοῦ Βασιλέως Σιβῆ. Ἐνδέχεται ἕνεκα ὅτι, τῆς μεγάλης ἐκτά- » σεως τῆς Μαχαβαράτας, μὲ διέφυγον τινὰ ἐκ τῶν διηγη- » μάτων, ἅπερ παρετήρησα εἰς τὰ πρὸς ἐμὲ σταλέντα ἀπο- » σπάσματα ὑμῶν (1).

Ἐκ τούτων ἁπάντων συνάγεται ἀδιστάκτως ά. ὅτι ἡ Ἰτι-χάσα-Σαμουτσαΐα, ἣν δημοσιεύομεν ἐν τῷ Πέμπτῳ τούτῳ τόμῳ, ἐστὶ σύγγραμμα μὲν *ἀνθύπαρκτον*, ἀλλ' ὅτι ἡ ὕλη ἐλήφθη ἐκ τοῦ μεγάλου ἐπικοῦ ποιήματος τῆς Μαχαβαράτας, ὡς καὶ ἡ Βαλαβαράτα, καὶ ἡ Γιτὰ, τὸ ἐπεισόδιον αὐτῆς. Ἡ εἰκασία τοῦ σοφοῦ Λασσένου συμφωνεῖ ὡς πρὸς αὐτὴν τὴν ὁμολογίαν τοῦ συγγραφέως· « Οὐκ εἰς ἐπίδειξιν, λέγει, » ἀγχινοίας ἐπεβαλόμην *ποιῆσαι τοῦτο τὸ πόνημα*· ἀλλ' ἡ » πρὸς τὴν Βαράταν κλίσις, ἣν ἔχω, ἠρέθισέ με εἰς τοῦ-

(1) Εὐχαριστῶν ἀπειράκις τὸν σεβαστὸν καὶ σοφόν μοι φίλον Κ. Χρ. Λάσσενον, βαθυτάτην ὁμολογῶ πρὸς αὐτὸν εὐγνωμοσύνην, οὐ μόνον δι' ὅσους κατέβαλεν ἐπὶ τοῦ παρόντος κόπους, καὶ δι' ὅσας ἐχορήγησεν ἡμῖν φιλολογικὰς εἰδήσεις περὶ τοῦ ἀνὰ χεῖρας ποιήματος· ἀλλὰ καὶ δι' ἣν ἔχει ἀγαθὴν προαίρεσιν εἰς τὸ βοηθεῖν ἡμᾶς πάντοτε, διὰ τῆς ἀνεκτιμήτου περιουσίας τῆς πολυμαθείας, καὶ τῆς βαθείας αὐτοῦ κριτικῆς ἐπιστήμης.

» το (1)· ὅθεν ἀνεχόμενοι οἱ ἀγαθοὶ, τιμάτωσαν τοῦτό μου » τὸ *ἀνάξιον πόνημα*, ὅπερ ἐγένετο διὰ τὴν ἣν ἔχει ἡ » ἐμὴ ψυχὴ κλίσιν καὶ ἀγάπην πρὸς τὴν Μαχαβαράταν(2).» Ἀνάξιον οὖν ποίημα ἐννοεῖ, μετριοφρονῶν ὁ συγγραφεὺς, αὐτὴν τὴν Ἰτιχασα-Σαμουτσαΐαν ἥν, λέγει, *ἐποίησε*. Καὶ οὐχὶ τὴν Μαχαβαράταν, ἣν θαυμαστὴν ὀνομάζει (3), καὶ βακτηρίαν τοῦ βίου (4), ποιηθεῖσαν πρὸς ὠφέλειαν τῶν ἀνθρώπων, εἰς ἀνακάλυψιν τῶν τοῦ Θεοῦ κατορθωμάτων(5). «Εἰ μὴ « ἦσαν, λέγει, ἐνθουσιῶν ὁ ποιητὴς, τὰ τρία ταῦτα· ἡ Μα- » χαβαράτα, ὁ Ἥλιος, καὶ ἡ Σελήνη, ὁποία ἂν ἦν ἡ κα- » τάστασις τοῦ Κόσμου, τυφλοῦ ὄντος ἐξ ἀγνοίας καὶ σκό- » τους(6);» Ὥστε ἡ παροῦσα Ἰτιχάσα-Σαμουτσαΐα ἐστὶ μὲν συλλογὴ ἐκ τῆς Μαχαβαράτας, αὐθύπαρκτον δὲ, καὶ ἀνέκδοτον Ποίημα.

β'. Ὅτι τὸ πλεῖστον μέρος τῆς παρούσης συλλογῆς ἐλήφθη ἐκ τῆς Μαχαβαράτας, ὡς γράφει ὁ σοφὸς Λάσσενος, βεβαιοῖ ἡμᾶς αὐτὸς ὁ συγγραφεὺς, εἰπών· « Στίχους δέ τινας τῆς Μαχαβα- » ράτας, οἵ εἰσι διεσπαρμένοι τῇδε κἀκεῖσε, *συνέλεξα*, καὶ » *συνήρμοσα* τῇ παρούσῃ πραγματείᾳ, μηδαμῶς παραλλάξας » αὐτοὺς κατὰ τὴν λέξιν, καὶ κατὰ τὸ νόημα (7). Τίς γὰρ » δύναται ἐξαγαγεῖν πάντας τοὺς ἐκλεκτοὺς στίχους ἐξ ὅλης

(1) Προοίμ. σελ. 4. δίστ. 23.

(2) Αὐτόθι δίστ. 24.

(3) Αὐτόθι δίστ. 7.

(4) Αὐτόθι δίστ. 3.

(5) Αὐτόθι δίστ. 2 καὶ 5.

(6) Αὐτόθι δίστ. 16.

(7) Αὐτόθι δίστ. 21.

» τῆς Βχράτας; Τίς δύναται ἐξαγαγεῖν πάντα τὰ πολύτι-
» μα πράγματα ἐκ τῆς μεγάλης θαλάσσης (1);»

γ'. Καὶ τελευταῖον· ὅτι ἡ παροῦσα *αὐθύπαρκτος συλλογὴ* ἐστὶν ἐγνωσμένη, καὶ χειρόγραφα αὐτῆς ὑπάρχουσι, κατὰ μὲν τὸν Λαγγλέσιον καὶ Ἀμιλτῶνα, ἐν τῇ Ἐθνικῇ Βιβλιοθήκῃ τῶν Παρισίων· κατὰ δὲ τοὺς ΚΚ. Οὐΐλσῶνα, καὶ Λάσσενον, ἐν τῇ Βιβλιοθήκῃ τοῦ ἐν Λονδίνῳ Καταστήματος τῶν Ἀνατολικῶν Ἰνδιῶν, οὐδεμία περὶ τούτων ὑπάρχει ἀμφιβολία. Ἐπίσης ὅμως εἶναι βέβαιον, ὅτι μέχρι τοῦδε οὐδεμία μετάφρασις τοῦ ποιήματος τούτου, ἐν οὐδεμιᾷ διαλέκτῳ, ποτὲ ἐφάνη, οὐδέ τις ἔκθεσις ἢ ἀνάλυσις αὐτοῦ ποτε ἐδημοσιεύθη ἐν περιοδικῷ τινι συγγράμματι· ἐκτὸς δηλονότι τῆς παρούσης μεταφράσεως, ἥτις τὸ πρῶτον διὰ τοῦ τύπου παρουσιάζεται πρὸς τὸν Ἰνδολογικὸν κόσμον (2), καὶ εἰς τὴν μακρόθυμον αὐτοῦ κρίσιν συνιστᾶται.

---

(1) Αὐτόθι δίστ. 22.

(2) Ὁ Κ. Λάσσενος εἰς τὴν πρὸς ἐμὲ τελευταίαν αὐτοῦ ἐπιστολὴν ἀπὸ 1 Μαρτίου, λέγει τὰ ἑξῆς· «Αἱ μεταφράσεις τοῦ ἐνδόξου συμπολίτου ὑμῶν »εἰσὶν ἄξιαι μυρίων ἐπαίνων, οὐ μόνον διὰ τὴν ἀκρίβειαν· ἀλλὰ καὶ διὰ τὴν »γλαφυρότητα τῆς γλώσσης. Μεταξὺ δὲ τῶν μεταφράσεων τούτων εἰσὶ τρεῖς, »ὧν τὰ πρωτότυπα ἢ δὲν ἀνευρέθησαν, ἢ δὲν ἐτυπώθησαν εἰσέτι. Ἡ δὲ Ἰτιχάσα-»Σαμουτσαία, ἧς ἀνελάβετε τὴν ἔκδοσιν ὑπάρχει αὐτῆς μὲν ἓν χειρόγραφον ἐν »Λονδίνῳ, πλὴν οὔτε αὐτὸ ἐξεδόθη, οὔτε περὶ αὐτοῦ ἀνάλυσις ἐδημοσιεύθη. »Ὅλοι οὖν οἱ ἐρασταὶ τῆς ἀρχαίας Ἰνδικῆς Φιλολογίας περιμένουσιν ἀνυπομό-»νως οὐ μόνον τὴν ἐκτύπωσιν τῆς Ἰτιχάσα-Σαμουτσαίας, ἀλλὰ καὶ τὴν συ-»νέχειαν τῶν λοιπῶν χειρογράφων. Μεγάλως δ' ἤθελον πάντες λυπηθῆν ἄν, »δι' ἔλλειψιν ἀναγκαίας συνδρομῆς, ἐμποδισθῇ ἡ ἔκδοσις πάσης ὑμῶν τῆς »συλλογῆς. Ἡ Γαλλικὴ Κυβέρνησις ἀπέκτησε δικαίωμα γενικῆς εὐγνωμοσύνης »χορηγοῦσα σημαντικὴν ἐνιαύσιον χρηματικὴν συνδρομὴν διὰ τὴν ἔκδοσιν τῶν »ἐπισημοτέρων ἀνεκδότων συγγραμμάτων τῆς Ἀνατολικῆς Συλλογῆς. Ἡ Ἑλληνικὴ »Κυβέρνησις, καὶ τὸ ἔθνος ἤθελον μεγάλως δοξασθῶσιν, ἂν χορηγήσωσιν εἰς ὑμᾶς »τὰ μέσα πρὸς ἐξακολούθησιν τοῦ λαμπροῦ ἔργου, ὅπερ μετὰ τοσούτου »ζήλου, καὶ ἀναλόγου ἐπιτυχίας μέχρι τοῦδε ἐξετελέσατε. Πρὸς τοῦτο ἔχει

Ἀν ὅμως ἀγνοεῖται, ὡς ἐῤῥέθη, τὸ ὄνομα τοῦ ποιητοῦ τῆς Ἰτιχάσα-Σαμουτσαΐας, καὶ ἡ ἐποχὴ καθ' ἣν ἐγράφη τὸ ποίημα, γινώσκεται ὅμως ἀκριβῶς, ὅτι τὴν ὕλην αὐτοῦ ἐρανίσθη ὁ συγγραφεὺς ἐκ τοῦ ἐπικοῦ ποιήματος τῆς Μαχαβαράτας. « Τὸ δὲ ἀναχεῖρας ποίημα, συλλογὴ καὶ ἐκλογή ἐστι, » λέγει, τῶν ἐν τῇ Μαχαβαράτᾳ διδασκομένων (1). » Σημειωτέον δὲ ἐνταῦθα, ὅτι « πάντα τὰ τῆς Βέδας, λέγει ὁ » αὐτὸς, ἐν τῇ Μαχαβαράτᾳ δεικνύονται καὶ ἑρμηνεύονται » ὑπὸ τοῦ Βεάσα (2). » Ὥστε ἡ Ἰτιχάσα-Σαμουτσαΐα, ἐπαναλαμβάνουσα τὰ τῆς Μαχαβαράτας, ἑρμηνευούσης τὰ τῆς Βέδας, ἐξηγεῖ τὴν ἠθικὴν, τὴν θεοδιδασκαλίαν, τὸ πνεῦμα τῶν Βεδῶν, καὶ τὰς ἀρχὰς ὅλων ἀνεξαιρέτως τῶν ἰνδικῶν φιλοσοφημάτων.

Ἐξετάζων δέ τις μετ' ἐπιστασίας εὑρήσει, ὅτι ἡ Βεδικὴ θεοδιδασκαλία ἐστὶ τὸ κέντρον τοῦ μεγάλου κύκλου ἁπάσης τῆς διανοητικῆς τῶν Ἰνδῶν ἀναπτύξεως. Καθότι ἐπὶ τῶν Βεδικῶν ἀρχῶν στηρίζεται, οὐ μόνον ἡ τοῦ Μανοῦ θεσμοθεσία, ἀλλ' ἅπασαι αἱ ἠθικαὶ καὶ κοινωνικαὶ, αἱ πολιτικαὶ καὶ θρησκευτικαὶ διατάξεις, καὶ αὐτὴ ἡ οἰκιακὴ τοῦ ἀνδρογύνου, καὶ τῶν τέκνων ἀνατροφή. « Ὁ Μανοῦς ἦν, λέγουσιν, » ἐν θεωρίᾳ, ὅτε οἱ Μαχαρχεῖς, ἢ Ῥιχεῖς (3) προσελθόντες,

---

»τόσον περισσοτέραν ἀφορμὴν, ὅσον δι' αὐτῶν τῶν ἔργων σας ἀπεδείξατε, »ὅτι εἴσθε ἱκανὸς ἵνα δημοσιεύσητε τοιαῦτα συγγράμματα, ὅπως τὸ ἀπαι»τεῖ ἡ ἀρχαία ἰνδικὴ φιλολογία. Πάντες δὲ οἱ περὶ τὴν Ἀσιατικὴν ἀρχαιολο»γίαν ἐνασχολούμενοι ἔσονται εὐγνώμονες πρὸς τὸ Ἑλληνικὸν Ἔθνος.»

(1) Προοίμ. δίστ. 25.

(2) Αὐτόθι δίστ. 8.

(3) Οὗτοι ἐν τῇ κοσμογονίᾳ τοῦ Μανοῦ εἰσὶν ἅγιοι ἀνωτάτης τάξεως. Μανεῦ βιβλ. I. δίστ. 1.

καὶ εὐλαβῶς προσκυνήσαντες, ἐδεήθησαν, ὅπως διδάξῃ εἰς αὐτοὺς τὰ καθήκοντα, καὶ τοὺς νόμους, οὓς ἑκάστη τῶν τεσσάρων καθαρῶν φυλῶν, καὶ αἱ μικταὶ τάξεις ὀφείλουσιν ἀμετατρέπτως ἵνα ἐξακολουθῶσιν· ὅτι σὺ μόνος γινώσκεις, ὡς Θεὸς, τὴν ἔννοιαν καὶ τὸ γράμμα τῆς παγκοσμίου τάξεως, ἣν κηρύττουσιν αἱ ἱεραὶ Βέδαι· » Ἐκ τῆς ἐρωτήσεως ταύτης ὁρμώμενος ὁ πάνσοφος Μανοῦς, ἐκθέτει τὴν κοσμογονίαν, διορίζει τὸ ὕψιστον Θεῖον, παράγει ἐξ αὐτοῦ τὰς τέσσαρας τῶν Ἰνδῶν τάξεις, καὶ καταγράφει ἔπειτα τὰ καθήκοντα, τοὺς νόμους καὶ τὰς διατάξεις μιᾶς ἑκάστης (1). Ὥστε τὸ πολίτευμα τῶν Ἰνδῶν, καὶ πᾶσα αὐτῶν ἡ ἐκπαίδευσις καὶ ἀνατροφὴ ὑπῆρξεν ἀνέκαθεν θεοκρατική· ἡ δὲ θρησκευτικὴ τῶν Βεδῶν ἔννοιά ἐςι τὸ κέντρον τοῦ πολιτισμοῦ, τῆς ἐκπαιδεύσεως καὶ πάσης τῆς διανοητικῆς ἀναπτύξεως τῶν Ἰνδῶν. Ἐκ τούτου προῆλθε καὶ ἡ ἰσχὺς τῶν Βραχμάνων, ὡς τῶν μόνων δυναμένων ἐξηγῆσαι τὴν ἔννοιαν ταύτην τῶν Βεδῶν, καὶ διὰ τοῦτο ἀπεκατέστη ὑπερτέρα ὅλων τῶν ἄλλων κλάσεων, τῶν ἡγεμόνων, τῶν Βασιλέων, καὶ παντὸς τοῦ λαοῦ.

Αἱ Βεδικαὶ ἀρχαὶ εἰσὶν ἐπίσης ἡ βάσις τοῦ φιλοσοφοῦντος λόγου, καὶ πάντων τῶν παρ' Ἰνδοῖς φιλοσοφικῶν συστημάτων. Τούτου ἕνεκα, ὅσα μὲν ἐξ αὐτῶν εἰσι κατὰ πάντα σύμφωνα, ὡς πρὸς τὴν ἔννοιαν τῶν γραφῶν, λέγονται ἔτι καὶ νῦν *ὀρθόδοξα*· ὅσα δ' ἀπομακρύνονται κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀπ' αὐτῶν, καλοῦνται *ἑτερόδοξα* (2).

---

(1) Θεσμοθεσία Μανοῦ βιβλ. I. Ἴδε τὰς ἱερὰς βίβλους τῆς Ἀνατολῆς ἐν τῷ φιλολογ. Πανθέῳ. Καὶ Γιτὰ κεφ. 10. Πολιέρος Μυθολ. Ἰνδῶν. Τ. I. Εἰσαγωγή.

(2) Τὰ κυριώτερα φιλοσοφικὰ συστήματα τῆς Ἰνδίας, κατὰ τὸν κλεινὸν Κολεμβρώκκιον εἰσὶ τὰ ἑξῆς·

Ὥστε ἡ Βεδικὴ θεολογία ἐστὶ πραγματικῶς, ὡς ἐῤῥέθη ἡ βάσις, οὐ μόνον τῆς θρησκείας ἐν τῇ Ἰνδίᾳ, ἀλλὰ καὶ τῆς θεσμοθεσίας, τῆς ἠθικῆς καὶ τῆς φιλοσοφίας, τῆς ἐπιστήμης, τῆς τέχνης, καὶ ἁπάσης τῆς διανοητικῆς ἀναπτύξεως (1). Ἂν οὖν ἡ Μαχαβαράτα ἑρμηνεύῃ πάντα τὰ τῆς Βέδας « Πάντα τὰ τῆς Βέδας ἐν τῇ Μαχαβαράτᾳ δεικνύον-

---

ά. Τὸ τοῦ Μιμάνσα, ἐξ οὗ δύο ἐσχηματίσθησαν αἱρέσεις ἢ σχολαί, ἀμφότεραι δ' ὀρθόδοξοι. Ἡ μὲν ἐστι τοῦ Ἰαμινὶ (Ποῦρβα) καὶ ἐξηγεῖ διαλεκτικῶς τὰς Βέδας· ἡ δὲ τοῦ Βεάσα (Οὐτάρα) καὶ ἑρμηνεύει τὰς Βεδικὰς ἀρχὰς διὰ μεταφυσικῆς καὶ θεολογίας τοσοῦτον ὑψηλῆς καὶ λεπτῆς, ὥστε ἀρνουμένη σχεδὸν τὴν ὕλην φθάνει διὰ τῆς ἀπαθείας, καὶ τῆς νεκρώσεως τῶν αἰσθήσεων, μέχρι θεοφροσύνης, καὶ τῆς θεωρίας αὐτοῦ τοῦ ὑψίστου Θείου.

β'. Τὸ τοῦ Νιάγα, ὅπερ εἰς δύο καὶ τοῦτο ὑποδιαιρεῖται αἱρέσεις. Ἡ μὲν τοῦ Γοτάμα· ἡ δὲ τοῦ Κανάδα· ἀμφότεραι αὗταί εἰσιν ἀτομολογικαί, ὡς ἡ τοῦ Δημοκρίτου αἵρεσις, καὶ ἕνεκα τούτου θεωροῦνται ὁπωσοῦν ἑτερόδοξοι.

γ'. Τὸ σύστημα τοῦ Σανακέα, ὅπερ κεῖται, φαίνεται, μεταξὺ τῶν προειρημένων δύο, ὀρθοδοξίας δηλ. καὶ ἑτεροδοξίας· ὑποδιαιρεῖται δὲ καὶ τοῦτο εἰς δύο αἱρέσεις· ἡ μὲν ἡ τοῦ κυρίως Σανακέα αἵρεσις, ἥτις ἕνεκα τῆς ἀκριβολογίας, μαθηματικὴ ἢ ἀριθμητικὴ καλεῖται· ἡ δὲ ἡ τοῦ Ὑόγα, ἣν ἀκολουθοῦσιν ἔτι καὶ νῦν οἱ πλεῖστοι τῶν λογίων Ἰνδῶν, ἀλλ' ἀποσκορακίζοντες πάντοτε μετὰ προσοχῆς πᾶν ὅ,τι ἐστὶν ἢ φαίνεται ἐναντίον τοῦ κύρους καὶ τῆς αὐθεντίας τῶν Βεδῶν, καὶ τῆς ἀποκαλύψεως. Εἰσὶ δὲ καὶ ἄλλαι αἱρέσεις καὶ ὑποδιαιρέσεις, αἵτινες εἰς τὰς προειρημένας, κατα τὸ μᾶλλον ἢ ἧττον ἀνάγονται καὶ στηρίζονται.

Ὅλα δὲ ταῦτα τὰ φιλοσοφικὰ συστήματα ἕνα καὶ τὸν αὐτὸν σκοπὸν ἔχουσι, καὶ εἰς ἓν καὶ τὸ αὐτὸ τέλος τείνουσιν, ἤγουν εἰς τὴν τοῦ ἀνωτάτου ἀγαθοῦ ἀπόλαυσιν. Θεωροῦσι δ' ὡς τοιοῦτον τὴν μετὰ τοῦ Θείου ἕνωσιν καὶ ἀΐδιον ὀλβιότητα, ἥτις κτᾶται διὰ τῆς καθαρᾶς θεοφροσύνης καὶ ἀμέσου θεωρίας τοῦ ὑψίστου, προαπαιτούσης τὴν ἐγκράτειαν καὶ ἀπάθειαν, τὴν νέκρωσιν τῶν αἰσθήσεων, τὴν ἱλαρότητα, καὶ τὸν πρὸς πάντα τὰ ἔμψυχα οἶκτον καὶ εὐσπλαγχνίαν.

Οἱ Ἰνδοὶ παραδέχονται δύο εἰδῶν παραδείσους· τὸν τοῦ Ἴνδρα δηλ. καὶ τὸν τοῦ Βισνοῦ, ὧν ἀκολούθως ἐξηγήσομεν τὴν διαφοράν.

(1) Προοίμ. δίστ. 8. Αἱ Βέδαι, λέγει ὁ Πολιέρος, ὑπῆρξαν, καὶ εἰσὶ μέχρι τοῦδε ἡ βάσις τοῦ θρησκευτικοῦ, τοῦ πολιτικοῦ, καὶ ἐπιστημονικοῦ αὐτῶν συστήματος αὐτόθι σελ. 17.

» ται καὶ ἑρμηνεύονται ὑπὸ τοῦ Βεάσα (1)· » ἡ δὲ παροῦσα πραγματεία « Συλλογὴ καὶ ἐκλογὴ ἐστὶ τῶν ἐν τῇ Μαχαβαράτᾳ παραγγελμάτων (2), » δῆλον ὅτι ἡ μελέτη τῆς Ἰτιχασασαμουτσαΐας ἐξηγήσει ἡμῖν τὸν νοῦν τῆς Βεδικῆς θεοσοφίας· καὶ ἐκ τούτου κατανοήσομεν τὸ πνεῦμα παντὸς τοῦ Ἰνδικοῦ πολιτισμοῦ, ἤτοι τὴν θρησκευτικὴν ἔννοιαν τοῦ ὁσίου, ἐπὶ τῆς ὁποίας στηρίζεται, καὶ παρὰ τῆς ὁποίας ἀναπτύσσεται.

Ἀνερευνῶν δέ τις τὴν καθολικὴν τῶν ἀρχαίων ἐθνῶν ἱςορίαν εὑρήσει, ὅτι πρὸ τοῦ Ἑλληνικοῦ καὶ Ῥωμαϊκοῦ πολιτισμοῦ, ὑπῆρχεν ἡ τῶν Ἀσιανῶν διανοητικὴ πρόοδος· ἐπέκεινα δὲ ταύτης οὐδεμία ἄλλη γινώσκεται, ἢ πιστεύεται· ὥστε ἡ τῆς Ἀσίας διανοητικὴ ἀνάπτυξις, καὶ πᾶς ὁ πολιτισμὸς αὐτῆς ἐστὶ τὸ πέρας, οὕτως εἰπεῖν, πάσης περὶ τούτου ἐρεύνης. Αὐτὴ δὲ, ὡς ἐῤῥέθη, στηρίζεται εἰς τὴν θρησκευτικὴν ἔννοιαν τοῦ ὁσίου, παρουσιαζομένη ὑπὸ διαφόρων ὀνομάτων, θρησκευτικῶν μύθων, συμβόλων ἢ δογμάτων καὶ μυστηρίων, ἀλλ' οὐσιωδῶς πάντοτε καὶ ἁπανταχοῦ ἡ αὐτὴ διαμένει. Αὐτὴ οὖν ἡ ἔννοια, ἐμβριθῶς μελετουμένη κατὰ τὴν τετραπλῆν αὐτῆς ἔποψιν, τὴν ἱστορίαν, λέγω, τὴν φιλοσοφίαν, τὴν θεσμοθεσίαν, καὶ τὴν θρησκείαν, ἀναδείξει, ἴσως, κατὰ μέγα μέρος, τὴν λύσιν τῶν περὶ ἀνθρωπότητος καὶ τοῦ προορισμοῦ αὐτῆς σοβαρῶν ζητημάτων. Ἐκ τούτων συμπεραίνει εὐκόλως ὁ ἀναγνώστης τὴν ἀνάγκην τῆς τοιαύ-

(1) Αὐτόθι δίστιχ. 8—10.
(2) Αὐτόθι δίστ. 8—10.
(2) Αὐτόθι δίστ. 20—21, 22.

της ἐρεύνης, καὶ τὴν ἀνεκτίμητον ἀξίαν τοῦ ἀνὰ χεῖρας ἠθικοῦ καὶ θεολογικοῦ ποιήματος.

Ἡ θρησκευτικὴ οὖν αὕτη ἔννοια, ἥτις οὐδὲν ἕτερόν ἐστιν εἰμὴ ἡ δοξασία τοῦ ἑνιαίου Θεοῦ, καὶ ἡ ἐν τρισὶ δυνάμεσι δημιουργικὴ αὐτοῦ ἐμφάνισις, ἐξηγεῖται εἰς τὰς θείας γραφὰς, αἵτινες ὡς θεόπνευςοι πρεσβεύονται. « Αἱ ἱεραὶ Βέδαι, λέγει, ἐξερεύθησαν ἐκ τοῦ στόματος αὐτοῦ τοῦ δημιουργοῦ Βραχμᾶ (1). » Ἐπ᾽ αὐτῶν στηρίζονται οἱ κοινωνικοὶ νόμοι, αἱ πολιτικαὶ, καὶ λειτουργικαὶ διατάξεις· ταῦτα δ᾽ εἰσὶ τὰ παρὰ τοῖς Βραχμᾶσιν *ἔθιμα*, *νόμιμα*, καὶ *διατεταγμένα*, εἰς ἃ τοσοῦτον ἐμμένουσι, καὶ τοσοῦτον πρὸς πάντα Ἰνδὸν οἱ Βραχμᾶνες συμβουλεύουσιν· ὥστε ἡ Βεδικὴ θεοσοφία περιτυλίσσει, οὕτως εἰπεῖν, τὸν Ἰνδὸν ἀπ᾽ αὐτῆς τῆς στιγμῆς τῆς γεννήσεως, μέχρι τῆς τελευτῆς αὐτοῦ. Ὅτι αἱ Βέδαι ὑπῆρξαν καὶ εἰσὶν ἡ βάσις τῆς θρησκείας καὶ τῶν νόμων, τῆς ἐπιστήμης καὶ τῆς τέχνης.

Τὰ Βεδικὰ δόγματα ἑρμηνεύουσι καὶ ὑμνοῦσι τὰ δύο μεγάλα ἐπικὰ ποιήματα τῶν Ἰνδῶν· ἰδίως δὲ ἡ Μαχαβαράτα (2). Βέδαι ἄρα καὶ Μαχαβαράτα ἔχουσιν ἕνα καὶ τὸν αὐτὸν σκοπὸν καὶ τέλος, ἤτοι τὴν λύτρωσιν τοῦ ἀνθρώπου, καὶ τὴν σωτηρίαν αὐτοῦ, ἥτις ἐστὶ καὶ ὁ σκοπὸς τοῦ παρόντος ποιήματος (3). Ἕνεκα τούτου πᾶσα ἡ διδασκαλία

---

(1) Πρόδρ. Βατριχ. σελ. 54 σχόλ. 1. Γιτὰ εἰς διάφορα μέρη. Ῥομμαχοὺν-Ῥόη σελ. 7. Abridgment of the Vedant. Μανοῦ περὶ Δημιουργ. βιβλ. I. Asiat. Res. T. I. σελ. 340 .Δ·w. T. I. σελ. 91. Bernier, T. II. σελ. 156.

(2) Προοίμ. δίστ. 8.

(3) Θεωρεῖται δ᾽ ἐν ταύτῃ τῇ συλλογῇ εἷς μόνος σκοπὸς, καὶ μία μόνη φροντὶς, ἤγουν ἡ τῆς λυτρώσεως ἀπὸ τοῦ ματαίου τούτου κόσμου. (Προοίμ. δίστ. 26.)

καὶ τῶν πρώτων, καὶ τῶν δευτέρων συγκεφαλαιοῦται εἰς μίαν καὶ τὴν αὐτὴν ἐντολὴν, ἥτις ἐστὶν ἡ καθολικὴ τῶν Βεδῶν, τῆς Μαχαβαράτας, καὶ τῆς Ἰτιχασασαμουτσαΐας διαθήκη· « *Φοβοῦ τὸν Θεὸν, φεῦγε τὸ κακὸν, καὶ ποίει τὸ ἀγαθόν* » (1).

Ὁ μελετῶν ἑπομένως μετὰ πεποιθήσεως τὰς γραφὰς ἁγιάζεται· ἐπίσης δ' ἁγιάζεται, λέγουσι, καὶ ὁ σπουδάζων τὴν Μαχαβαράταν, καὶ τὴν παροῦσαν συλλογὴν, αἵτινες τὰς Βέδας ἐξηγοῦσαι ἑρμηνεύουσι (2). Καθότι ἡ Μαχαβαράτα ἐστὶν ὁ ἐκ τῶν θείων γραφῶν βλαστήσας λωτὸς, ἔχων τὴν μὲν Γιτὰν (ἐπεισόδιον τῆς Μαχαβαράτ.) ὡς εὐωδίαν, καὶ ὡς κόνιν τοῦ ἱεροῦ ἄνθους τὰς ἀφηγήσεις αὐτῆς τε καὶ τὰς τῆς παρούσης πραγματείας (3), ἥτις συλλογὴ καὶ ἐκλογή ἐστι τῶν ἐν τῇ Βαράτᾳ διδασκομένων. « Ταῦτα, λέγει ὁ συγγραφεὺς, συλλέξας καὶ ἐκλέξας, εἰς ἓν συνήρμοσα, καὶ τὴν παροῦσαν ἐσύνθεσα πραγματείαν, μηδόλως μηδὲν παραλλάξας· ἀλλὰ καὶ τὴν ἔννοιαν, καὶ αὐτὴν τὴν λέξιν ἀκριβῶς διετήρησα, οὐχὶ δι' ἄλλον σκοπὸν, ἀλλ' ἵνα διαδοθῇ εὐκολωτέρως ἡ ὠφέλεια τοῦ Βεδικοῦ λογίου (4)· *Φευγέτω πᾶς τις τὸ κακόν· ζητείτω τὸ ἀγαθόν*.

« Ἀκουσθήτω οὖν παρὰ πάντων τῶν υἱῶν τῶν ἀνθρώπων ἡ με-

(1) Φευγέτω πᾶς τις τὰ κακὰ, καὶ ζητείτω τὰ ἀγαθά. (Αὐτόθι δίστ. 8.)

(2) Ὅστις ἀκούει ἀναγινωσκομένης τῆς Βαράτας τῆς ἁγίας, τῆς καθαρτικῆς καὶ μακαρίας, τούτῳ τί δεῖ λουτροῦ ἐν τοῖς ἁγίοις ὕδασι ; (Προοίμ. δίστ. 18.)

Ὅτε τοίνυν οὕτω φρονοῦσιν οἱ φρόνιμοι, ἀναγνωστέα ἐστὶν ἀεὶ μετ' εὐλαβείας αὕτη ἡ συλλογὴ καὶ ἐκλογὴ τῆς ἐν τῇ Βαράτᾳ ἀρχαιολογίας. (Αὐτόθι δίστ. 20.)

(3) Αὐτ. δίστ. 2.

(4) Αὐτ. δίστ. 20—21—23—26.

γάλη αὕτη φωνὴ τοῦ θείου Βεάσα, τοῦ συναρμολογήσαντος τὰς Βέδας, καὶ τὴν Μαχαβαράταν συγγράψαντος (1), ἐξ ἧς καὶ τὸ παρὸν παρήχθη ποίημα (2). Οἱ δὲ λόγιοι ἀνεχόμενοι τιμάτωσαν αὐτὸ, οὐχὶ πρὸς ἐμὲ, ἀλλὰ πρὸς τὴν κοινὴν ὠφέλειαν ἀποβλέποντες (3).»

Ἐκ τούτων ἁπάντων πληροφορεῖται ὁ Ἀναγνώστης, ὅτι οὐ μόνον ἡ θεσμοθεσία, καὶ ἡ φιλοσοφία, ἀλλὰ καὶ ἡ ποίησις καὶ πᾶσα ἡ φιλολογία, πηγάζουσι καὶ στηρίζονται εἰς τὴν Βεδικὴν διδασκαλίαν, ἕνα ἔχουσαν σκοπὸν, τὴν *σωτηρίαν* λέγω *τοῦ ἀνθρώπου*· καὶ ἕναν διδάσκουσαν τρόπον, τὴν *ἀποφυγὴν* δηλ. τοῦ *κακοῦ*, καὶ τὴν *πρᾶξιν* τοῦ *ἀγαθοῦ*· ἅπερ ἀκολουθῶν ὁ ἄνθρωπος βιώσει μὲν ἐπὶ γῆς ἐν εἰρήνῃ, τεύξεται δὲ μετὰ θάνατον τῆς ἀϊδίου μακαριότητος. Αὐτὰ κηρύττουσιν αἱ Βέδαι, καὶ τὰ ἱερὰ βιβλία ὅλων τῶν ἀρχαίων Ἀσιατικῶν ἐθνῶν. Ἀλλὰ πρὸ τούτων ἁπάντων τὰ αὐτὰ παραγγέλλει ἡ θεία ἡμῶν Γραφὴ, ὁρίζουσα τὸν μὲν φόβον τοῦ Θεοῦ, σοφίαν, τὴν ἀποχὴν τοῦ κακοῦ, ἐπιστήμην, τὴν δὲ πρᾶξιν τῆς ἀρετῆς, σύνεσιν (4). Τὴν πρὸς τὸν Θεὸν

(1) Αὐτόθι δίστ. 7—9.

(2) Ὁ Βεάσας πάντα τὰ τῆς Βέδας, ἐν τῇ Μαχαβαράτᾳ δεικνύει καὶ ἑρμηνεύει (δίστ. 9). Καὶ ἀλλαχοῦ. «Ὅ,τι περὶ ἀρετῆς καὶ λυτρώσεως ἐστὶν ἐν τῇ Μαχαβαράτᾳ, ἐστὶ καὶ ἐν τῇ Βέδᾳ· ὅ,τι δὲ πλέον τούτων ἐν τῇ Μαχαβαράτᾳ οὐκ ἔστιν, οὐδὲ ἐν τῇ Βέδᾳ οὐκ ἔστιν·» (δίστ. 10).

(3) Αὐτ. δίστ. 6 καὶ 24.

(4) Ἡ σοφία ποῦ εὑρεθήσεται; Ποῖος δὲ τόπος ἐπιστήμης καὶ συνέσεως; Ἡ μὲν Ἄβυσσος εἶπεν· ἡ σοφία οὐκ ἔστιν ἐν ἐμοί· ἡ δὲ θάλασσα, οὐκ ἔστι μετ' ἐμοῦ. Ὁ θάνατος καὶ ἡ ἀπόλεια εἶπον· ἀκηκόαμεν αὐτῆς τὸ κλέος. Ὁ Θεὸς συνέστησεν αὐτῆς τὴν ὁδὸν, εἶπε δὲ τῷ ἀνθρώπῳ· ἰδού. Ἡ θεοσέβεια ἐστὶ σοφία· τὸ δὲ ἀπέχεσθαι ἀπὸ τῶν κακῶν ἐστὶν ἐπιστήμη καὶ ἡ σύνεσις. (Ἰώβ. κεφ. 28.) — Ὁ δὲ Σολομὼν εἶπε· Φοβοῦ τὸν Θεὸν καὶ ἔκκλινον ἀπὸ παντὸς κακοῦ. (Παροιμ. κεφ. 3).

οὖν λατρείαν, τὴν πρᾶξιν τῆς ἀρετῆς, καὶ τὴν τῶν κακῶν ἀποφυγὴν ἀπαντᾷ τις εἰς ἁπάσας σχεδὸν τὰς σελίδας τῆς θείας ἡμῶν Γραφῆς, εἰς τὰς Παροιμίας, τοὺς Προφήτας, τὸν προφητάνακτα Δαβίδ, καὶ ὡς πατριαρχικὴν διαθήκην εὑρίσκομεν διαδοχικῶς καταβαίνουσαν ἀπὸ τοῦ Νῶε, καὶ τοῦ Ἀβραάμ, μέχρι τοῦ Μωϋσέως, τῶν Προφητῶν, καὶ τοῦ ἱεροῦ Εὐαγγελίου· ὥστε ἡ Ἰνδικὴ θεοσοφία, καὶ πᾶσα ἡ τῶν Ἀσιατικῶν ἐθνῶν πρόοδος, πηγάζουσα ἐκ τῶν θείων ἡμῶν γραφῶν, ἐστὶν ἡ ὑψηλοτέρα, καὶ καθολικωτέρα ἔκφρασις τῆς ἠθικῆς ἀναπτύξεως τοῦ ἀνθρωπίνου γένους. Ὅθεν ἐκ τοῦ Ἀσιατικοῦ οροπεδίου ἀναχωρῶν ὁ μέγας τοῦ πολιτισμοῦ ποταμὸς, ἐπροχώρησε μέχρι τῶν ἐσχατιῶν τῆς γῆς, διαφόρους λαβὼν εὐθυβολίας, ἀπὸ τῆς πηγῆς αὐτοῦ ἀπομακρυνόμενος.

Ἂν οὖν ἡ βάσις τῆς διανοητικῆς ἀναπτύξεως τῶν Ἀσιανῶν ἦν ἡ θρησκευτικὴ ἔννοια τοῦ ὁσίου, σκοπὸν ἔχουσα τὴν λύτρωσιν, καὶ τέλος τὴν σωτηρίαν (1), δῆλον ὅτι τὸ γενικὸν πνεῦμα τοῦ πολιτισμοῦ τούτου ὑπῆρξεν ἡ ἠθικὴ τελειοποίησις τοῦ ἀνθρώπου, καὶ ὁ πόλεμος, οὕτως εἰπεῖν, τῆς διανοίας καὶ τοῦ πνεύματος, κατὰ τῆς ὕλης καὶ τῶν αἰσθήσεων· ἤγουν τὸ ἀνάπαλιν τῶν φιλοσοφημάτων καὶ τῶν θεωριῶν τοῦ 18ου αἰῶνος καὶ, κατὰ μέγα μέρος ἴσως, τῆς παρούσης ἑκατονταετηρίδος.

---

(1) Le but avoué des trois écoles du Sankya Theîste, Mythologique, et même l' Athée, ainsi que les autres systèmes indiens de philosophie c' est d' enseigner la doctrine, et les moyens par les quels on peut attcindre à la béatitude éternelle, ou le Souverain Bien après la mort ; si ce n' est avant. (Colebrooke, Essais sur la philosophie des Hindoux.)

Ἂν οὖν πάντα τὰ τῆς Βέδας εὑρίσκωνται ἐν τῇ Μαχαβαράτα, καὶ ὅ,τι δὲν εὑρίσκεται ἐν τῇ Μαχαβαράτα, οὐδὲ ἐν ταῖς Βέδαις εὑρίσκεται (1)· ἡ δὲ παροῦσα πραγματεία συλλογὴ καὶ ἐκλογή ἐστιν ἐκ τῆς Μαχαβαράτας, δῆλον, ὅτι τὸ ἀναχεῖρας ποίημα ἔχει οὐ μόνον φιλολογικὴν, ἀλλὰ καὶ πραγματικὴν ἀξίαν οὐ τὴν τυχοῦσαν, διδάσκον διὰ τερπνῶν διηγημάτων τὴν ἠθικὴν, καὶ διὰ φιλοσοφικῶν λόγων τὴν Ἰνδικὴν Θεοσοφίαν, βάσιν οὖσαν τοῦ πολιτισμοῦ καὶ τῆς διανοητικῆς ἀναπτύξεως τοῦ μεγάλου καὶ ἀρχαιοτάτου τούτου ἔθνους. « Ὅτε τοίνυν οὕτω φρονοῦσιν οἱ φρόνιμοι, ἀναγνωστέα ἐστὶν ἀεὶ μετ᾽ εὐλαβείας αὕτη ἡ συλλογὴ καὶ ἐκλογὴ τῆς ἐν τῇ Βαράτᾳ ἀρχαιολογίας (2). »

Τούτων οὕτως ἐχόντων, ἀκολουθήσομεν ἐν τοῖςδε τοῖς προλεγομένοις οὐχὶ τὴν συνήθη μέθοδον· ἀλλ᾽ ἕκαστον Κεφάλαιον μελετῶντες, ἀναλύσομεν, ὅτι ἀνεξάρτητα ὅλως πρὸς ἄλληλά εἰσι, καὶ ἰδιαιτέραν ἕκαστον ἀποτελεῖ πραγματείαν. Εἰσὶ δὲ τὰ Κεφάλαια ταῦτα τριάκοντα δύο, περιέχοντα ψυχωφελῆ διηγήματα, ἅπερ ἔῤῥευσαν, λέγει, ἐκ τοῦ μελιῤῥύτου στόματος τοῦ Βεάσα, ἐκτὸς τοῦ τριακοστοῦ πρώτου *περὶ ἀληθείας*, ὅπερ διαλαμβάνει τὸν ἀμίμητον διάλογον τῆς Βαχουλᾶς, καθότι τοῦτο ἐλήφθη ἐκ τῆς Βρινδαβαναμαχάτμας (3). Πάντα ὅμως τὰ Κεφάλαια διαλαμβάνουσι περὶ ἠθικῶν καί τινων, ἴσως, μεταφυσικῶν ἀντικειμένων, ἐκτὸς τοῦ τελευταίου, *περὶ Θεοσεβείας*, ὅπερ

(1) Δίστ. 8—10. 17—21.

(2) Δίστ. 20.

(3) Κεφ. 33 δίστ. 175 σχόλ. Ι.

θεολογικὸν, καὶ ὑψηλὸν ἐστὶ, διορίζον μετ᾽ εὐκρινείας τὸ ὕψιστον Θεῖον καὶ τὸ ἄκρον ἐφετόν.

§. 1. *Περὶ παραμυθίας.*

Οἱ Πανδοΐδαι ἐφιλονείκουν περὶ τῆς Βασιλείας κατὰ τῶν συγγενῶν αὐτῶν Καουραβῶν. Οἱ δύο ςρατοὶ, συνελθόντες εἰς τὰς περὶ τὴν Κουροξέτραν λίμνην πεδιάδας, συνεκρότησαν φονικωτάτην μάχην, εἰς ἣν νικηθέντες κατεστράφησαν οἱ Καουραβαὶ, καὶ θανατηφόρως ἐπληγώθη ὁ πρὸς πατρὸς τῶν Πανδοΐδῶν θεῖος Βήσμας, ὅςις εἶχεν ἀναθρέψει αὐτούς (1). Ὁ δίκαιος Βασιλεὺς Ἰνδδιςίρας, νικητὴς τῶν Καουραβῶν, καὶ ἕνεκα τούτου ἐξολοθρευτὴς τοσούτων συγγενῶν, καὶ αἴτιος τῆς τοιαύτης καταστάσεως τοῦ Βήσμα, ἐθλίβετο μεγάλως τὴν ψυχήν. Οὗτος οὖν, ζητῶν παραμυθίαν, ἐπορεύθη πρὸς τὸν ὅσιον Βεάσαν. Ὁ δὲ, παρηγορῆσαι αὐτὸν θέλων, « Μὴ λυποῦ, εἶπεν, ὦ Βασιλεῦ, ἐπὶ τῇ ἀπολείᾳ τῶν συγγενῶν, διότι οἱ ἐν πολέμῳ ἀναιρεθέντες πολεμισταὶ, πορεύονται εἰς τὸν οὐρανὸν, ὡς ἐκπληρώσαντες τὸ ἑαυτῶν καθῆκον· τοῦτο γάρ ἐστιν ὁ ὅρος τοῦ βίου ἑκάστου· ὁ δὲ ἐκπληρῶν τὸ ἑαυτοῦ καθῆκον, οὔτε ἐν τῇ ἐπιτυχίᾳ χαίρει, οὔτε ἐν τῇ ἀποτυχίᾳ λυπεῖται. »

Εἰς τὴν αὐτὴν ἀθυμίαν εὑρισκόμενος ὁ ἥρως Ἀρζούνας πρὸ τῆς ἐνάρξεως τῆς μάχης, « Οὐκ ἔστι θεμιτὸν, εἶπε πρὸς τὸν Κρισνᾶν, τὸν ἐνσαρκωθέντα Βισνοῦν, πολεμεῖν τοὺς οἰκείους. » Ὁ δὲ Θεὸς, ἐπικυρῶν τὴν Βεδικὴν ἐντολὴν τοῦ καθήκοντος, ὑπολαβὼν εἶπε· « Ζῶντες, ἢ ἀποθνήσκοντες πάν-
» τοτε εἴμεθα, ἐσμὲν καὶ ἐσόμεθα (2). Τὸ μὲν σῶμα διὰ

(1) Ἴδε τὰ προλεγ. τῆς Βαλαβαράτας.
(2) Γιτὰ Κεφάλ. Ά. σελ. 5. δίστ. 31—33 καὶ ἐφεξῆς.

τοῦ θανάτου ἀλλάσει μορφήν· ἀλλ' ἡ ψυχὴ, οὖσα ἀΐδιος καὶ ἀμετάβλητος, μένει ἀείποτε ἡ αὐτὴ, καὶ εἰς ἕτερον μετενσωματοῦται σῶμα. Ὁ Θεὸς ἐδημιούργησε τὸν ἄνθρωπον πρὸς ἐκπλήρωσιν μόνον τοῦ ἰδίου καθήκοντος· ἕνεκα τούτου διήρεσε τοὺς Ἰνδοὺς εἰς φυλὰς, διέταξε δ' ἐν ταῖς ἱεραῖς Βέδαις τὸν νόμον, ἤτοι τὸ καθῆκον ἑκάστης. Τὸ καθῆκον οὖν τοῦ στρατιωτικοῦ ἐστιν ὁ πόλεμος· ὁ μὴ πολεμῶν ϛρατιωτικὸς, ἀθετῶν τὸν νόμον, καὶ τὸ καθῆκον αὐτοῦ μὴ ἐκπληρῶν ἁμαρτάνει, ἡ δὲ ἁμαρτία βλάπτει τὴν ψυχὴν, ἀθάνατον οὖσαν. Καθότι ὁ μὲν παραβάτης τοῦ οἰκείου νόμου κολάζεται αἰωνίως ἀπεναντίας δ' ὁ πολεμῶν, ἀναιρούμενος ἢ ἀναιρῶν, ἐπιτυγχάνει τοῦ οὐρανοῦ (1).»

Ὁ Βεάσας πιστεύει θεοπνεύστους τὰς ἱερὰς τῶν Ἰνδῶν γραφάς· αὐτὸς δὲ ὁ Βισνοῦς ἐξηγεῖ τὸ γράμμα καὶ τὸ πνεῦμα αὐτῶν ἐν τῇ Γιτᾷ, ὁ δὲ Βεάσας ἑρμηνεύει τὴν ἔννοιαν. τῶν ἐντολῶν εἰς τὴν Βαράταν, τὴν Βεδάγγαν καὶ ἐνταῦθα.

Ἡ πρώτη οὖν καὶ κυριωτέρα ἐντολὴ τῶν Βεδῶν ἐστι τὸ *καθῆκον*, αὐτὸ δὲ τοῦτο ἐστὶ καὶ τὸ ἀντικείμενον τῆς θεολογίας τοῦ Μιμάνσα, καὶ τῆς ἑρμηνείας τοῦ Βεάσα· ὥστε ἡ ἐντολὴ τῶν Βεδῶν, καὶ ἀμφοτέρων τῶν συστημάτων τούτων ἐστὶ τὸ καθῆκον. Πᾶσα δὲ θυσία, λειτουργικὴ ἢ κοινωνικὴ πρᾶξις, τελουμένη οὐχὶ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ κατὰ ῥητὴν ἐντολὴν καὶ διάταξιν τῶν Βεδῶν, ἐστὶ καθῆκον. Οἱ δὲ σχολιασταὶ ἑρμηνεύουσι· « *καθῆκόν* ἐστι Βεδικὴ ἐντολὴ, ἢ ἀντικείμενον ἐντολῆς τῶν γραφῶν, ἢ πρᾶξις διαταχθεῖσα

(1) Γιτὰ κεφ. β'. προλεγ. Γιτᾶς σελ. κγ'. καὶ ἐφεξῆς.

παρ᾽ αὐτῶν τῶν Βεδῶν·» ὥστε τὸ καθῆκον παρουσιάζεται ἐνταῦθα ὡς δόγμα, ἢ διαθήκη τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον. Τὸ κυρίως οὖν καθῆκον τοῦ ὀρθοδόξου Ἰνδοῦ ἐστιν ἡ ἐκπλήρωσις τῆς ἐντολῆς, παρ᾽ αὐτοῦ τοῦ Θεοῦ διορισθείσης, καὶ ἐν ταῖς ἱεραῖς γραφαῖς ἀποκαλυφθείσης πρὸς σωτηρίαν τοῦ ἀνθρώπου.

Ὁ Θεὸς ἐπομένως, δημιουργήσας τοὺς ἀνθρώπους, διῄρεσεν αὐτοὺς εἰς φυλὰς ἢ τάξεις, καὶ τὰ καθήκοντα μιᾶς ἑκάστης, ἀπὸ τῆς στιγμῆς τῆς γεννήσεως μέχρι τελευτῆς τοῦ Ἰνδοῦ, ἐδιώρισεν· ἐπομένως πᾶς τις ὀφείλει ἵνα ἐκπληρῇ τὴν ἐντολὴν ταύτην τοῦ δημιουργοῦ· ἄλλως, ἀπόλλυται. Ἡ δὲ ἐκπλήρωσις τοῦ καθήκοντος, ἢ ἡ παραμέλεια αὐτοῦ, ἀνήκει εἰς τὴν ψυχὴν, ὡς ἀρχὴν θελήσεως καὶ ἐνεργείας. Ὅςτις οὖν ἐκπληρεῖ αὐτὸ, ἀθανασίας τυγχάνει, κατὰ τὰς Βέδας· παραβαίνων δ᾽ αὐτὸ, κολάζεται. Σκεπτόμενος οὖν ὁ Ξατρὴς εἰς τὸν νόμον ἢ τὸ καθῆκον τῆς ἑαυτοῦ τάξεως, ὀφείλει πολεμεῖν, καὶ οὐκ ἔστιν ἄλλως γενέσθαι. Ἀναιρῶν δ᾽ ἐν πολέμῳ, ἢ ἀναιρούμενος, οὐ μόνον δὲν ἁμαρτάνει, ἀλλ᾽ ἁγιάζεται· διότι ἐκπληρεῖ τὸ ἑαυτοῦ καθῆκον, ἤτοι τὴν ἐντολὴν, ἢ διαθήκην τοῦ δημιουργοῦ, οὐδόλως φροντίζων περὶ τοῦ ἀποτελέσματος. Καθότι ἡ οὐράνιος μακαριότης οὐκ ἐπιγίνεται τῷ Ξατρῇ ἢ πολεμιστῇ ἐξ ἄλλου τινὸς, εἰμὴ ἐκ τῆς ἐπληρώσεως τοῦ ἰδίου καθήκοντος, ἤτοι τοῦ πολέμου.

Πᾶν ὅ,τι πληροῖ τὸν σύμπαντα Κόσμον ἐστὶν ἀνώλεθρον, ὡς ἡ γενικὴ ψυχὴ τοῦ παντὸς, καὶ ἡ ἀρχέγονος ὕλη. Ὁ θάνατος οὖν χωρίζει μόνον τὴν ψυχὴν τοῦ ἀνθρώπου, ἀπὸ τοῦ σώματος· καὶ αὐτὴ μὲν, ὡς ἄϋλος καὶ ἀνώλεθρος, μετενσωματοῦ-

ται αἰωνίως, ἑωσοῦ καθαρισθῇ ἐντελῶς· τὰ δὲ μέρη, τοῦ σώματος διαλυομένου, εἰσέρχονται εἰς τὸν μέγαν σωρὸν τῆς ὕλης, καὶ νέας μορφὰς λαμβάνουσιν. Ὁ θάνατος οὖν, κατὰ τοὺς θεολόγους Ἰνδοὺς, δὲν φθείρει, εἰμὴ τὸ σχῆμα. Ταῦτα πιστεύων ἕκαστος Ἰνδὸς, ὀφείλει ἵνα ἐκπληρώσῃ τὸ ἑαυτοῦ καθῆκον, ἤτοι τὴν ἐντολὴν τοῦ Θεοῦ, οὐδόλως φροντίζων περὶ τοῦ θανάτου, ἤτοι τῆς μεταβολῆς τοῦ σχήματος, οὐδ' ἀθυμήσει ὁ πολεμιστὴς περὶ τοῦ ἀποτελέσματος τοῦ πολέμου, ὅτι τοιοῦτόν ἐστι τὸ καθῆκον τοῦ Ξατρῆ.

Ὥστε ἡ παραμυθία ἐνταῦθα ὁμοίᾳ καθ' ὅλα ἐστὶ τῇ ἐν τῇ Γιτᾷ ἐξηγήσει τοῦ Κρισνᾶ (1), εἰς ἣν συμφωνεῖ καὶ ἡ πρακτικὴ Μιμάνσα (Πούρβα Μιμάνσα), ὡς ἀναφερομένη εἰς τὸ ἔργον (Κάρμα), πρὸς διαστολὴν τῆς θεωρητικῆς Μιμάνσας (Βράχμα-Μιμάνσα), ἐνασχολουμένης εἰς τὴν θεωρίαν τῶν θείων ἀντικειμένων.

Ἡ ἐκπλήρωσις οὖν τοῦ καθήκοντος ἐστὶν ὁ πρὸς ὃν ὅρος τῶν ὀρθῶς φρονούντων. Εἶναι ἀληθὲς, λέγει ὁ Κρισνᾶς ἐν τῇ Γιτᾷ, ὅτι διὰ τῆς θεοφροσύνης καὶ τῆς ὅλως ἀπράγμονος θεωρίας ἐπιτυγχάνει ὁ ἄνθρωπος τὸ ἄκρον ἀγαθὸν, ἤτοι τὴν μετὰ τοῦ Θείου ἕνωσιν· ἀλλ' ἡ τοιαύτη, οὕτως εἰπεῖν, θεοκρασία, ἐστὶ δύσκτητος, ὥστε ἐξ ἀνάγκης ὁ θέλων σωθῆναι ὀφείλει ἵνα ἀκολουθήσῃ τὴν πρᾶξιν τῆς ἀρετῆς, ἥτις οὐδὲν ἕτερόν ἐστιν, ὡς ἔπος εἰπεῖν, εἰμὴ ἡ τοῦ καθήκοντος ἐκπλήρωσις, ὅ ἐστιν ἡ πρᾶξις τῶν *νομίμων ἐθίμων* καὶ τῶν παρὰ τῶν Βεδῶν *διατεταγμένων* (2). Δι' αὐτῶν ἀπολαμ-

(1) Γιτὰ κεφ. β΄.

(2) Γιτὰ αὐτόθι καὶ προλεγόμενα σελ. ιέ, καὶ κγ΄.

βάνει ὁ ἄνθρωπος τὸν οὐρανὸν τοῦ Ἴνδρα, ἔνθα, μετὰ τὴν πρὸς καιρόν τινα ἀπόλαυσιν τῶν ἐκεῖ ἀγαθῶν, ἐπιστρέφει καὶ αὖθις καὶ πολλάκις ἡ ψυχὴ ἐπὶ τῆς γῆς, καὶ ἐνσωματοῦται μέχρι τῆς ἐντελοῦς αὐτῆς καθάρσεως. Τότε μόνον ἑνουμένη ἁγνὴ, μετὰ τοῦ ἀχράντου Θείου, ἀϊδίως μετ' αὐτοῦ διαμένουσα ἀποθεοῦται, καὶ πάσης παλιγγενεσίας καὶ μετενσωματώσεως ἀπαλλάττεται.

Κατ' αὐτὸν τὸν τρόπον παραμυθεῖ ἡ δογματικὴ θεολογία· ἀκολούθως ἕπεται ἡ φιλοσοφικὴ παραμυθία. Ὁ λυπούμενος, λέγει, ἐπὶ τῇ στερήσει τινὸς, λύπην ἐπὶ λύπης ἀνωφελῶς προσθέτει· διότι καὶ τὸν ἀποθανόντα ἀνεπιστρέπτως ἀπώλεσε, καὶ ἑαυτὸν φθείρει, λυπούμενος. Τὸ πένθος δὲν ἐλαττοῦται διὰ τοῦ πένθους. Βραχμάν τις εἶπε πρὸς τὸν βασιλέα Σεναδίταν, ἀχθόμενον ἐπὶ τῷ θανάτῳ τοῦ ἑαυτοῦ υἱοῦ· « Σύ τε καὶ ἐγὼ καὶ πάντες ἡμεῖς τεθνηξόμεθα. Ὁ παῖς, ἐρχόμενος εἰς τὸν κόσμον ἐκ τοῦ ἀχανοῦς, ἄνευ τῆς θελήσεως ἡμῶν, εἰς τὸ ἀχανὲς πάλιν πορεύεται, ἄνευ τῆς ἡμῶν ἀδείας. Τὰ ὄντα εἰσὶν ἀφανῆ ἔντε τῇ ἀρχῇ, καὶ ἐν τῷ τέλει. Ὁ χρόνος καὶ ἡ εἱμαρμένη διορίζουσι τὸν καιρὸν τῆς διαμονῆς ἑκάστου· ὁ ἄνθρωπος γεννώμενος αὐξάνει, γηράσκει, καὶ καθ' ἑκάστην προχωρεῖ εἰς τὸν θάνατον. Ὁ βίος οὖν ἐςιν ἁπλῆ τις ὁδοιπορία. Διατί λοιπὸν ἐν καιρῷ μὲν τῆς πορείας ὁ ἄνθρωπος δὲν ἀθυμεῖ, λυπεῖται δὲ ὅταν φθάσῃ εἰς τὸ τέρμα τῆς ὁδοιπορίας αὐτοῦ; Πάντα τὰ ἐν τῷ κόσμῳ ὄντα εἰσὶν ἐμβεβυθισμένα ἐν τῷ πελάγει τοῦ χρόνου, εἰς ὅ ἐστι γέννησις, ἀκμὴ, παρακμὴ, γῆρας, καὶ θάνατος. Διατί δὲν λυπεῖται μεταβαίνων ἀπὸ τῆς πρώτης εἰς τὴν δευτέραν, ἢ

τὴν τρίτην κατάστασιν, καὶ βαρέως ἀθυμεῖ διὰ τὴν τελευταίαν, ἥτις ἐστὶ τὸ πέρας τῶν προτέρων ἡλικιῶν; Ἡ γέννησις ἀπαιτεῖ ἐξ ἀνάγκης θάνατον, καὶ τ' ἀνάπαλιν, κτλ. ».

Ὥστε τὸ μὲν θεολογικὸν μέρος τῆς παραμυθίας ἐστὶ τῷόντι ὑψηλόν· τὸ δὲ φιλοσοφικὸν σπουδαῖον καὶ ἐμβριθές. Ἀμφότερα δὲ πηγάζουσιν ἐκ τῶν θείων παρ' Ἰνδοῖς γραφῶν· καθότι ἡ γῆ ἐστιν ὁ τόπος, καὶ ὁ βίος ὁ καιρὸς τῆς πράξεως· ὅ,τι δὲ καλὸν ἢ κακὸν πράξῃ τις ἐν τούτῳ τῷ βίῳ, τούτου τὴν ἀμοιβὴν εὑρήσει ὁ ἄνθρωπος μετὰ θάνατον ἐν τῷ ἑτέρῳ βίῳ. Πῶς οὖν σωθήσεται; ἐκπληρῶν, λέγει, ἕκαστος τὸ ἑαυτοῦ καθῆκον, καθὼς ἐνετείλατο ὁ Θεὸς ἐν τῇ βίβλῳ τῆς ἀποκαλύψεως, ἤτοι τῆς Βέδας.

§. 2. *Περὶ πεπρωμένου.*

Ὁ συγγραφεὺς μεταβαίνει ἀκολούθως εἰς δεύτερον εἶδος παραμυθίας τοσοῦτον σπουδαῖον, ὅσον καινοφανές, καὶ ἀντιφατικὸν ὡς πρὸς τὰς Βεδικὰς ἀρχὰς φαίνεται· τοῦτο δ' ἐστὶν ἡ διὰ τοῦ *προωρισμοῦ* καὶ *πεπρωμένου* παραμυθία.

Ὁ Βασιλεὺς Ἰνδδιστίρας, λέγει, μὴ πεισθεὶς ἐντελῶς εἰς τοὺς παραμυθητικοὺς λόγους τοῦ Βεάσα, ἐπορεύθη κατ' εὐθεῖαν πρὸς τὸν γηραιὸν Βήσμαν, ὃν ἰδὼν τῷ ἰδίῳ αἵματι περιῤῥεόμενον καὶ καταπεπαρμένον βέλεσι, βαρέως ἐλυπήθη. «Σὺ, εἶπε πρὸς αὐτὸν, σεβάσμιε πάτερ, ἀνέθρεψας ἡμᾶς· καὶ σὲ, ἡμεῖς θανατηφόρως ἐπληγώσαμεν· ἐγώ εἰμι ὁ σὸς φονεύς. Τοῦτο ἀναλογιζόμενος οὐδεμίαν ἔχω ἄνεσιν. »

«Σὺ, ἀπήντησεν ὁ Βήσμας, ὢν ὑπεξούσιος τῷ πεπρωμένῳ, οὐκ εἶ ὑπεύθυνος τῆς πράξεως· ἡ αἰτία τῶν γεγονότων ἐστὶν ἀόρατος καὶ ἀκατάληπτος. Οἱ δὲ σοφοὶ καὶ

ὅσιοι δοξάζουσιν, ὅτι ἡ διάνοια τοῦ ἀνθρώπου, ὑπὸ τὴν ἐξουσίαν οὖσα τοῦ πεπρωμένου, ἐνεργεῖ οὕτως, ἢ ἄλλως ἐξ ἀνάγκης, ὠθουμένη δηλονότι ὑπὸ τοῦ πεπρωμένου. Καὶ τοῦτο ἔστω σοι τῆς ἀθυμίας τὸ ἀντιφάρμακον. »

«Ἦν ποτὲ γυνή τις Βραχμανὶς, Γαουταμὴ τοὔνομα, ἧς ὁ υἱὸς, δηχθεὶς ὑπό τινος ὄφεως ἐτελεύτησεν. Εἷς δὲ κυνηγὸς, δήσας τὸν ὄφιν, προσήνεγκε τῇ μητρὶ εἰπών· Ὁ ὄφις οὗτός ἐστιν ὁ παιδοκτόνος· θέλεις ὅπως αὐτὸν ἀναιρέσω ; Ἐκ τοῦ θανάτου τοῦ ὄφεως, ἀπήντησεν ἡ γυνὴ, οὐκ ἀνακτήσω τὸν ἐμὸν υἱὸν, ὥστε ἀνωφελὴς ὁ φόνος τοῦ ὄφεως. Ἔπειτα οὐκ ἔστι θεοφιλὲς, κακὸν ἀντὶ κακοῦ ποιῆσαι· τοὐναντίον μάλιστα ἐντέλλονται αἱ Βέδαι, καλὸν ἀντὶ κακοῦ. Ἐκ τούτου θαρήσας ὁ Ὄφις, εἶπεν· ἐγὼ ὢν ὑπεξούσιος, οὔκ εἰμι ὑπεύθυνος, ἀλλ᾽ ὁ θάνατος· οὗτος γὰρ ἐλθὼν εἰς τοῦτο ἐμὲ ὤθησεν. Ὁ δὲ θάνατος, παραστὰς αἴφνης εἶπεν· οὐδὲ ἐγώ εἰμι ὁ αἴτιος τοῦ θανάτου τοῦ παιδός, ἀλλ᾽ ὁ Χρόνος, ὅςις ἄγει καὶ φέρει τὰ πάντα ἐν τῷ κόσμῳ. Τότε παραςὰς καὶ ὁ Χρόνος εἶπεν· οὐδεὶς ἐξ ἡμῶν ἐςιν ὁ αἴτιος τοῦ θανάτου τοῦ παιδός, ἀλλὰ τὸ *πεπρωμένον* καὶ *προωρισμένον*, ὅπερ προορίζεται ὑπὸ τοῦ πεπραγμένου ἔργου παρὰ τούτου τοῦ παιδὸς ἐν τῇ προτέρᾳ αὐτοῦ γεννήσει (1).» Ὥστε ὁ ἄνθρωπος καὶ πράττει, καὶ ἀπολαμβάνει κατὰ τὸ πεπραγμένον, καὶ αὐτό ἐστι τὸ ποιητικὸν αἴτιον, καὶ ἐξ αὐτοῦ τὸ προωρισμένον συμβαίνει (2)· δι᾽ ὃ ἡ ἐν τῇ προτέ-

(1) Ὅ,τι πεπραγμένον ἐστὶν ὑπὸ τούτου τοῦ παιδὸς, τοῦτο ἐστὶ τὸ προτρεπτικὸν, καὶ αἴτιον τοῦ θανάτου αὐτοῦ. Πάντες δ᾽ ἡμεῖς ἐσμὲν ὑπεξούσιοι τῷ πεπραγμένῳ ἔργῳ. (Κεφ. β΄. δίστ. 43.)

(2) Αὐτόθι δίστ. 46.

ρᾳ γεννήσει πρᾶξις τοῦ παιδὸς, ἐστὶ τὸ ποιητικὸν αἴτιον τοῦ προωρισμένου, καὶ ἑπομένως τοῦ θανάτου αὐτοῦ (1). »

Κατὰ τὰς Ἰνδικὰς κοσμογονίας ὁ ὁρώμενος οὗτος Κόσμος ὑπάρχει πρὸ μυριάδων αἰώνων, καὶ μετὰ τὴν πανωλεθρίαν αὐτοῦ δημιουργεῖται ἐκ νέου παρὰ τοῦ Θεοῦ. Καθότι τὸ ὂν γίνεται μὲν μὴ ὂν, ἀλλ᾽ ἡ ὕλη δὲν μηδενίζεται· ὁ δὲ ἄνθρωπος ἐν τῷ κόσμῳ τούτῳ γεννᾶται, ἀποθνήσκει καὶ πάλιν γεννᾶται καὶ ἐφ᾽ ἑξῆς οὕτως. Τὸ μὲν σῶμα ἑκάστοτε διαλύεται εἰς τὰ ἐξ ὧν συνετέθη· ἡ δὲ ψυχὴ, ὡς ἀνώλεθρος μετὰ τὴν φθορὰν τοῦ σώματος, ἀναγεννᾶται μετεμψυχουμένη εἰς ἕτερον σῶμα. Αἱ δὲ κακαὶ, ἢ ἀγαθαὶ πράξεις οὐκ ἀπόλλυνται μετὰ τοῦ σώματος· διότι δὲν ἀνήκουσιν εἰς τὴν ὕλην, ἀλλ᾽ εἰς τὴν ἀνώλεθρον ψυχὴν, λόγον, θέλησιν, ἐνέργειαν καὶ συνείδησιν ἑαυτῆς ἔχουσαν. Ἡ διαμένουσα οὖν αὕτη οὐσία, ὡς αἰτία τῆς πράξεως, φέρει τὸ στίγμα ἢ τὸν ῥύπον τῆς πράξεως, καὶ οὐχὶ ἡ ἀδρανὴς ὕλη, ἢ τὸ ἀναίσθητον σῶμα. Ἡ πρᾶξις οὐσιωδῶς ἑνοῦται μετὰ τῆς ψυχῆς· καὶ καθὼς, λέγει, ὁ ἥλιος καὶ ἡ σκιὰ ἀδιαλείπτως σύνεισιν ἀλλήλοις, οὕτω καὶ ἡ πρᾶξις, καὶ ὁ πράξας (2)· ὥστε, κατὰ τοὺς θεολόγους Ἰνδοὺς, ἡ ψυχὴ ἐν τῇ νέᾳ αὐτῆς συλλήψει, ἔχουσα τὸ στίγμα ἢ τὸν τύπον τοῦ ἁμαρτήματος τοῦ ἐν τῇ προτέρᾳ βιώσει πραχθέντος, ἐνσωματοῦται ἐκ νέου σὺν τῷ τύπῳ αὐτῷ, ἑωσοῦ δι᾽ ἐναντίας πράξεως, ἤτοι τῆς ἀρετῆς, ἐξαλειφθῇ ὁ ῥύπος οὗτος τῆς ἁμαρτίας. Αὐτὸ τὸ πεπραγμένον οὖν ἔργον τυποῦται εἰς

(1) Αὐτόθι δίστ. 50—51.

(2) Δίστ. 59.

τὴν ψυχὴν, καὶ αὐτὸ ἀποκαθίσταται τὸ ποιητικὸν αἴτιον τοῦ προωρισμένου, ἢ εἱμαρμένου. Ἐκ τούτου διορίζεται οὐ μόνον ἡ τύχη τοῦ ἀνθρώπου, ἀλλὰ καὶ ἡ εὐδαιμονία ἢ ἡ ἀθλιότης, ἡ εὐημερία, ἢ ἡ κακοδαιμονία, ἡ ζωὴ, ἢ ὁ θάνατος, τὰ εὐτυχήματα, ἢ τὰ δυςυχήματα τοῦ παρόντος βίου· «ὅτι τὸ προπεπραγμένον σύνεστι τῷ ἀνθρώπῳ καὶ γρηγοροῦντι, καὶ ὑπνόττοντι (1)·» ὥστε κατ' αὐτοὺς ὁ ἄνθρωπος καὶ ἡ διάνοια αὐτοῦ ἐστιν ὑπεξούσιος εἰς τὸ προωρισμένον, ὅπερ διορίζεται ἐκ τοῦ πεπραγμένου ἔργου, καὶ « οὐδεὶς λέγει, ἐπὶ γῆς δυνατός »ἐστι μετατρέψαι βίᾳ ἢ μηχανῇ τὸ ἐν τῷ προτέρῳ σώματι »πεπραγμένον καὶ ἑπομένως τὸ προωρισμένον. (2)» Ἐκ τῶν οἰκείων ἔργων πᾶσα ψυχὴ ζῶσα τυγχάνει μετὰ θάνατον φύσεως Θεοῦ, (ὡς οἱ θεόφρονες), ἢ ἀνθρώπου ἐνδόξου καὶ ὀλβίου (ὡς οἱ ἐνάρετοι, καὶ τὸ καθῆκον αὐτῶν ἐκπληρώσαντες), ἢ θηρίου, πτηνοῦ, ζωϋφίου, φυτοῦ ἢ λίθου (ὡς οἱ φαῦλοι), ἀναλόγως δηλονότι τοῦ βαθμοῦ τῶν ὧν ἔπραξαν κακῶν ἐν τῷ προτέρῳ βίῳ· ὥςε τὸ πεπραγμένον διορίζει τὸ προωρισμένον καὶ εἱμαρμένον. Οἷον δ' ἐςὶ τὸ εἱμαρμένον, τοιοῦτος γίνεται καὶ μορφοῦται ὁ νοῦς, ἡ γνώμη, ἡ κλίσις, καὶ τὸ βούλημα τοῦ ἀνθρώπου, καὶ τοιαῦταί εἰσιν ἑπομένως αἱ πράξεις αὐτοῦ (3).

Τὴν περὶ πεπρωμένου δοξασίαν τῶν Ἰνδῶν, θεωρήσας καινοφανῆ καὶ λίαν περίεργον, ἐξέθεσα ὁπωσοῦν ἔντινι ἐκτάσει, καὶ πάλιν ἴσως ἐπανέλθω. Εἶναι δὲ ἄξιον σημειώσεως ὅτι

(1) Αὐτόθι δίστ. 62.

(2) Αὐτ. δίστ. 52.

(3) Πρόδρομος Πολιτ. οἰκονομ. δίστ. 36—37. Καὶ Ἰτιχασ. Κεφ. Β'. δίστ. 60.

ἡ τοιαύτη περὶ τοῦ προορισμοῦ ἔννοια ἀνατρέπει τὴν οὐσιωδεστέραν βάσιν τῶν Βεδῶν, ἤτοι τὸ καθῆκον. Καθότι ὁ ἄνθρωπός ἐστιν ὑπεξούσιος καὶ, κατὰ τοὺς θεοσόφους Ἰνδοὺς « ἡ διάνοια τῶν ἀνθρώπων ὑπὸ τὴν ἐξουσίαν ἐστὶ »τοῦ πεπρωμένου· ὢν δὲ ὁ ἄνθρωπος ὑπεξούσιος, οὐκ ἔστιν »αὐτεξούσιος· μὴ ὢν δ' αὐτεξούσιος, οὐκ ἔςιν ὑπεύθυνος (1)· «Σὺ, λέγει ὁ Βήσμας, ὢν ὑπεξούσιος, πῶς νομίζεις σεαυτὸν »ὑπαίτιον (2); ἅπαντες ἡμεῖς ἐσμεν ὑπεξούσιοι τῷ πεπραγμένῳ »ἔργῳ (3)· ὅστις δὲ οἴεται, ὡς αὐτός ἐστιν ὁ αἴτιος τῶν »πρὸς τοὺς ἄλλους ἀγαθῶν ἢ κακῶν, οὗτος οἰηματίας ἐστὶ »καὶ φρονηματίας (4)· καθότι τὸ πεπραγμένον ἔργον ἐςὶ δυ- »σεξάλειπτον, ἐὰν μὴ ἔλθῃ εἰς ἀπόλαυσιν (5).» Οὕτως μηδενίζεται ὅλως διόλου τὸ αὐτεξούσιον, καὶ δεσμεύεται πᾶσα ἡ τοῦ ἀνθρώπου ἐλευθερία· καθότι ὁ ἄνθρωπος «φέρεται βιαίως ἐκεῖ, ἔνθα συρόμενος ἕλκεται ὡς *δεδεμένος παρὰ τοῦ πε- »πρωμένου, ὥσπερ σχοινίῳ* (6)· » καὶ τοῦτο, ἑωσοῦ ἐξαλειφθῇ διὰ καλῆς πράξεως «ὅτι τὸ ἔργον οὐ καταναλίσκεται καὶ ἐν ἀπείροις αἰῶσιν, ἐὰν μὴ ἔλθῃ εἰς ἀπόλαυσιν ὁ καρπὸς αὐτοῦ· ἀφεύκτως γὰρ δεῖ ἀπολαβεῖν τὸν καρπὸν τῶν ἀγαθῶν ἢ κακῶν ἔργων. (7)» Διὰ τοῦτο βεβαιοῖ, ὅτι οὐδεμία δύναμις

(1) Αὐτ. κεφ. ε´. σελ. 16 δίστ. 9.
(2) Αὐτ. δίστ. 8.
(3) Αὐτ. σελ. 20 δίστ. 43.
(4) Αὐτ. σελ. 21 δίστ. 54.
(5) Αὐτ. δίστ. 56.
(6) Αὐτ. δίστ. 61.
(7) Ἴδε ἐν τῷ Προδρόμ. πολιτ. οἰκονομ. ἐκ διαφ. ποιητῶν δίστ. 226—229. Καὶ οἱ Θεοὶ πάντες ἑνωθέντες οὐ δύνανται ἄλλως πως ποιῆσαι καὶ μετατρέψαι τὸ πεπρωμένον. (Πρόδρομ. αὐτόθι δίσ.τ231—232.)

θεία, ἢ ἀνθρώπινος ἱκανή ἐστιν ἐξαλεῖψαι τὸ πεπραγμένον, ἢ μετατρέψαι τὸ προωρισμένον καὶ εἱμαρμένον (1). Ὁ ἄνθρωπος ἑπομένος, φερόμενος δεδεμένος ὑπὸ τοῦ προωρισμένου, ὅπερ ὑπὸ τοῦ πεπραγμένου ἐν ἄλλῃ γεννήσει διορίζεται, οὐκ ἔστιν αὐτεξούσιος, οὐδ' ἐλεύθερος· μὴ ὢν δ' αὐτεξούσιος καὶ ἐλεύθερος, οὐκ ἔστιν ὑπεύθυνος, οὐδ' αὐτοῦ τοῦ φόνου, καὶ τοῦτο βεβαιοῖ καὶ ὁ Βήσμας, εἰπών· « Σὺ ὁ φονεύσας ἡμᾶς, ὢν ὑπεξούσιος τῷ πεπρωμένῳ, ὑπεύθυνος οὐκ εἶ τῆς πράξεως ἤτοι τοῦ φόνου ἡμῶν.»

Τοῦτο οὖν τὸ ἐκ τοῦ πεπραγμένου προωρισμένον, καλεῖται εἱμαρμένον καὶ Εἱμαρμένη (2), ἥτις ἐςὶν ἀνάγκη ἀδυσώπητος, καὶ θεότης μυστηριώδης καὶ ἀνεξήγητος παρὰ τοῖς ἀρχαίοις, καὶ τῆς ὁποίας ἡ ἀρχὴ, ἤγουν τὸ προπεπραγμένον ἐδιωρίσθη, κατά τινα τρόπον, παρὰ τῶν θεοσόφων Ἰνδῶν. Οὐδεὶς ἄρα ἐστὶν ὁ αἴτιος τοῦ θανάτου τοῦ παιδὸς τῆς Γαουταμῆς, οὔτε ὁ ὄφις, οὔτε ὁ θάνατος, οὔτε ὁ χρόνος, ἀλλὰ τὸ πεπρωμένον, καὶ τοῦτο κατὰ συνέπειαν τοῦ προπεπραγμένου ἔργου παρ' αὐτοῦ τοῦ παιδὸς ἐν τῇ προτέρᾳ αὐτοῦ βιώσει. Καὶ καθὼς ὁ λύχνος σβέννυται μετὰ τὴν ἀνάλωσιν τοῦ ἐλαίου, οὕτω καὶ ὁ ῥύπος τοῦ ἁμαρτήματος, ἢ ὁ τύπος τῆς πράξεως ἐξαλείφεται μετὰ τὴν ἀνάλωσιν μόνον τοῦ πεπραγμένου ἔργου (3).

(1) Οἷόν ἐστι τὸ πεπραγμένον, τοιοῦτον ἐστὶ καὶ τὸ εἱμαρμένον· καὶ οἷον τὸ εἱμαρμένον, τοιοῦτος γίνεται καὶ ὁ νοῦς καὶ ἡ γνώμη· καὶ τὸ βούλημα τοῦ ἀνθρώπου εἰς τοῦτο ῥέπει, καὶ τοῦτο ποιεῖ. Ἴδε Πρόδρομ. πολιτ. οἰκον. ἐκ διαφ. ποιητῶν δίστ. 36—37.

(2) Τὸ παρὰ Λατίνοις Fatum ἐκ τοῦ fari, φημί, ἴσον διορίζω, διατάσσω. Παράγεται δὲ ἀπὸ τοῦ μέρω, μερίζω· ἐξ ὧν τὸ μαίρω, μείρομαι, μέμαρμαι καὶ εἵμαρμαι, ἐξ οὗ εἱμαρμένη.

(3) Ἰτιχάσα-Σαμ. Κεφ. Γ'. δίστ. 66—67.

Ὁ ἄνθρωπος προσβαλλόμενος ἀκουσίως ὑπὸ τῶν φυσικῶν καὶ ἠθικῶν φαινομένων, καὶ ἀγνοῶν τὴν αἰτίαν, κατέφυγεν εἰς ἄγνωστόν τινα ἀρχήν. Οἱ δὲ σοφοὶ, παρατηροῦντες ἄνισον, κατὰ τὸ φαινόμενον, διανομὴν τοῦ ἀγαθοῦ καὶ κακοῦ, παρεδέχθησαν ὡς αἰτίαν μυστηριώδη θεότητά τινα, ἣν Εἱμαρμένην ὠνόμασαν, κυβερνῶσαν ἀοράτως τὴν παγκόσμιον τάξιν, καὶ αὐτὴν τὴν χορείαν τῶν ἐν Ὀλύμπῳ θεῶν. Ὁ Ζεὺς δὲν ἠδυνήθη ἵνα μεταβάλῃ τὴν κατὰ τοῦ υἱοῦ αὐτοῦ Σαρπηδῶνος ἀπόφασιν τῆς ἀδυσωπήτου Εἱμαρμένης (1)· οὐδὲ τὴν κατὰ τοῦ Πατρόκλου, τοῦ Ἕκτορος καὶ τοῦ Ἀχιλλέως (2).

Ἡ Εἱμαρμένη, κατὰ τοὺς Ἕλληνας, ἐστὶ νόμος τις γενικὸς, ἀμετάβλητος, καὶ ἀπόφασις ὑπερτάτου Θεοῦ, καὶ Θεός (3)· ἀλλ᾽ οἱ σοφοὶ Ἕλληνές τε καὶ Ἰνδοὶ, ἀγνοοῦντες τὴν οὐσίαν τῆς πρώτης ἀρχῆς, ἠπατήθησαν καὶ εἰς τὴν τοῦ Κόσμου καὶ τὴν τοῦ ἀνθρώπου· διότι ὁ πάνσοφος δημιουργὸς, δίδων εἰς τὸν ἄνθρωπον τὰ πολύτιμα δῶρα τοῦ αὐτεξουσίου, ἤτοι τῆς ἐλευθερίας καὶ τοῦ λόγου, κατέστησεν αὐτὸν κύριον τῆς ἐκλογῆς τῆς ἐνεργείας αὐτοῦ καὶ τῆς πράξεως, καὶ ἐκ τούτου, ὑπεύθυνον καὶ ἄξιον ἀμοιβῆς, ἢ ποινῆς ἀπεκατέστησεν· ὁ δὲ Θεὸς διετήρησεν εἰς ἑαυτὸν τὸ πανάγαθον, τὴν ἄπειρον δικαιοσύνην, καὶ τὴν πάνσοφον αὐτοῦ πρόνοιαν καὶ ἀγάπην·

(1) Ἰλιὰς Ε΄. στίχ. 683.

(2) Αὐτόθι στίχ. 655—696 κτλ.

(3) Οἶμαι δὲ καὶ τὴν ἀνάγκην οὐκ ἄλλο τι λέγεσθαι, πλὴν τοῦτον τὸν Θεὸν, οἱονεὶ ἀνίκητον οὐσίαν ὄντα. Εἱμαρμένην δὲ διὰ τὸ εἴρειν τε καὶ χωρεῖν ἀκωλύτως· πεπρωμένον δὲ διὰ τὸ περατοῦσθαι πάντα, καὶ μηδὲν ἐν τοῖς οὖσιν ἄπειρον εἶναι· καὶ μοῖραν, ἀπὸ τοῦ μεμερίσθαι. (Ἀριστοτ. Περὶ Κόσμου σελ. 401 ἐκδ. Βεκκέρου.) Κατὰ τὸν αὐτὸν τρόπον ἐξηγεῖ παρακατιὼν ὁ Σταγειρίτης σοφὸς, καὶ τὰς τρεῖς Μοίρας.

Ἂν ὅμως ὁ ἄνθρωπος, κατά τε τοὺς Ἰνδοὺς καὶ Ἕλληνας, ὑπόκειται εἰς τὴν ἀναπόδραστον δύναμιν τῆς Εἱμαρμένης καὶ τοῦ πεπρωμένου, ἐκτὸς αὐτοῦ ὄντων, καὶ ὑπεράνω τῆς θελήσεως αὐτοῦ ἐνεργούντων, οὗτος δὲν διαμένει πλέον οὔτε αὐτεξούσιος, οὔτε ἐλεύθερος. Ὁ λόγος καὶ ἡ ἐλευθερία εἰσὶ δυνάμεις ὑποδεέστεραι καὶ ἀνωφελεῖς· τὸ δὲ πεπρωμένον ἢ εἱμαρμένον, ὡς ἀπόλυτος καὶ πανσθενὴς δεσπότης, διέπει τὰς πράξεις τοῦ ἀνθρώπου, πᾶν διανόημα, καὶ πᾶσαν αὐτοῦ ἐνέργειαν. Κατ' αὐτὸν τὸν λόγον ἡ ἠθικὴ ἀξία τοῦ ἀνθρώπου καταστρέφεται ὅλως διόλου καὶ μηδενίζεται. Ἄνευ οὖν αὐτεξουσίου καὶ ἐλευθερίας, ἄνευ λόγου καὶ θελήσεως ὁ ἄνθρωπος, συρόμενος δεδεμένος διὰ τοῦ σχοινίου, ὡς λέγουν οἱ θεόσοφοι, τοῦ πεπρωμένου καὶ προπεπραγμένου, φέρεται ἄκων, οὕτως εἰπεῖν, καὶ βιαίως εἰς ταύτην ἢ ἐκείνην τὴν πρᾶξιν. Τοιοῦτος δ' ὤν, δὲν εἶναι αὐτὸς ὁ αἴτιος, καὶ ἑπομένως οὐδ' ὑπεύθυνος τῆς κακῆς πράξεως, οὐδ' ἄξιος ποινῆς, ἢ ἀμοιβῆς. Ἄδικος ἄρα καθίσταται πᾶσα τιμωρία καὶ ἐν τῷ παρόντι βίῳ, καὶ ἐν τῷ μέλλοντι· ἄδικοί εἰσι καὶ οἱ θεῖοι νόμοι, καὶ οἱ ἀνθρώπινοι· οὕτως καταστρέφεται διὰ μιᾶς καὶ ἡ παροῦσα τῶν ἀνθρώπων κοινωνία, καὶ ἡ μέλλουσα αὐτῶν ἐλπίς.

Ἀλλ' ἂν τὸ καθῆκόν ἐστι « πρᾶξις διοριζομένη καὶ τελουμένη κατὰ ῥητὴν διάταξιν τῶν Βεδῶν καί, ὡς ἀνωτέρω ἐῤῥέθη, ἐντολὴ τοῦ Θεοῦ· ὁ δὲ ἄνθρωπος ἐνεργεῖ ὡς παθητικὸν ὄργανον ἀνωτέρας δυνάμεως· αὐτὴ ἡ δύναμις, καὶ οὐχὶ τὸ παθητικὸν αὐτῆς ὄργανον εἶναι ὑπεύθυνος ἂν ὁ ἄνθρωπος, ἤτοι τὸ παθητικὸν ὄργανον δὲν ἐκπληρώσῃ τὴν διάταξιν τῶν Βεδῶν, καὶ τὴν ἐντολὴν τοῦ Θεοῦ. Πῶς δύναται ὁ ἄνθρωπος ἵνα ἐκλέξῃ

καὶ τελέσῃ τὸ καθῆκον, ὅταν ἀφαιρεῖται ἀπ᾽ αὐτοῦ ἡ δύναμις τῆς ἐκλογῆς, καὶ τῆς πράξεως; Ἀδίκως οὖν τιμωροῦσιν οἱ θεῖοι νόμοι καὶ οἱ κοινωνικοὶ θεσμοὶ τὴν κακὴν πρᾶξιν, καὶ τὸν ὄντα ὑπεξούσιον ἀνωτέρας δυνάμεως ἄνθρωπον· ἀδίκως ἐπαινεῖται ἡ ἀρετή· ἀδίκως τιμωρεῖται ἡ κακία· περιττός ἐστι καὶ αὐτὸς ὁ ἔλεγχος τῆς συνειδήσεως. « Διατὶ, λέγει ὁ Βῆσμας, λυπῆσαι διὰ τὸν θάνατον τῶν σῶν συγγενῶν καὶ οἰκείων; Σὺ ὢν ὑπεξούσιος, οὐκ εἶ ὑπεύθυνος· σὺ ἐνήργησας οὕτως ἐξ ἀνάγκης, ὥς ἐστι προωρισμένον, καὶ οὐχὶ κατ᾽ ἰδίαν θέλησιν (1). »

Ὅσον ὅμως ἡ δοξασία τοῦ προορισμοῦ ἐστιν ἐσφαλμένη καὶ τοῦ Βεδικοῦ καθήκοντος ἀντιφατική, τοσοῦτον ἡ αἰτία τοῦ προορισμοῦ ἐςι περίεργος καὶ σπουδαία. Ἡ Εἱμαρμένη τῶν Ἑλλήνων, καὶ τὸ τῶν Λατίνων fatum ἐστὶν ἀνεξήγητος καὶ μυστηριώδης δύναμις· ἀπ᾽ ἐναντίας παρ᾽ Ἰνδοῖς τὸ πεπρωμένον καὶ προωρισμένον διορίζεται παρὰ τοῦ πεπραγμένου ἔργου ἐν τῇ προτέρᾳ διαβιώσει. Ἐπειδὴ πᾶσα πρᾶξις ἔρχεται, λέγουσιν, ἀφεύκτως εἰς ἀπόλαυσιν· ἡ δὲ πρᾶξις, καὶ ἡ πράξασα ψυχή εἰσιν οὐσιωδῶς ἡνωμέναι, ἐπὶ τῆς διαμενούσης ψυχῆς, ἐντυποῦται, οὕτως εἰπεῖν, ὁ ῥύπος τῆς πραχθείσης πράξεως· ὥστε μετὰ τὸν χωρισμὸν αὐτῆς ἀπὸ τοῦ σώματος, αὐτὸ μὲν διαλύεται, καὶ εἰς ἄλλον μεταβάλλεται σχῆμα· ἡ δὲ ζῶσα ψυχὴ, φέρουσα τὸν τύπον τῆς πράξεως ταύτης, εἰσέρχεται εἰς νέον σκήνωμα, καὶ ἐνσωματοῦται, μετὰ τοῦ τύπου τοῦ πεπραγμένου ἔργου, ὅπως ἀπολάβῃ εἰς ταύτην, ἢ εἰς ἄλλην παλιγγενεσίαν τὴν

(1) Αὐτ. δίστ. 8. 9. 10.

ἀμοιβὴν, ἢ τὴν ποινὴν τῆς πράξεως ἐκείνης· καθότι « τὸ πεπραγμένον ἔργον οὐκ ἐξαλείφεται, ἐὰν μὴ ἔλθῃ εἰς ἀπόλαυσιν (1). » Ἡ ἀπόλαυσις αὕτη ἐστὶν ἡ ποινὴ, ἥτις μόνη κραταιὰ οὖσα καθαρίζει τὸν ῥύπον τῆς ἁμαρτίας, καὶ διασώζει τὰ ὄντα (2). Ἡ ψυχὴ οὖν, εἰσερχομένη εἰς τὸ νέον σῶμα, φέρει μεθ' ἑαυτῆς, ὡς ἐῤῥέθη, τὸν τύπον ἢ τὸ στίγμα τῆς προπραχθείσης ἐν τῇ προτέρᾳ γεννήσει ἁμαρτίας, καὶ ἑπομένως, τὸν προωρισμὸν τῆς παρούσης ζωῆς· αὐτὸ δὲ τὸ νέον σῶμα, ὡς ὁ ἀναλελυμένος κηρὸς,. λαμβάνει τὸ σχῆμα τοῦ πρωτοτύπου. Οὕτω καὶ τὸ νέον σῶμα τυποῦται κατὰ τὸν τύπον τῆς ψυχῆς, φερούσης τὸ στίγμα τοῦ πεπραγμένου ἔργου· τυπούμενον δὲ οὕτως ἢ ἄλλως, λαμβάνει τὸ οὕτω σχηματισθὲν σῶμα, τὴν τοιάνδε κλίσιν καὶ ῥοπὴν, τοιάνδε βούλησιν καὶ ἐπιθυμίαν καὶ ὄρεξιν τοῦ οὗ ἔλαβε τύπου (3) τῆς ἀρετῆς ἢ τῆς κακίας. Εἰς μάτην παλαίει ἐνίοτε ὁ ἄνθρωπος κατὰ τῆς τοιαύτης κλίσεως· τὸ πεπρωμένον, κατὰ τὸ προπεπραγμένον ἔργον, ἔρχεται πάντοτε εἰς ἀπόλαυσιν (4). Καθότι αὐτό ἐςιν αὐτεξούσιον· ὁ δὲ ἄνθρωπος ἐςὶν ὑπεξούσιος, ἑπομένως ἀναίτιος, καὶ ἀνεύθυνος (5). Πᾶσα οὖν ἡ ἠθικὴ δύναμις, ἡ σοφία, καὶ ἡ φρόνησις τοῦ ἀνθρώπου εἰσὶν ἀνω-

(1) Δίστ. 36.

(2) Κεφ. Γ'. δίστ. 16.

(3) Καθὼς ὁ χρυσὸς ἢ ὁ ἄργυρος ἐγχεόμενος τυποῦται κατὰ τὸ πρωτότυπον, οὕτω καὶ ὁ ἄνθρωπος ἀναγκαζόμενος πράττει κατὰ τὸ πεπραγμένον ἔργον. (Κεφ. Ϭ'. δίστ. 46.)

(4) Κατ' ἄλλον μὲν τρόπον ὁ ἄνθρωπος τῇ οἰκίᾳ ἀγχινοίᾳ καὶ σοφίᾳ θέλει ποιῆσαι τὸ πρᾶγμα, κατ' ἄλλον δὲ τρόπον τοῦτο ποιεῖ τὸ πεπραγμένον ἔργον, ὡς αὐτεξούσιον. (Αὐτ. κεφ. Ϭ'. δίστ. 53.)

(5) Δίστ. 47.)

φελῆ (1). Οὕτω μηδενίζεται ἡ ἐλευθερία τοῦ ἀνθρώπου, τὸ αὐτεξούσιον, τὸ λογικὸν, καὶ αὐτὴ ἡ συνείδησις· πρὸς τὶ ὁ ἔπαινος τῆς ἀρετῆς, πρὸς τὶ αἱ ἀραὶ τῶν ὁσίων ἀνδρῶν κατὰ τῆς βιαιοπραγίας, πρὸς τὶ ἡ ἀμοιβὴ καὶ ἡ τιμωρία τῶν θείων καὶ ἀνθρωπίνων θεσμοθεσιῶν καὶ τῶν νόμων; πῶς ἄνευ αὐτεξουσίου, ὢν μάλιστα ὑπεξούσιος ὁ ἄνθρωπος δύναται ἵνα ἐκπληρώσῃ τὸ παρὰ τῶν Βεδῶν καθῆκον ; Ὥςε οἱ θεολόγοι Ἰνδοὶ, παραδεχθέντες τὴν ἀρχὴν τοῦ προορισμοῦ, διοριζομένου παρὰ τοῦ προπραχθέντος ἐν ἑτέρᾳ γεννήσει ἔργου, κατέστρεψαν δωρεὰν τὴν οὐσιωδεστέραν βάσιν τῶν ἰδίων γραφῶν, καὶ τῆς θεσμοθεσίας τοῦ Μανοῦ. Ἀφ' ἑνὸς διδάσκουσι τὴν θεωρίαν καὶ τὴν θεοφροσύνην· καὶ ἀφ' ἑτέρου φέρουσι τὴν διάνοιαν κατ' εὐθεῖαν εἰς τὸν ὑλισμὸν καὶ τὴν ὑλοφροσύνην, ἀποκαθιστῶντες ἀνεξήγητον καὶ ματαίαν τὴν θείαν πρόνοιαν, καὶ τὴν ἀθανασίαν τῆς ψυχῆς· ὥστε τὸ πρῶτον μέρος τῆς παραμυθίας, ἤτοι ἡ τοῦ καθήκοντος ἐπλήρωσις, ἐστὶ δογματικόν· τὸ δὲ δεύτερον, ἤγουν τὸ προωρισμένον, στηριζόμενον εἰς τὸ προπεπραγμένον ἔργον, ἀνατρέπει τὸ πρῶτον.

Ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἀντιφάσει ἡ ἠθικὴ διδασκαλία τῆς Γαουταμῆς ἐστὶν ὑψηλὴ καὶ ἀξιοθαύμαστος. Ὁ μὲν ὄφις ἐστὶν ὁ φονεὺς τοῦ τέκνου αὐτῆς· ἡ δὲ δὲν συγχωρεῖ τὴν ἐκδίκησιν. « Τούτου, λέγει, ἀναιρεθέντος οὐδαμῶς τὸ ζῆν ὁ ἐμὸς υἱὸς ἀναλήψεται. Οὐ δεῖ κακὸν ἀντὶ κακοῦ ποιεῖν· ἀλλ'

(1) Τί ἂν ποιήσοιτο ὁ φρόνιμος ἄνθρωπος, ὃς ἐρεθίζεται ὑπὸ τῆς Εἱμαρμένης ; ἐκ γενέσεως γὰρ ὁ νοῦς τῶν ἀνθρώπων ἀκολουθεῖ τῇ Εἱμαρμένῃ. (Πρόδρομος πολιτ. καὶ οἰκον. ἐκ διαφ. ποιητ. δίστ. 37.)

ἀγαθὸν, ἀντὶ κακοῦ μάλιστα· αὐτὸς γὰρ ἑαυτὸν κακοποιεῖ, ὃς κακὸν ποιεῖν ἐπιθυμεῖ. Διότι ἡ κακὴ πρᾶξις ἀπώλλεσεν ἤδη τὴν ψυχὴν τοῦ κακοποιοῦ· ὁ ἐκδικούμενος οὖν τὸν τοιοῦτον νεκροκτόνος γενόμενος κολάζεται. Πολλοί εἰσιν οἱ ποιοῦντες ἀγαθὸν τοῖς ἀγαθοποιοῖς· ἀλλ᾽ οἱ ποιοῦντες ἀγαθὸν τοῖς κακοῖς σπάνιοί εἰσι καὶ ἐκλεκτοί. Ἐκεῖνοι μόνον εἰσὶν ἀγαθοὶ, καὶ ἐπ᾽ ἀγαθῷ γεγεννημένοι, οἵτινες τοὺς κακοποιοῦντας ἀγαθοποιοῦσι. Ὁ φοβούμενος τὴν αἰώνιον τιμωρίαν μηδὲν μηδενὶ ποιείτω κακὸν, οὐδὲ κακὸν ἀντὶ κακοῦ ἀνταποδότω, ἀλλ᾽ ἀγαθὸν μάλιστα ἀντὶ κακοῦ (1). » Ὁ εὐποιῶν τῷ ὄντι, τὸν χρεῖαν ἔχοντα, ἐνάρετον καὶ εὔσπλαγχνον δεικνύει ψυχήν· ὁ εὐποιῶν τὸν εὐποιήσαντα ἡμᾶς πρότερον, εὐγνώμονα ἔχει ψυχήν· ὁ δὲ εὐποιῶν τὸν κακοποιήσαντα, θείαν (2), καὶ οὐσιωδῶς ἀγαθὴν καὶ ἐκλεκτὴν ψυχήν.

---

(1) Κεφ. ϐ'. δίστ. 19—21—22—24.

(2) Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; ἀγαπῶντες δὲ τοὺς ἐχθροὺς ὑμῶν, ἔσεσθε τέλειοι, ὡς ὁ πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειος ἐστί (Εὐαγ. κατὰ Ματθ. κεφ. έ. Καὶ κατὰ Λουκᾶν κεφ. στ', καὶ κγ'. Πράξ.τῶν Ἀποστ. κεφ. ζ'. 60. Πρὸς Ῥωμ. κεφ. ιϐ' 14—20. Πρὸς Κορ. δ'. 13.)

Εἶναι δὲ ἄξιον παρατηρήσεως, ὅτι ἀπὸ Μωϋσέως, μέχρι τοῦ Σωτῆρος ὑπῆρχεν ἄλλη ἀρχὴ, ἤγουν ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου. Ὁ δὲ Κύριος ἡμῶν λέγει (αὐτόθι),« Ἠκούσατε ὅ,τι ἐῤῥέθη, Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου. Ἐγὼ δὲ λέγω ἡμῖν. Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. Εὐλογῆτε τοὺς καταρωμένους ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καὶ διωκόντων ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς.» Διὰ τοῦ παραγγέλματος τούτου τοῦ Σωτῆρος, ἡ τοῦ ἀνθρώπου φύσις λαμϐάνουσα τὴν ἀνωτάτην τελειότητα, ἀποθεοῦται· ὁ δὲ εὐσεϐὴς, ἀκολουθῶν τὴν ἐντολὴν ταύτην υἱὸς τοῦ Θεοῦ γίνεται. Ἐκ τούτου παρατηροῦνται δύο εἴδη ἠθικῶν ἀρχῶν· αἱ πρὸ τοῦ Σωτῆρος ἀρχαιόταται, ἤγουν αἱ τοῦ Μωϋσέως καὶ τῶν προφητῶν, καὶ αἱ τοῦ Σωτῆρος Εἰς αὐτὰς συμφωνοῦσι

§. 3. Περὶ ἐγκρατείας.

Ἐγκράτειά ἐστι τὸ κρατεῖν ἑαυτοῦ· ὅςτις οὖν δαμάζων τὰ πάθη χαλιναγωγεῖ τὰς αἰσθήσεις καὶ ὀρέξεις, κρατῶν ἑαυτοῦ, οὗτος λέγεται κυρίως ἐγκρατής (1).

Οἱ Ἰνδοὶ σοφοὶ θεωροῦσι τὴν ἐγκράτειαν ὡς τὴν ἀρίστην τῶν ἀρετῶν. Δι' αὐτῆς, λέγουσι, ταπεινοῦται ἡ ταραχὴ τῶν αἰσθήσεων, δαμάζεται ἡ φαντασία τῶν ὑλικῶν προσβολῶν, καθαρίζεται ἡ διάνοια, λαμπρύνεται ὁ νοῦς, ὁ δὲ φωτεινὸς καὶ καθαρὸς νοῦς ὑψοῦται μέχρι τοῦ ἀχράντου Θείου διὰ τῆς θεοφροσύνης καὶ τῆς θεωρίας. Ἀνωφελής ἐστι πᾶσα μάθησις, πᾶσα ἐπιστήμη, καὶ αὐτῶν τῶν Βεδῶν ἡ μελέτη ἄνευ ἐγκρατείας. Ὁ ἀκρατὴς, ὢν ἡδυπαθὴς, πλεονέκτης, ὑβριστὴς, ὑπὸ τοῦ θυμοῦ τῆς ἡδονῆς καὶ τῶν λοιπῶν τῆς σαρκὸς ἐπιθυμιῶν δουλαγωγούμενος, δὲν ὠφελεῖται οὔτε ἐκ τῆς ἀναγνώσεως τῶν Βεδῶν, οὔτε ἐκ τῆς θυσίας, οὔτε ἐκ τῆς προσευχῆς καὶ τῆς νηστείας (2). Ἡ ἐγκράτεια ἐστὶ ῥίζα τῆς μαθήσεως (3), καὶ δι' αὐτῆς μόνης ἐπιτυγχάνει ὁ ἄνθρωπος τοῦ σκοποῦ, ὅς ἐστιν, ἡ λύτρωσις καὶ ἡ σωτηρία (4). Καθότι οἱ ὅσιοι καὶ πραεῖς τῷ πνεύματι λέγουσιν, ὅτι ἡ ἐγκράτεια, ἐξ ἧς κτᾶται ἡ θεοφροσύνη, ἡ λύτρωσις καὶ ἐπὶ τέλους ὁ

μέχρι λέξεως καὶ αἱ τῆς Γαουταμῆς· ἐξ οὗ εἰκάζεται ὅτι τὰ ὑψηλὰ παραγγέλματα τοῦ ἱεροῦ Εὐαγγελίου, εἶχον ἤδη ἐξαπλωθῆ μέχρι τοῦ Γάγγου· οἱ δὲ ἐναρετώτεροι τῶν Βραχμάνων παραδεχθέντες, ἐτελειοποίησαν τὴν ἠθικὴν τῆς Βεδικῆς διδασκαλίας.

(1) Κεφ. γ΄. δίστ. 14.

(2) Αὐτ. δίστ. 7.

(3) Αὐτ. δίστ. 23.

(4) Αὐτ. δίστ. 25.

οὐρανὸς, ἔχει πρὸς τοῖς ἄλλοις καὶ τὰ ἑξῆς· τὸ μὴ καταφρονεῖν, τὸ μὴ ἔχειν ἔχθραν, μῖσος, οἴησιν καὶ θυμόν· ὁ δὲ ἐγκρατὴς, νικητὴς ὢν τῶν αἰσθήσεων, τῆς σαρκὸς, καὶ τοῦ κόσμου, πρᾶος ὢν καὶ ἱλαρὸς τῷ πνεύματι, πρόσκειται τῇ θεοφροσύνῃ καὶ τοῖς νενομισμένοις, ἀπέχει ἀπὸ παντὸς εἴδους ζωοκτονίας καὶ σκληρότητος, οὐδενὸς ἐφίεται, καὶ τὴν σωφροσύνην ἀσπάζεται· οὗτος τυγχάνει τῆς ὑψίστης ἐν οὐρανῷ χώρας. Ἄκουσον, ὦ τέκνον, λέγει πάλιν ὁ γηραιὸς Βήσμας πρὸς τὸν Βασιλέα Ἰνδδιστίραν, ἄκουσον τὴν καθόλου ἀρετὴν καὶ ἀκούσας, θὲς αὐτὴν ἐν καρδίᾳ· « *ὃ σὺ μισεῖς ἑτέρῳ μὴ ποιήσεις* (1). Ὅστις ἐγκρατὴς ὢν βλέπει τὴν μὲν ἀλλοτρίαν γυναῖκα ὡς μητέρα, τὸ δὲ ἀλλότριον κτῆμα ὡς βῶλον· πᾶν δὲ ἔμψυχον ὡς ἑαυτὸν, οὗτος ὀρθῶς βλέπει, καὶ εἰς τὴν ἄφθαρτον καὶ ἀΐδιον πορεύεται χώραν.»

Αὕτη ἐστὶν ἡ παρ' Ἰνδοῖς ἱερὰ περὶ ἐγκρατείας μυσταγωγία, ἥτις θεῖος ἐστὶ θησαυρὸς, καὶ ὁ φωταγωγὸς λύχνος ἐν τῷ σκοτεινῷ τόπῳ τούτου τοῦ βίου (2).

§. 4. *Περὶ δόσεως ἢ ἐλεημοσύνης.*

Οἱ ἄνθρωποι ταλαιπωροῦνται, κοπιάζουσι, διέρχονται τὰς ἐρήμους, καὶ τὰς θαλάσσας διαπλέουσι πρὸς κτῆσιν πλούτου (3)· δύσπρακτος ἄρα ἐστὶν ἡ ἐλεημοσύνη καὶ ἡ δόσις χρημάτων, μετὰ κόπου καὶ κινδύνων συναχθέντων· διὰ

(1) Αὐτ. κεφ. γ'. σελ. 29 δίστ. 46.

(2) Αὐτ. δίστ. 39—40.

(3) Διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι ἡμῖν γίγνονται. Τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ. (Πλάτ. Φαίδων σελ. 177).

τοῦτο καὶ μέγας ἐστὶν ὁ μισθὸς αὐτῆς ἐν τῷ ἑτέρῳ βίῳ. Πῶς δὲ περιφρονήσει τις τοῦ πλούτου ὑπὲρ τῶν μελλόντων ἀγαθῶν;

Ἡ ἐλεημοσύνη ἀπαιτεῖ τὴν πρὸς τὸ Θεῖον σταθερὰν πίστιν· ἡ θεία πίστις ἐστὶν ἀγνιστική, θεμέλιον καὶ μήτηρ τοῦ παντὸς, καὶ διαπλευστικὴ τοῦ πελάγους τοῦ κόσμου· αὕτη ἐστὶν ἡ βάσις πάσης ἀρετῆς (1). Ὁ πιστεύων ἀδιστάκτως, ὅτι ἡ μετὰ θάνατον μακαριότητος μείζων ἐστὶ πάντων τῶν ἐπὶ γῆς ἀγαθῶν, ὁ τοιοῦτος ἐλεεῖ τὸν χρεῖαν ἔχοντα καὶ, πεινῶν, τὸν πεινῶντα τρέφει.

Ἦν ποτε ὅσιός τις Βραχμὰν, Μουγδάλας καλούμενος, ἐγκρατὴς καὶ θεόφρων, ἐκ σταχυολογίας ζῶν· ἕτερος δὲ ὅσιος, Δουρβάνας τοὔνομα, ἦλθε πειναλέος τροφὴν ζητῆσαι παρ' αὐτοῦ. Ὁ δὲ φιλοφρόνως δεξάμενος πᾶσαν τὴν ἑαυτοῦ ἔδωκε τῷ ξένῳ τροφήν. Τοῦτο ἐποίησεν ἑξάκις, πάντοτε νήστης διαμένων. Ὁ δὲ Δουρβάνας, θαυμάσας καὶ τὴν καθαρὰν καρδίαν αὐτοῦ γνοὺς, εἶπε χαίρων· « Σὺ εἶ ἐλεήμων καὶ μακάριος ὅτι, ὅπως ἄλλον χορτάσῃς, νικήσας τὴν πεῖναν, τὸν κόσμον καὶ τὸν οὐρανὸν ἀπέκτησας. »

Ἐν τούτοις ἐπέστη ἄγγελος Θεοῦ, ἐπὶ θείου φορείου ἐποχούμενος καὶ εἶπε τῷ Μουγδάλᾳ· « ἐλθὲ μετ' ἐμοῦ εἰς τὸν »οὐρανὸν, ὅτι διὰ τῆς μεγάλης σου ἐλεημοσύνης ἔτυχες χά»ριτος παρὰ Θεοῦ· » ὁ δὲ Μουγδάλας ἠρώτησε τὸν ἄγγελον· «εἰπέ μοι πρότερον· ποῖα εἰσὶ τὰ ἐν οὐρανῷ ἀγαθά· καὶ ποῖα τὰ κακά; » ὁ δὲ ἄγγελος ὑπολαβὼν εἶπεν·

(1) Ἰτιχάσα κεφ. δ'. δίστ. 8—9.

«Ἐν τῷ οὐρανῷ τοῦ Ἴνδρα εἰσὶ μοναὶ καὶ παράδεισοι πολλοὶ, λειμῶνες ἀειθαλεῖς, καὶ οἰκήματα λαμπρὰ, κινούμενα κατὰ τὴν ἐπιθυμίαν τοῦ οἰκοῦντος καὶ δορυφορούμενα στίφεσι θείων νυμφῶν. Οἱ ταῦτα οἰκοῦντες εὐποροῦσι πάντων τῶν εὐκταίων, καὶ οὐδενὸς στεροῦνται, οὐδὲ πόνον ἢ ἀλγηδόνα ἔχουσιν. Εἰς τοῦτον οὖν τὸν οὐρανὸν οὐκ εἰσέρχονται οἱ ἄθεοι καὶ ἀσεβεῖς, οἱ ἄδικοι καὶ ἀκρατεῖς, οἱ φονεῖς καὶ οἱ συκοφάνται, οἱ ἀχάριστοι καὶ ἀγνώμονες, οἱ πλεονέκται καὶ οἱ ἅρπαγες, οἱ ὑπερήφανοι καὶ ὑπερόπται κτλ. ἀλλ' οἱ τὰ ἐναντία τούτων ποιοῦντες, καὶ τὴν ἀρετὴν ἀσκοῦντες. Τοιοῦτός ἐστιν ὁ παράδεισος τοῦ Ἴνδρα καὶ τῶν ἐναρέτων.

Τὰ δὲ κακὰ, ἢ αἱ ἐλλείψεις τοῦ οὐρανοῦ τοῦ Ἴνδρα εἰσί. 1ον ἡ πρόσκαιρος ἀπόλαυσις τῶν ἀγαθῶν τούτων· καθότι μετά τινα χρόνον ἡ ψυχὴ τοῦ ἐναρέτου ἐντρυφήσασα ἐπιστρέφει πάλιν εἰς τὴν γῆν, καὶ μετενσωματοῦται· 2ον δὲ κακὸν ἐν τῷ οὐρανῷ τούτῳ ἐστὶν ἡ λύπη, ἣν αἰσθάνεται ἡ ψυχὴ τοῦ μετρίως ἐναρέτου, βλέπουσα τὴν μείζονα δόξαν τοῦ ἐναρετωτέρου, μὴ δυναμένη μάλιστα ἐν οὐρανῷ ἵνα πράξῃ καὶ αὐτὴ μείζονα ἀρετὴν, πρὸς ἀπόλαυσιν μείζονος δόξης· ὥστε τὸ πρόσκαιρον τῶν ἀγαθῶν, καὶ ἡ δυσαρέσκεια αὕτη εἰσὶ τὰ κακὰ τοῦ οὐρανοῦ τοῦ Ἴνδρα.»

Τότε ὁ Μουγδάλας ἠρώτησεν, ἂν ὑπάρχῃ καὶ ἕτερος τόπος κρείττων τοῦ παραδείσου τοῦ Ἴνδρα· ὁ δὲ ἄγγελος ἀπήντησεν, ὅτι ἀνωτέρω τοῦ τόπου τούτου κεῖται ὁ ὕψιστος χῶρος τοῦ Βισνοῦ, ὅστις *Παράμ-Βράχμα* ἢ *ὑπέρτατον Θεῖον* καλεῖται (1)· ἐν τούτῳ τῷ τόπῳ πορεύονται οἱ ἐγ-

(1) Αὐτ. δίστ. 49.

κρατεῖς, καὶ ἀπαθεῖς, οἱ εὔσπλαγχνοι καὶ ἐλεήμονες, οἱ νικηταὶ τῶν αἰσθήσεων καὶ τοῦ Κόσμου, οἱ θεόφρονες καὶ θεωρητικοί· οὗτοι ἑνοῦνται μετὰ τοῦ Θεοῦ, καὶ ἀποθεοῦνται.

«Ἄπελθε οὖν εἶπεν ὁ ὅσιος Μουγδάλας τῷ ἀγγέλῳ· ἐγὼ δ' οὐ πορευθήσομαι εἰς οὐρανὸν, πρόσκαιρα ἔχοντα ἀγαθά· ἀλλὰ διαμένων εἰσέτι ἐπὶ τῆς γῆς, ἔνθα ἐστὶν ὁ τόπος τῆς ἐκλογῆς, καὶ τῆς πράξεως τῆς ἀρετῆς, μείζονα καὶ τελειωτέραν ἀρετὴν ἐργασάμενος, μείζονος καὶ τελείας ἀξιωθήσομαι χάριτος· ἀπαθὴς γὰρ καὶ ἐγκρατὴς μᾶλλον γενόμενος, ἐλεήμων, ἱλαρὸς, καὶ τὴν μεγάλην θεοφροσύνην καὶ θεωρίαν κτησάμενος, φωτεινὸς διὰ τῆς θείας γνώσεως, καὶ ἁγνὸς δι' ἐγκρατείας γενόμενος, ἑνωθήσεται ἡ ψυχή μου χωριζομένη τοῦ σώματος, μετὰ τοῦ ἀχράντου Θείου, καὶ μετ' αὐτοῦ ἀϊδίως διαμένουσα, οὐδόλως παλιγγενεθεῖσα μετενσωματωθήσεται.»

Ἐκ τούτων βλέπει τρανώτατα ὁ ἀναγνώστης, ὅτι ἡ περὶ ἀθανασίας ψυχῆς, καὶ ἡ περὶ ἀμοιβῆς καὶ ποινῆς θεωρία τῶν Ἰνδῶν, ἐστὶ λίαν περίεργος καὶ σπουδαία· οὐχ ἧττον δὲ καὶ τὰ δύο εἴδη τῶν παραδείσων, ἐξ ὧν οὐρανὸν τοῦ Ἴνδρα λέγουσι τὸν πρῶτον, καὶ ὑπέρτατον Θεῖον ἢ Παράμ-Βράχμα τὸν δεύτερον, ὅς ἐστιν ὁ ὕψιστος χῶρος τοῦ Θεοῦ τῶν θεῶν Βισνοῦ. Οἱ δύο οὗτοι παράδεισοι οὐσιώδη ἔχουσι πρὸς ἀλλήλους διαφοράν· καθότι εἰς τὸν μὲν, τὰ οὐράνια ἀγαθά εἰσι πρόσκαιρα· εἰς τὸν ἕτερον δὲ, ἀΐδια· εἰς τὸν πρῶτον πορεύονται οἱ ἐνάρετοι, οἱ τὰ ἀγαθὰ ποιήσαντες, καὶ τὸ ἑαυτῶν καθῆκον τελέσαντες κατὰ τὴν ἐντολὴν τῶν

Βεδῶν· εἰς δὲ τὸν δεύτερον, οἱ ἀπαθεῖς θεωρητικοὶ καὶ ὅλως θεόφρονες· ὥστε ἡ ψυχὴ τοῦ ἐναρέτου, διαμείνασα χρόνον τινὰ εἰς τὸν οὐρανὸν τοῦ Ἴνδρα, καὶ τὰ ἐκεῖ οὐράνια ἀγαθὰ ἐντρυφήσασα, (κατ' ἀναλογίαν τῆς ἧς ἔπραξεν ἀρετῆς ἐν τῷ παρόντι βίῳ), ἐπανέρχεται πάλιν εἰς τὴν γῆν, καὶ μετενσωματοῦται εἰς βελτίονα κατάστασιν. Καὶ μετὰ τὸ ποιῆσαι νέας ἀγαθοεργίας, πάλιν ἀνέρχεται εἰς τὸν οὐρανὸν, καὶ πάλιν κάτεισι καὶ μετενσωματοῦται, καὶ οὕτως ἡ ἄνοδος καὶ κάθοδος γίνεται αἰωνίως. Τοῦτό ἐστι τὸ *ἄκρον ἐφετὸν* τοῦ Μιμάνσα, καὶ τῆς σχολῆς αὐτοῦ (1). Τοὺς τοιούτους ὅμως ἀσόφους καὶ φιλήδονας ἀποκαλεῖ ὁ Βεάσας (2), ὅστις εἰς οὐδὲν λογιζόμενος τὰ ἀγαθὰ τῆς γῆς, καὶ αὐτὰ τοῦ οὐρανοῦ τοῦ Ἴνδρα, ἕνεκα τῆς προσωρινότητος, δοξάζει τὴν πρᾶξιν τῆς ἀρετῆς καὶ τὴν θεωρίαν, ὡς δύο ἀναγκαίας ὁδοὺς, εἰς τὸ ἄκρον ἀγαθὸν ἀγούσας. Διὰ μὲν τῆς πρακτικῆς ἀρετῆς καὶ τῆς ἐγκρατείας, (ἥτις ἐστὶν ἡ τοῦ Σωκράτους καὶ Πλάτωνος σωφροσύνη) ἀναβιβάζεται ἡ ψυχὴ εἰς τὴν θεωρίαν καὶ τὴν θεοφροσύνην· δι' αὐτῶν δὲ πάλιν ἑνοῦται μετὰ τοῦ ἀχράντου Θείου, καὶ τοῦτο ἐστὶ τὸ *εὐκταῖον* καὶ *ὄντως ἐφετόν*, *καὶ τὸ ἄκρον ἀγαθόν*. Ἡ τοιαύτη πρακτικὴ ἀρετὴ, ἧς σκοπός ἐστιν ἡ θεωρία, καὶ ἡ πρὸς Θεὸν ἀΐδιως ἕνωσις, ἐστὶ σκόπιμος καὶ μονομερής· ἡ δὲ ἁπλῶς πρακτικὴ, ἡ τελουμένη πρὸς ἀπόλαυσιν τῶν ἀγαθῶν τοῦ οὐρανοῦ μόνον τοῦ Ἴνδρα, ἐστὶν ἐπισφαλὴς, πολυμερὴς, καὶ πρόσκαιρος. Ὁ Βεάσας οὖν

(1) Γιτὰ κεφ. β΄. δίστ. 39 καὶ ἐφεξῆς.

(2) Γιτὰ αὐτόθι δίστ. 42—43.

δοξάζει ἄκρον ἀγαθὸν καὶ χαρὰν ἀνήκουστον τὴν μετὰ τοῦ Θείου ἀΐδιον ἕνωσιν, καὶ οὐχὶ τὴν ἀπόλαυσιν τοῦ οὐρανοῦ τοῦ Ἴνδρα. Πρῶτον μὲν διότι εἰς αὐτὸν πολλαὶ μοναί εἰσι καὶ τάξεις διάφοροι, κατὰ τὸ μέτρον τῆς ἀρετῆς ἑκάστου· ὅθεν ὁ κατώτερος, βλέπων τὴν μείζονα δόξαν τοῦ ἐναρετωτέρου, ἄχθεταί πως καὶ λυπεῖται, ὥστε ὁ οὐρανὸς οὗτος δὲν εἶναι ὁ τόπος, ἔνθα οὐκ ἔστι λύπη ἢ στεναγμὸς, οὐδὲ ζωὴ καὶ μακαριότης ἀτελεύτητος· δεύτερον δὲ, διότι ἡ ἀπόλαυσις τῶν ἐκεῖ ἀγαθῶν ἐστι προσωρινὴ, καθότι αἱ ψυχαὶ πάλιν ἐκεῖθεν καταπίπτουσιν καὶ ἐνσωματοῦνται, καὶ εἰς νέας τοῦ Κόσμου δοκιμασίας καὶ δεινὰ καθυποβάλλονται. Τὰ δύο εἴδη τῶν παραδείσων ἐγέννησαν ἐξ ἀνάγκης δύο εἴδη ἄκρων ἐφετῶν, καὶ τὰ διάφορα τῶν θεολόγων περὶ ἀνωτάτης μακαριότητος συστήματα. Ἡ διαφορὰ αὕτη προῆλθεν ἐκ τῆς ἀσαφείας τῆς Βέδας, εἰς ἣν παρατηρεῖται τὸ ἑξῆς ῥητόν· « *Ἡμεῖς ἐπίαμεν πόμα* (τὸ ἐν θυσίᾳ ἐθιζόμενον), καὶ *ἐγενόμεθα ἀθάνατοι.* » Ὁ Βεάσας οὖν καθάπτεται τῶν περὶ τὸν Μιμάνσαν καὶ Ζαϊμινὴν θεολόγων, τῶν ἐξηγούντων κατὰ λέξιν καὶ ὑλικῶς πως τὴν Βεδικὴν ῥῆσιν, καὶ οὐχὶ ἀλληγορικιῶς καὶ πνευματικῶς. Πόμα ἐξηγεῖ ὁ Βεάσας τὴν θεωρίαν αὐτοῦ τοῦ Θείου, ἣν πίνων ὁ θεόφρων τυγχάνει τῆς ἀθανασίας. Τοῦτό ἐστι τὸ «ἡμεῖς ἐπίαμεν πόμα, καὶ ἐγεννόμεθα ἀθάνατοι (1)·» ὅ ἐστιν ἐθεωρήσαμεν τὸν Θεὸν, καὶ ἐγενόμεθα ἀθάνατοι.

Ἡ γῆ ἑπομένως ἐστὶν ὁ τόπος τῆς πράξεως, καὶ ὁ βίος ὁ χρόνος τῆς ἐκλογῆς αὐτῆς, καλῆς δηλ. ἢ κακῆς. Διότι καὶ

(1) Γιτὰ αὐτόθι.

κατὰ τοὺς Ἰνδούς, μετὰ θάνατον οὐκ ἔστι μετάνοια. Τρεῖς ἑπομένως εἰσὶν οἱ περιμένοντες τὴν ψυχὴν μετὰ θάνατον τόποι, πρὸς ποινὴν ἢ ἀμοιβὴν τῶν ὧν ἔπραξεν ἐν τῷ βίῳ ἀγαθῶν ἢ κακῶν ἔργων· ὁ ᾅδης, ὁ οὐρανὸς τοῦ Ἴνδρα, καὶ ὁ ὕψιστος χῶρος τοῦ Βισνοῦ, εἰς ὃν φθάσασα ἡ ψυχὴ αἰωνίως ἀναπαύεται, ἑνοῦται μετὰ τοῦ Θείου, καὶ ἀποθεοῦται. Ἐπειδὴ δὲ ὁ Κόσμος οὗτός ἐστι, τῷ ὄντι, πολυώδυνος, ἀναρίθμητα δ' εἰσὶ τὰ ἐν αὐτῷ δεινά, καὶ πολυειδεῖς οἱ κίνδυνοι, εἰς οὓς εὑρίσκεται ἐκτεθειμένος ὁ ἄνθρωπος, ἕνεκα τῆς ἀσθενείας τῆς σαρκός, τῆς ταραχῆς τῶν αἰσθήσεων καὶ τῶν παθῶν, ὁ ὅσιος Μουγδάλας, φανεὶς ἄξιος, ἕνεκα τῆς ἐλεημοσύνης, τοῦ παραδείσου τοῦ Ἴνδρα, ἐξ οὗ μετά τινα χρόνον ὀφείλει ἵνα καταβῇ εἰς τὴν γῆν καὶ μετασωματωθῇ, δὲν τὸν ἐδέχθη, ὡς πρόσκαιρον, ἐφήμερα ἔχοντα ἀγαθά· ἀλλ' ἔμεινεν εἰσέτι εἰς τὴν γῆν, τὸν τόπον δηλονότι τῆς ἐκλογῆς καὶ τῆς πράξεως, ὅπως δι' ὑψηλῆς ἀρετῆς, ἤτοι τῆς ἀπαθείας καὶ τῆς θεωρίας, ἀξιωθῇ τοῦ ὑψίστου χώρου, καὶ τῆς μετὰ τοῦ Θείου αἰδίου ἑνώσεως καὶ μακαριότητος.

Ἀπ' ἐναντίας, ὁ σοφὸς Μιμάνσας καὶ Ἰαιμινής, θεωροῦντες δυσκατόρθωτον τὴν ἀπόλυτον θεωρίαν, συμβουλεύουσι τὴν πρᾶξιν τῆς ἁπλῆς ἀρετῆς, δι' ἧς λέγουσιν ὁ ἄνθρωπος ἀφ' ἑνὸς μὲν ἀποφεύγει τὸν ᾅδην, καὶ ἀφ' ἑτέρου ἀποκτᾷ τὸν παράδεισον τοῦ Ἴνδρα. Ὁ τοιοῦτος οὐ μόνον ἀπολαμβάνει, κατ' αὐτούς, τάτε ἐπίγεια καὶ τὰ οὐράνια ἀγαθά, ἅπερ καίτοι πρόσκαιρα προξενοῦσι πάντοτε εὐχαρίστησιν· ἀλλ' ἔχει καὶ τὸ προτέρημα τῆς παλιγγενεσίας, καὶ τὴν ἐλπίδα τῆς

μικρὸν κατὰ μικρὸν κτήσεως τῆς θεωρίας, δι᾽ ἧς ἐπιγίνεται ἡ πρὸς Θεὸν ἕνωσις.

Ὁ Βεάσας ὅμως, ὅλως ὢν πνευματικὸς, καὶ τὴν ὕλην σχεδὸν ἀρνούμενος, περιφρονεῖ τὰ ἐπίγεια ἀγαθὰ, καὶ οὐχ ἧττον τὰ ἐν τῷ οὐρανῷ τοῦ Ἴνδρα, ἕνεκα τῆς προσωρινότητος. Τὴν δὲ παλιγγενεσίαν θεωρῶν ὡς κακὸν, διότι δι᾽ αὐτῆς ἐπανέρχεται ἡ ψυχὴ εἰς τὸν ταραχώδη καὶ πολυώδυνον τοῦτον βίον, πλήρη ὄντα δεινῶν καὶ κινδύνων, συμβουλεύει τὴν δι᾽ ἀπαθείας καὶ θεωρίας τελειότητα, δι᾽ ὧν ἑνοῦται ἡ ψυχὴ ἀϊδίως μετὰ τοῦ ἀχράντου Θείου, καὶ οὐδέποτε πλέον ἐπανέρχεται εἰς τὴν γῆν, οὐδὲ μετενσωματοῦται. Ἡ ἕνωσις καὶ ἀποθέωσις αὕτη ἐστὶ, κατ᾽ αὐτὸν, τὸ ἄκρον ἐφετὸν, τὸ πάνυ ἀγαθόν. Αὐτὰ οὖν ταῦτα ἑρμηνεύει ἐν τῇ Μαχαβαράτᾳ· τὰ αὐτὰ ἐξηγεῖ διὰ τοῦ στόματος τοῦ Κρισνᾶ ἐν τῇ Γιτᾷ πρὸς τὸν Ἀρζούναν· τὰ αὐτὰ ἐπαναλαμβάνει εἰς τὴν Βεδάνταν καὶ διδάσκει ἐνταῦθα διὰ τοῦ διηγήματος τοῦ Μουγδάλα.

§. 5 *Περὶ τῆς σωτηρίας τοῦ κινδυνεύοντος.*

Ποία ἐςὶν ἡ ἀμοιβὴ τῷ ἀνθρώπῳ τῷ σώζοντι ἀπὸ μεγάλου κινδύνου τὸν κινδυνεύοντα ἄνθρωπον, καὶ βοήθειαν ζητοῦντα;

Ἐν τῷ Κεφαλαίῳ τούτῳ ἐξετάζεται ἡ μεγάλη τῆς φιλανθρωπίας καὶ εὐσπλαγχνίας ἀρετή· ἀναπτύσσεται ἡ τοῦ ἀνθρώπου ἠθικὴ ἀξία, καὶ ἡ ὑπεροχὴ τοῦ ἠθικοῦ καθήκοντος δείκνυται. Ἐνταῦθα ὁ ἠθικὸς ἄνθρωπος θυσιάζει καὶ τὸ ἑαυτοῦ συμφέρον, καὶ ἑαυτὸν ὑπὲρ τοῦ ἀϊδίου νόμου τῆς ἠθικῆς τελειότητος, ἣν ἀδιστάκτως πιστεύει. Οἱ Θεοὶ, λέγει,

σταθμίσαντες τὴν θυσίαν, τὴν προσευχὴν, τὴν σκληραγωγίαν, κτλ. εὗρον ὅτι ἡ σωτηρία τοῦ ἐν μεγάλῳ κινδύνῳ εὑρισκομένου, ἐστὶν ὑπερτέρα, καὶ περὶ τούτου ἐπιφέρουσι τὸ ἑξῆς διήγημα·

Ὁ Θεὸς Ἴνδρας, καὶ ὁ Θεὸς τοῦ πυρὸς Ἀγνὴς, πειραθῆναι βουλόμενοι τοῦ Βασιλέως Σιβῆ, ὁ μὲν Ἴνδρας, μεταμορφωθεὶς εἰς ἱέρακα, ἐδίωκε περιστερὰν, εἰς ἣν μετεμορφώθη ὁ Ἀγνῆς· ἡ δὲ διωκομένη καὶ κινδυνεύουσα τὸν ἔσχατον κίνδυνον, κατέφυγεν εἰς τὸν κόλπον τοῦ Βασιλέως Σιβῆ, δεομένη ὑπ᾽ αὐτοῦ σωθῆναι. Καὶ ὁ μὲν προθύμως ἐδέχθη· ὁ δὲ ἱέραξ προσελθὼν, εἶπε τῷ Βασιλεῖ· « Σὺ δίκαιος ὢν, πῶς ἀδικεῖς ἐμὲ τὸν πεινῶντα ; » Αὕτη ἡ φιλόζωος περιστερὰ, ἀπεκρίθη ὁ Σιβὴς, κατέφυγεν εἰς ἐμὲ, σωτηρίαν ζητοῦσα· πῶς οὖν αὐτὴν παραδώσω ; Τοιαύτη προδοσία, ὡς ἀληθὴς Βραχμανοκτονία λογίζεται, καὶ ὡς ἁμάρτημα θανάσιμον παρὰ τῶν γραφῶν κολάζεται· αἴτησον οὖν ἄλλο ἀντάλλαγμα· αὐτὴν γὰρ ἐγὼ οὔσοι παραδώσω.

Ὁ δὲ Ἱέραξ εἶπε· « Πάντα τὰ ζῶα διὰ τῆς τροφῆς ζῶσιν, αὐξάνουσι καὶ διατηροῦνται· ἄνευ οὖν τροφῆς τεθνήξομαι ἐγώ τε, καὶ σὺν ἐμοὶ ἡ γυνὴ, καὶ τὰ τέκνα. Σώζων ἄρα μίαν περιστερὰν, πολλοὺς ἀπωλέσεις. Ἡ ἐντολὴ τῶν γραφῶν ἐστιν ἄκυρος· καθότι πᾶσα ἐντολὴ, καὶ πᾶς ἠθικὸς νόμος, ἐναντίος ὢν τοῦ φυσικοῦ νόμου, ἐστὶν ἄδικος· ἀπ᾽ ἐναντίας ὅταν ἡ ἐντολὴ συμφωνῇ ὡς πρὸς τὸν φυσικὸν νόμον, ἐστὶ δικαία· ἡ δὲ μὴ συμφωνοῦσα ἄδικος. Δύο οὖν προκειμένων καὶ ἀντικειμένων, ἔκλεξον τὸ μεῖζον.

Ὁ δὲ βασιλεὺς εἶπε· «Μείζων ἀγαθόν ἐστιν ἡ σωτηρία τοῦ

κινδυνεύοντος· διὸ ἡ ἐν οὐρανῷ ἀμοιβὴ, τῶν μὲν ἄλλων ἀρετῶν εἰσι τὰ πρόσκαιρα ἀγαθὰ τοῦ παραδείσου τοῦ Ἴνδρα· ἡ δὲ ἕνεκα σωτηρίας τοῦ κινδυνεύοντος ἀμοιβή ἐστιν ἡ ἀΐδιος μακαριότης τοῦ ὑψίστου χώρου τοῦ Βισνοῦ. Ἐγὼ οὖν δώσω σοι πᾶσαν τὴν ἐμὴν βασιλείαν, καὶ αὐτὸ τὸ ἐμὸν σῶμα, οὐχὶ δὲ τὴν περιστεράν.

Ἀλλ' ἡ περιστερὰ, εἶπεν ὁ Ἱέραξ, ἐποιήθη ὑπὸ τοῦ ποιητοῦ Βραχμᾶ, πρὸς βρῶσιν ἡμῶν· σὺ οὖν, σώζων αὐτὴν, ἀδικεῖς ἐμὲ, καὶ παρανομεῖς. Οὐ παρανομεῖ, ἀπήντησεν ὁ Σιβὴς, ὁ τὸν νόμον ἀκολουθῶν· νόμος δ' ἱερός ἐστιν ὁ πρὸς πάντα τὰ ἔμψυχα οἶκτος· καὶ ἕτερος, ἡ τοῦ κινδυνεύοντος σωτηρία. Ἀλλ' ἵνα σώσω τὴν περιστερὰν, οὐδὲ σὲ πεινῶντα ἀδικήσω· δίδωμί σοι πᾶσαν τὴν ἐμὴν βασιλείαν. Ὁ δὲ Ἱέραξ εἶπεν· ἡ βασιλεία οὐ θεραπεύει τὴν πεῖναν· οὐδ' ἅπαν τὸ χρυσίον τοῦ κόσμου· δός μοι μέρος τῆς σῆς σαρκὸς, ἰσοστάσιον τῇ περιστᾷ.

Ὁ μὲν Βασιλεὺς ἐδέξατο εὐχαρίστως τὴν πρότασιν, καὶ ἐκτεμὼν τεμάχια τῆς ἑαυτοῦ σαρκὸς, ἐζυγοστάθμησε μετὰ τῆς περιστερᾶς· ἡ δὲ βαρυτέρα τούτων ἐφάνη. Πάλιν δὲ ἐκκόψας ἕτερα, ἐζυγοστάθμησε· καὶ αὖθις ἦν βαρυτέρα ἡ περιστερά. Τότε ἀνέβη αὐτὸς ὁ Βασιλεὺς ἐπὶ τοῦ ζυγοῦ, σχεδὸν ἄσαρκος ὤν· τούτου δ' ἀναβάντος, τύμπανα θεῶν ἐκρούοντο ἐν οὐρανῷ, καὶ βροχὴ ἀνθέων ἔπιπτεν ἐπ' αὐτοῦ. Ὁ δὲ Ἴνδρας, γνοὺς τὴν καρτερίαν καὶ τὴν πίστιν τοῦ Βασιλέως, καὶ τὴν ἑαυτοῦ λαβὼν μορφὴν εἶπεν· Εὖ σοι γένοιτο· ἡμεῖς ἤλθομεν μεταμορφωθέντες πειραθῆναί σου βουλόμενοι. Ὅστις τὴν ἑαυτοῦ ζωὴν τίθησιν ἐν μεγάλῳ κινδύ-

νῳ, ὑπὲρ τῆς σωτηρίας ἄλλου, οὗτος πορεύεται εἰς τὸν ὕψιστον χῶρον καὶ ἐν ἀϊδίῳ μακαριότητι μετὰ τοῦ Θεοῦ ἑνοῦται (1).

Ἐν τῷ διαλόγῳ τούτῳ δείκνυται τρανώτατα ἡ ἀξία τῆς ἠθικῆς τελειότητος, ἥτις ἀντιβαίνουσα πολλάκις εἰς τὰς ὀρέξεις τῶν αἰσθήσεων, ἐγείρει πόλεμον μεταξὺ σαρκὸς, καὶ πνεύματος. Ἡ σοφιστεία ὑπὸ τὴν αἰγίδα τοῦ φυσικοῦ νόμου, ζητεῖ τὴν καταστροφὴν τοῦ ἠθικοῦ νόμου, εἰς ὃν στηρίζεται ἡ πίστις, καὶ πᾶσα ἡ τοῦ ἀνθρώπου ἠθικὴ τελειότης. Οὐδὲν ἐκ τῶν ζώων προτιμᾷ τὴν πεῖναν, τὴν δίψαν, τὴν ἀλγηδόνα, καὶ αὐτὸν τὸν θάνατον, ὑπὲρ τῆς σωτηρίας ἑτέρου ζώου· μόνος ὁ ἄνθρωπος, διπλῆν ἔχων οὐσίαν, θυσιάζει τὴν μίαν ὑπὲρ τῆς ἄλλης, τὴν πρόσκαιρον ὑπὲρ τῆς ἀϊδίου· τὴν ὕλην ὑπὲρ τῆς αὐλότητος· καὶ τὴν ζωὴν ὑπὲρ τῆς ἀθανασίας, ἣν ἀδιστάκτως πιστεύει καὶ ἐλπίζει. Ἐκ τούτων δεικνύεται ἡ ὑπεροχὴ τῆς λογικότητος, καὶ τῆς ἠθικῆς, καὶ ἡ σταθερὰ πεποίθησις ὑπὲρ τῆς μελλούσης ὑπάρξεως. Τέλειός ἐστιν ὁ εὐποιῶν τὸν κακοποιήσαντα·

---

(1) Ἀναφέρει καὶ ὁ Ἡσίοδος μῦθόν τινα μεταξὺ Ἱέρακος καὶ Ἀηδόνος. Ἔνθα τὸ δικαίωμα μᾶλλον τοῦ ἰσχυροτέρου ἀποδεικνύεται·

Ὧδ' Ἴρηξ προσέειπεν Ἀηδόνα ποικιλόδειρον,
ὕψι μάλ' ἐν νεφέεσσι φέρων, ὀνύχεσσι μεμαρπώς·
ἡ δ' ἐλεὸν, γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι,
μύρετο. Τὴν δ' ὅγ' ἐπικρατέως πρὸς μῦθον ἔειπε·
Δαιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων·
τῇ δ' εἶς, ᾗ δ' ἄν ἐγώ περ ἄγω, καὶ ἀοιδὸν ἐοῦσαν·
δεῖπνον δ' ὅς κ' ἐθέλω, ποιήσομαι, ἠὲ μεθήσω·
ἄφρων δ', ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν·
νίκης τε στέρεται, πρὸς τ' αἴσχεσιν ἄλγεα πάσχει.
(Ἡσιόδου ἔργα καὶ ἡμέραι στ. 202—208)

τέλειος ἐπίσης ὁ θύων καὶ αὐτὴν τὴν ἑαυτοῦ ζωὴν ὑπὲρ τῆς σωτηρίας τῆς πατρίδος, καὶ τῶν λοιπῶν ἀνθρώπων. Ὁ τοιοῦτος, λέγει, ἀξιοῦται τῆς αἰωνίου μακαριότητος, καὶ τῆς μετὰ τοῦ Θεοῦ ἀϊδίου ἑνώσεως (1).

§. 6. *Περὶ τῆς ἁγιότητος τοῦ Γάγγου ποταμοῦ.*

Οἱ Ἰνδοὶ, καὶ ὅλα τὰ ἀσιατικὰ ἔθνη ἐπίστευον ὡς ἁγιάσματα, καὶ ἱερὰ καταγώγια πάντας τοὺς τόπους, οἵτινες ἡγιάζοντο διὰ τῆς παρουσίας μεγάλου τινὸς Θεοῦ, ἢ διὰ τῆς προσεγγίσεως ὁσίων καὶ θεοφόβων ἀνδρῶν(2). Ὁ ποταμὸς Γάγγης (παρ᾽ Ἰνδοῖς Γαγγὰ) ἀναβρύων, κατὰ τὴν μυθολογίαν τῶν Ἰνδῶν, ἐκ τοῦ ποδὸς τοῦ Βισνοῦ, καὶ πίπτων ἐκεῖθεν ἐπὶ τῆς κεφαλῆς τοῦ θεοῦ Σίβα, καὶ ἐξ αὐτῆς ἐπὶ τῆς γῆς, διέρχεται τὴν Ἰνδικὴν, καὶ θεωρεῖται ὡς ὁ ἱερώτερος τῶν ἐν τῇ Ἰνδίᾳ ποταμῶν, ἁγιάζων τοὺς τόπους δι᾽ ὧν διέρχεται, καὶ τοὺς εἰς αὐτὸν λουομένους. Ὅθεν αἰθεροβάμων τις ὅσιος, διελθὼν ὡς ἀνεμώλιος πᾶσαν τὴν γῆν, ἦλθεν εἰς τὴν καλύβην ἀσκητοῦ. Οὗτος ὑποδεχθεὶς αὐτὸν φιλοφρόνως, ἠρώτησε μετ᾽ εὐλαβείας· « Ποῖοί εἰσιν οἱ ἅγιοι τόποι; ὁ δὲ ἀπήντησε· « Ἅγιαί εἰσιν αἱ χῶραι ἀφ᾽ ὅσας διέρχεται ὁ

(1) Τὸ ἄφες οὖν αὐτοῖς, ἐκφωνηθὲν ἐπὶ τοῦ σταυροῦ, ἔνθα παρέδωκε τὸ πνεῦμα ὁ Σωτὴρ ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων, ἐστὶν ὁ ὕψιστος ὅρος καὶ ἡ ἀποθέωσις, οὕτως εἰπεῖν, τῆς ἠθικῆς ἀξίας καὶ τελειότητος.

(2) Ὡς τόπους ἱεροὺς δοξάζουσιν οἱ Ἰνδοὶ τὴν Γαγγὰν, τὴν Ἰαμουνὰν, τὴν Γοματὴν, τὴν Γανδακὴν, τὴν Σχταδροῦν, τὴν Πχϊοπνὴν, τὴν Σαραϊοῦν, τὴν Σαρασβατην, τὴν Πραϊάγαν, τὴν Ναρμαδὰν, τὸν μέγαν ποταμὸν Σόναν, πάν• τὰς τοὺς ἁγίους τόπους τοὺς ἐν τῷ ὄρει Βινδδεᾷ, καὶ Ἰμαῷ, κτλ. (Ἴδε κεφ. λγʹ. σελ. 270 καὶ ἐφεξῆς.)

ποταμὸς Γάγγης· τὰ ὕδατα αὐτοῦ, ὡς ἱερὰ, ἁγιάζουσι καὶ καθαρίζουσι πάντας τοὺς ἐν πίστει καὶ εὐλαβείᾳ ἐν αὐτοῖς λουομένους. Οὐκ ἔστιν ἄλλη ἄνεσις, ὡς ὁ Γάγγης, πρὸς πάντας τοὺς καταθλιβομένους τὴν ψυχὴν πάθεσιν. Ὁ ἱερὸς Γάγγης, λέγει, καθαρκτικός ἐστιν οὐ μόνον τοῖς λουομένοις, καὶ τοῖς πίνουσιν, ἀλλὰ καὶ τοῖς ὁρῶσιν αὐτὸν, καὶ αὐτοῖς τοῖς ἐπικαλουμένοις. « Ἡ Γαγγὰ καθαρτική ἐστι τῶν ἀκαθάρτων, οὐ μόνον διὰ τῆς λούσεως, ὁράσεως, προσψαύσεως, καὶ πόσεως, ἀλλὰ καὶ διὰ τῆς προσφωνήσεως, καὶ ἐπικλήσεως Γαγγά (1).! » Ὁ Γάγγης οὖν ἀκουόμενος, ὑμνούμενος, ἐννοούμενος, ὁρώμενος, πινόμενος, καὶ λουτρὸν γινόμενος καθαρίζει πάντα τὰ ἁμαρτήματα τοῦ πιστοῦ Ἰνδοῦ, καὶ ἐκ τῶν δεινῶν τῆς κολάσεως ἐξάγει τοὺς πατρικοὺς καὶ μητρικοὺς αὐτοῦ προγόνους ἐν ἑπτὰ γενεαῖς, καὶ ἐπέκεινα τούτων (2). Ταῦτα εἰπὼν ὁ μὲν αἰθεροβάτης εἰσέδυ εἰς τὸν αἰθέρα, καὶ ἀφανὴς ἐγένετο· ὁ δὲ ἀσκητὴς, τιμῶν τὸν Γάγγην, τὴν δύσκτητον ἐκτήσατο τελειότητα (3). « Ὅστις

(1) Κεφ. στ΄. δίστ. 32.

(2) Αὐτ. δίστ. 31—34.

(3) Ἐν τῇ Ἰνδικῇ ἀρχαιολογίᾳ τοῦ Κυρίου Λασσένου ἀπὸ τῆς σελ. 586 μέχρι 589 εὑρήσει ὁ ἀναγνώστης ἔντε τῷ κειμένῳ, καὶ τοῖς σχολίοις, περιέργους παρατηρήσεις περὶ τῆς ἁγιότητος τοῦ Γάγγου ποταμοῦ, καὶ τῶν λοιπῶν ἐν τῇ Ἰνδίᾳ ἁγίων τόπων, ἔνθα, κατὰ τὰς παραδόσεις τῶν Ἰνδῶν, ἐνεφανίσθησαν οἱ θεοὶ αὐτῶν. Εἰς τοὺς τερπνοὺς καὶ ἱεροὺς τούτους τόπους, οὓς ἐκθέτει ὁ πολυμαθὴς συγγραφεὺς, ποιοῦσι τὰς διατριβὰς οἱ ἀσκηταὶ τῶν Ἰνδῶν, οἱ ἀναχωρηταὶ, καὶ οἱ ὁσιώτατοι τῶν Βραχμάνων. Τοὺς τόπους τούτους ἐπεσκέπτοντο οἱ προσκυνηταὶ πάσης τάξεως, καὶ περὶ αὐτῶν εἰσὶ πλήρη τὰ ἐπικὰ ποιήματα τῶν Ἰνδῶν. Εἰς αὐτοὺς ἐπορεύθη καὶ ὁ Ῥάμας ἐν τῇ Ῥαμαϊάνα· καὶ ὁ Ἰνδιστίρας μετὰ τοῦ Ἀρζούνα ἐν τῇ Μαχαβαράτα. Εἰς τοὺς τόπους τούτους κατέφευγον πολλάκις καὶ βασιλεῖς καὶ ἡγεμόνες ἐν καιρῷ γήρους, παραιτηθέντες τοῦ κόσμου καὶ τῶν κοσμικῶν, πρὸς σωτηρίαν τῆς ψυχῆς αὐτῶν.

καὶ πόῤῥω ὢν, ἐκφωνεῖ ἐν ταῖς καθ' ἑκάστην τρισὶν εὐχαῖς Γαγγὰ, Γαγγὰ, Γαγγά! οὗτος καθαρὸς γινόμενος, τυγχάνει τῆς ὑψίστης στάσεως (1).»

§. 7. *Ὅτι ἡ ἐλεημοσύνη ἀρίστη λογίζεται, οὐχὶ ἐν τῇ μεγαλοδωρίᾳ, ἀλλ' ἐν τῇ δόσει τοῦ οὗ ἔχει ὀλίγου, καὶ ἐν καθαρᾷ καρδίᾳ προσφερομένου.*

Τὴν δοξασίαν ταύτην ὑποστηρίζει ὁ ποιητὴς διὰ τοῦ ἑξῆς ἠθικοῦ διηγήματος·

Μετὰ τὴν μεγάλην, λέγουσιν, ἱπποθυσίαν τοῦ Ἰνδδιστίρα, ᾀδομένης τῆς μεγαλοδωρίας τοῦ βασιλέως, καὶ βροχῆς ἀνθέων πιπτούσης ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, ἰχνεύμων (2) τις ἐκ τῆς φωλεᾶς αὐτοῦ ἐξελθὼν ἐφώνησε· «Τίς αὕτη ἡ βοή; Ἡ θυσία τοῦ Ἰνδδιςίρα οὐκ ἔστιν ἰσοστάσιος δρακὶ πτισσάνης σπερμολόγου ἀσκητοῦ, οἰκοῦντος περὶ τὴν Κουρουξέτραν λίμνην.»

Ἦν γὰρ, λέγουσιν, ἀσκητής τις, τρεφόμενος ἅπαξ τῆς ἡμέρας μετὰ τῆς συζύγου, τοῦ υἱοῦ, καὶ τῆς νύμφης αὐτοῦ ἐκ τῆς συλλογῆς τῶν ἐν τῷ ἀγρῷ αὐτοφυῶν στάχεων· ἔτυχε δὲ καὶ λιμὸς κατ' ἐκεῖνον τὸν καιρὸν ἐκ σιτοδείας. Ὁ οὖν ἀσκητὴς, ἐξελθὼν μετὰ τῶν οἰκείων συνέλεξε μίαν δράκα κριθῆς, ἣν εἰς τέσσαρα μερίδια διαιρέσας, ἔδωκεν ἑκάστῳ ἀνὰ ἕν. Ἐν τούτοις πειναλέος ξένος προσελθὼν, ᾔτει τροφήν. Ὁ δὲ ἀσκητὴς, ἀσμένως ὑποδεξάμενος τὸν ἄνδρα,

---

(1) Αὐτ. δίστ. 52.

(2) Ζῶον ἀμφίβιον τῇ ἰκτίδι (νυφίτσα) παρόμοιον, περὶ τὸν Νεῖλον ἔτι καὶ νῦν διαιτώμενον· τοῦτο ζητεῖ καὶ εὑρίσκον κατατρώγει τὰ ᾠὰ τῶν κροκοδείλων· ὅθεν καὶ ἱερὸν παρὰ τοῖς ἀρχαίοις Αἰγυπτίοις ἐνομίζετο, καὶ τεταριχευμένον συνεχῶς καὶ σήμερον παρὰ τῶν περιηγητῶν ἀπαντᾶται.

ἔδωκεν αὐτῷ τὴν ἑαυτοῦ μερίδα· ὁ δὲ φαγὼν οὐκ ἐκορέσθη. Τότε ἡ γυνὴ αὐτοῦ, καί τοι ἰσχνὴ οὖσα ἐκ πείνης, εἶπε τῷ ἀνδρί· « Δοθήτω καὶ ἡ ἐμὴ μερὶς τῷ ξένῳ· καὶ σὺ γὰρ ἕνεκα φιλοξενίας διαμένεις σήμερον νήστης. Ἀλλ' ἡ ἀγαθὴ γυνὴ ὀφείλει τὴν ἀρετὴν τοῦ ἀνδρὸς μιμηθῆναι· σοῦ δ' ἀσίτου ὄντος, ἐγὼ οὐδέποτε γεύσομαι· ὅτι ὁ ἀνήρ ἐστιν ὁ τῆς σώφρονος γυναικὸς μέγας νομοθέτης καὶ νόμος, ὁ ἄριστος συγγενὴς, ἡ δόξα, ἡ τιμὴ, καὶ ὁ ἐπὶ γῆς Θεός. Ἡ ταῦτα φρονοῦσα εὐπειθὴς καὶ σώφρων γυνὴ τιμᾶται παρά τε τῶν θεῶν, καὶ παρὰ πάντων τῶν ἀνθρώπων. »

Τούτων τῶν λόγων ἀκούσας ὁ ἀσκητὴς ἐπείσθη, καὶ λαβὼν τὴν μερίδα τῆς γυναικὸς, ἔδωκε τῷ ξένῳ· ὁ δὲ φαγὼν πάλιν οὐκ ἐκορέσθη.

Τότε προσελθὼν ὁ υἱὸς εἶπε· « Δοθήτω, ὦ πάτερ, καὶ ἡ ἐμὴ μερὶς τῷ ξένῳ. » Ὁ δὲ πατὴρ ἀποποιηθεὶς ἀπήντησε· « Σὺ νέος ὢν, ἔχεις πλειοτέρας τροφῆς χρεῖαν. » Ἀλλ' ὁ υἱὸς λυπηθεὶς εἶπεν· « Ὁ ἐνάρετος πατήρ ἐστι πρὸς τὸν εὐσεβῆ υἱὸν τὸ ἄξιον καὶ σεβασμιώτατον πρόσωπον· αὐτός ἐςιν ὁ κύριος, ὁ διδάσκαλος, ὁ ἄριςος φίλος, ὁ νόμος, ὁ προςάτης καὶ ὁ ἐπίγειος Θεὸς αὐτοῦ. Δέομαί σου οὖν, ὦ σεβάσμιε πάτερ, δὸς τῷ ξένῳ καὶ τὴν ἐμὴν μερίδα. » Καὶ ὁ μὲν γηραιὸς ἀσκητὴς λαβὼν ἔδωκε τῷ πειναλέῳ ξένῳ· ὁ δὲ φαγὼν πάλιν οὐκ ἐκορέσθη.

Τότε προσελθοῦσα καὶ ἡ νύμφη προσέφερε τὴν ἑαυτῆς μερίδα· ὁ δὲ πατὴρ ἐπιθυμῶν διατηρῆσαι αὐτὴν, καὶ δι' αὐτῆς, φερούσης ἐν γαστρὶ, τὸ γένος αὐτοῦ, οὐκ ἐδέχθη. Ἡ δὲ περίλυπος εἶπε· « Σὺ, ὦ σεβάσμιε, εἶ τοῦ ἐμοῦ συζύγου καὶ κυρίου ὁ κύριος· σὺ τοῦ ἐμοῦ ὁδηγοῦ καὶ προστάτου, προστά-

της καὶ ὁδηγός· τοῦ ἐμοῦ νόμου καὶ Θεοῦ, ὁ νόμος καὶ ὁ Θεός. Καθότι ὁ υἱὸς χρεωστεῖ τὸ πᾶν εἰς τὸν ἔμφρονα καὶ ἐνάρετον αὐτοῦ πατέρα· ἡ δὲ γυνὴ τὸ πᾶν πρὸς τὸν ἀγαθὸν αὐτῆς σύζυγον. Δέομαί σου οὖν, ὦ πάτερ, ἐλέησόν με, καὶ δὸς τῷ ξένῳ τὴν ἐμὴν μερίδα οὖν, ὡς ἔπραξεν ὁ ἐμὸς κύριος, καὶ ὁ κύριος τοῦ ἐμοῦ κυρίου. » Καὶ ὁ μὲν γέρων πεισθεὶς ἔλαβε τὴν μερίδα τῆς νύμφης, καὶ τῷ ξένῳ ἔδωκεν. Ὁ δὲ ξένος, ὃς ἦν ὁ Θεὸς Δάρμας, γνοὺς ὅτι ἡ κριθὴ ἐδόθη αὐτῷ μετὰ καθαρᾶς καρδίας, εἶπεν αὐτοῖς χαίρων· « Ἐπειδὴ στερηθέντες εὐχαρίστως τῆς μόνης ὑμῶν τροφῆς ἐμὲ ἐχορτάσατε, ἀνάβητε πάντες ἤδη ἐπὶ τοῦ θείου τούτου ὀχήματος καὶ πορεύθητε ἐν οὐρανῷ· ἡ γὰρ πεῖνα ἀφανίζει τὸν ἄνθρωπον. Ὅςις οὖν αὐτὴν νικήσει ὑπὲρ τῆς σωτηρίας ἄλλου, οὗτος ἐνίκησε τοῦτον τὸν κόσμον, καὶ τὸν θάνατον. Ὑμεῖς φιλοξενίας ἕνεκα ἐπεριφρονήσατε καὶ αὐτὴν τὴν ζωήν. Ὁ Θεὸς οὐκ ἥδεται τοσοῦτον εἰς τὴν μεγαλοδωρίαν τῶν πλουσίων, ὅσον χαίρει τῇ μικρᾷ δόσει κριθῆς, ἄρτου, ὕδατος κτλ. μετ' εὐλαβείας, καθαρᾶς καρδίας, καὶ διανοίας προσφερομένῃ. Ὅςις δίδωσιν ἐκ τοῦ ςερήματος τὸν ἑαυτοῦ πλοῦτον, ὀλίγον ὄντα καὶ μετὰ πόνου καὶ κόπου ἀποκτηθέντα, τούτῳ ἀμοιβὴ γίνεται ἐν οὐρανῷ. Ἀνάβητε οὖν πάντες ἐπὶ τοῦ θείου φορείου, καὶ πορεύθητε ἐν οὐρανῷ. »

Ὑψηλὴ βεβαίως ἐστὶν ἡ ἠθικὴ διδασκαλία τοῦ παρόντος διαλόγου, καὶ ἀξία σπουδαίας, τῳόντι, προσοχῆς· διότι πεινῶν ὁ γηραιὸς πατὴρ φιλανθρώπως ἐδέχθη καὶ ἐφιλοξένησε τὸν πειναλέον ἐπαίτην καὶ τὴν τροφὴν αὐτοῦ μετὰ χαρᾶς ἔδωκε, καὶ σὺν αὐτῇ τὴν τῆς συζύγου, τὴν τοῦ μονογενοῦς υἱοῦ, καὶ αὐτῆς τῆς νύμφης! Παρατηρεῖται ἀφ' ἑνὸς μὲν ἡ ἀγάπη

καὶ ἡ ἀφοσίωσις τῆς γυναικὸς πρὸς τὸν ἑαυτῆς σύζυγον, ὃν κύριον, προστάτην, καὶ ἐπίγειον Θεὸν αὐτῆς ὀνομάζει· ἀφ᾽ ἑτέρου τὸ ἀπεριόριστον σέβας καὶ ἡ εὐπείθεια τοῦ υἱοῦ πρὸς τὸν γηραιὸν πατέρα, ὃν αἰώνιον νόμον αὐτοῦ ἀποκαλεῖ. Ἀξιέπαινός ἐςι καὶ ἡ τῆς νύμφης πρὸς τὸν γηραιὸν πατέρα εὐλάβεια· κατανυκτικὴ ἡ τρυφερὰ ἀφοσίωσις αὐτῆς πρὸς τὸν νέον σύζυγον, καὶ οὐχ ἧττον ὁ σεβασμὸς αὐτῆς πρὸς τοὺς γονεῖς, οὓς κυρίους τοῦ ἑαυτῆς Κυρίου ὀνομάζει. Τὸ εὐγενὲς τοῦτο συζυγικὸν φρόνημα δὲν ἠλαττώθη οὔτε ἐκ τοῦ χρόνου καὶ τῆς ἡλικίας ἐν τῇ καρδίᾳ αὐτῆς τῆς πρεσβύτιδος γυναικὸς, καὶ ἐν τῇ τοῦ ὁσίου. Πρὸ παντὸς δ᾽ ἄλλου ἀξιοθαύμαστός ἐςιν ἡ σύμπνοια ὅλων, ὅπως στερηθῶσι τῆς μόνης, καὶ μόλις ἐπαρκούσης πρὸς ὕπαρξιν τροφῆς, ἵνα τὸν πεινῶντα ξένον περιποιηθῶσι καὶ χορτάσωσι. Ταῦτα πάντα λέγω, ἀποτελοῦσι τὸν διάλογον τοῦτον ἓν τῶν ἠθικωτέρων ἀριστουργημάτων τῆς ἀρχαίας Βεδικῆς διδασκαλίας, καὶ τῆς ἐπικῆς Μαχαβαράτας, ἐξ ἧς ἐλήφθη, φαίνεται, τὸ κομψὸν τοῦτο διήγημα.

§. 8. *Περὶ φιλοξενίας.*

Τὴν ἀρετὴν ταύτην οἱ Ἰνδοὶ ἐδίδασκον καὶ ἤσκουν μετὰ πεποιθήσεως θρησκευτικῆς, κατὰ τὴν ἐντολὴν τῶν Βεδῶν, καὶ μετά τινος ἐνθουσιασμοῦ. Ἀπόδειξις τὸ ἑξῆς περίεργον διήγημα·

Ἦν, λέγουσι, περὶ τὴν Κουροξέτραν λίμνην ἀσκητὴς, καλούμενος Σουδαρσσάνας, λίαν ἐνάρετος, ὅστις βουλὴν ἔθετο ἵνα νικήσῃ καὶ αὐτὸν τὸν θάνατον διὰ τῆς φιλοξενίας. Ἕνεκα τούτου πᾶν ὅ,τι ἐζήτει ὁ πρὸς αὐτὸν ἐρχόμενος ξένος καὶ

ἐπαίτης, ἔδιδεν αὐτῷ προθύμως, ἐν καθαρᾷ καρδίᾳ καὶ διανοίᾳ, καὶ ἄνευ τινὸς δισταγμοῦ. Τὴν δὲ σύζυγον αὐτοῦ παρήγγειλεν ἵνα μηδέποτε, καὶ ἐπὶ οὐδεμιᾷ προφάσει, οὐδέν ποτε ἀρνηθῇ τῷ ἐλθόντι ξένῳ, βεβαιῶν, ὅτι ὁ προσερχόμενος ἐπαίτης καὶ ξένος, καὶ μὴ φιλοξενούμενος, ἀφίνει ἀπερχόμενος εἰς τὸν ἄσπλαγχνον οἰκοδεσπότην τὰς ἑαυτοῦ ἁμαρτίας, καὶ λαμβάνει τὰς ἀρετὰς ἐκείνου. Ὁ φιλόξενος ἄνθρωπός ἐςι κυρίως οἰκοῦχος, καὶ ἀληθὴς οἴκου κύριος· ὁ δὲ ἀφιλόξενος καὶ μισόξενος ἐστὶν οἰκοφύλαξ. « Ξενιστέος δὴ ὁ ξένος ἀεὶ »ὑπὸ σοῦ, ὦ γύναι, μηδὲ σκεπτέον περὶ τῆς δόσεως καὶ τοῦ »ἰδίου σώματος (1). Ἀπόντος μου, ἢ παρόντος μου ἐν »οἴκῳ οὐ καταφρονητέος ὑπὸ σοῦ ὁ ξένος· αὕτη ἐστὶν ἡ τῆς »γυναικὸς ἀρετὴ, τὸ ποιεῖν τὰ ἐραστὰ τῷ ἀνδρὶ ἔργῳ, λόγῳ, »καὶ διανοίᾳ (2). »

Ταῦτα οὖν γινώσκων ὁ Θάνατος ἠθέλησεν αὐτοῦ πειραθῆναι, καὶ λαβὼν ῥόπαλον καὶ μορφὴν ἐπαίτου ἦλθεν εἰς τὴν οἰκίαν ἐν ἀπουσίᾳ τοῦ ἀνδρὸς, καὶ ᾔτησε τὴν ἐν φιλότητι μετὰ τῆς γυναικὸς διατριβήν. Ἡ μὲν σώφρων γυνὴ ταραχθεῖσα, προσέφερε πάντα τὰ ἀναγκαῖα· ὁ δὲ ἀποκρούσας « Οὐδενὸς, εἶπεν, ἑτέρου χρείαν ἔχω, εἰμὶ σοῦ. Δι' ἐσὲ ἦλθον· πλήρωσόν μου τὴν ἐπιθυμίαν, εἰ τὸν νόμον τῆς ξενίας τιμᾷς (3). »Ἡ οὖν γυνὴ ἰδοῦσα τὴν ἐπιμονὴν τοῦ ξένου, καὶ τὰς παραγγελίας τοῦ συζύγου ἐνθυμουμένη, ἐνέδωκε. Μετ' ὀλίγον ἐπιστρέψας ὁ ἀσκητὴς, ἔκρουσε τὴν θύραν. Καὶ ἡ μὲν οὐκ ἔδωκεν ἀπό-

(1) Κεφ. ή. δίστ. 15.
(2) Αὐτόθι δίστ. 16—18.
(3) Αὐτόθι δίστ. 26.

κρισιν αἰσχυνθεῖσα· ὁ δὲ Θάνατος, ὁ ἔχων τὸ σχῆμα τοῦ ξένου, ἀπεκρίθη ἔσωθεν· « Ἄπελθε· ἡ σὴ γυνὴ φιλοξενεῖ ἐμὲ ἐν φιλότητι. » Ὁ δὲ Σουδαρσσάνας ἀκούσας τοῦ λόγου τούτου, ἀφεὶς πᾶσαν ζηλοτυπίαν ἔργῳ, λόγῳ καὶ διανοίᾳ, ἔλεξεν· « Εὖγε, ὦ γύναι· αὕτη ἐστὶν ἡ μεγάλη ἀρετὴ τοῖς φιλοξένοις, τὸ θεραπεύειν παντοίῳ τρόπῳ τὸν ξένον (1). » Ἐπὶ τούτοις πάντες οἱ θεοὶ ἐπεφήμησαν, καὶ βροχὴ ἀνθέων ἔπιπτεν ἐξ οὐρανοῦ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ τοῦ μεγαλοψύχου (2)· Ὁ δὲ ξένος, ὃς ἦν ὁ Δάρμας, ἀναλαβὼν τὴν ἰδίαν μορφὴν, εἶπεν αὐτῷ· « Σὺ νενίκηκας καὶ τὸν Ἔρωτα, καὶ τὸν Θάνατον ὑπὲρ τῆς φιλοξενίας· γίνωσκε οὖν, ὅτι τῷ οἰκοῦντι ἐν τῷ κόσμῳ, ὁ ξένος ἐστὶ πρόσωπον ἱερὸν, θεῖον, καὶ Θεὸς, ἡ τιμὴ καὶ ἡ δόξα τοῦ φιλοξένου ἀνδρός. Λάβε οὖν τὴν ἔμφρονα ταύτην γυναῖκα, καὶ πορεύθητι εἰς τὸν Σατελόκαν, ἤτοι τὴν χώραν τῶν Μακάρων· τῷ μὲν ἡμίσει τοῦ σώματος τῆς σεμνῆς γυναικὸς ἔσεται ποταμὸς, τοὔνομα Λουγγαβατὴ, πρὸς καθαρισμὸν τοῦ κόσμου· τῷ δ' ἑτέρῳ ἡμίσει ἔσεται μετὰ σοῦ ἐν οὐρανῷ (3). » Ὥστε οἱ Ἰνδοὶ ἐδίδασκον καὶ ἤσκουν τὴν φιλοξενίαν μετ' ἐνθουσιασμοῦ ὡς εἶπον ἀνωτέρω.

---

(1) Αὐτ. δίστ. 32—35.

(2) Αὐτ. δίστ. 40.

(3) Αὐτ. δίστ. 45.

§. 9. *Περὶ τῶν ἔργων ἐξ ὧν ὁ ἄνθρωπος πορεύεται εἰς τὸν Ἅδην, ἢ εἰς τὸν Οὐρανόν.*

Ἐνταῦτα ἐκτίθεται πίναξ τῶν ἀρετῶν, δι' ὧν ὁ ἄνθρωπος ἀξιοῦται τοῦ παραδείσου· καὶ ἕτερος τῶν κακιῶν, δι' ὧν κολάζεται μετὰ θάνατον.

ά.) Κολάζονται οὖν πάντες οἱ ἄθεοι καὶ ἀσεβεῖς οἱ τὸν Βισνοῦν μὴ προσκυνοῦντες· οἱ τὰ ἱερὰ ὑβρίζοντες, καὶ τὸν ἀσκητικὸν βίον, ἢ τὰς ἱεροπραξίας μυκτηρίζοντες. Οἱ τὰς ἱερὰς Βέδας μὴ μελετοῦντες, καὶ τὰ διατεταγμένα μὴ πράττοντες. Οἱ Βραχμᾶνες, οἱ ἀφέντες τὸ βραχμανικὸν αὐτῶν ἐπάγγελμα, καὶ οἱ μὴ ἐλεοῦντες τοὺς Βραχμᾶνας· οἱ φιλήδονοι καὶ ὑποκριταί· οἱ σκληροὶ καὶ ζωοκτόνοι· οἱ ὑπερήφανοι, ὑπερόπται καὶ οἱ οἰηματίαι. Οἱ ψευδολόγοι καὶ οἱ ματαιολόγοι· οἱ ἄδικοι καὶ οἱ τῶν ἀλλοτρίων σφετερισταί· οἱ φθονεροὶ καὶ φιλέκδικοι· οἱ καλύπτοντες τὰς πηγὰς τῶν ὑδάτων· οἱ φράττοντες τὰ φρέατα· οἱ ἀποκλείοντες τὰς λεωφόρους καὶ τὰς ὁδοὺς, ξύλοις, πέτραις, καὶ ἀκάνθαις· οἱ ἐμποδίζοντες ἀγέλην ζώων πορευομένην εἰς πόσιν ὕδατος· οἱ ἐμπρησταὶ βοοστασίων, καὶ δενδροφυτειῶν· οἱ ἀσελγεῖς καὶ οἱ ἑτεροφυλοβατίᾳ χρώμενοι· οἱ μὴ ἐλεοῦντες τὸν πτωχὸν, τὸν ἐνδεῆ, τὸν ἐπαίτην· οἱ ἀμελοῦντες τὰς χήρας, τὰ ὀρφανὰ, τοὺς ἀσθενεῖς, τοὺς γέροντας, τοὺς ξένους (1) κτλ. Πάντες οὗτοι καὶ οἱ τοιοῦτοι καταδικάζονται εἰς τὸν σκοτεινὸν ᾅδην.

β'.) Κληρονόμοι δὲ τοῦ παραδείσου καὶ τοῦ οὐρανοῦ γίνονται

(1) Αὐτ. δίστ. 26.

οἱ τὰ ἐναντία τούτων πράττοντες, ἤτοι οἱ εὐσεβεῖς καὶ εὐλαβεῖς, οἱ ἀκολουθοῦντες τὸν θεῖον νόμον δι' ἀληθείας, ἐγκρατείας, ἀνοχῆς, ἐλεημοσύνης, φιλοξενίας, καὶ τῆς μελέτης τῶν ἱερῶν γραφῶν. Οἱ προσκείμενοι μετ' εὐλαβείας τῇ θυσίᾳ, τῇ προσευχῇ, καὶ τῇ πρὸς τοὺς θεοὺς λατρείᾳ· οἵ, καθαροὶ ψυχῇ τε καὶ σώματι, καὶ ἐπὶ καθαροῦ τόπου καθήμενοι, ὑποφωνοῦσι τὸ ὄνομα τοῦ Θεοῦ Βισνοῦ, εἰς αὐτὸν ἀφορῶντες· οἱ εὐπειθεῖς πρός τε τὸν πατέρα καὶ τὴν μητέρα, καὶ οἱ τοὺς γέροντας τιμῶντες. Οἱ ὑπομένοντες μετὰ καρτερίας τὴν λύπην, τὸν πόνον, τὴν δυστυχίαν, τὴν ἀσθένειαν κτλ· οἱ ἐλεοῦντες τοὺς ἐνδεεῖς, τοὺς Βραχμᾶνας, τὰ ὀρφανὰ, τὰς χήρας, τοὺς ἀσθενεῖς, τοὺς ἀδυνάτους, καὶ οἱ μὴ ἐφιέμενοι ἀμοιβῆς τῶν ὧν ἔδωκαν. Οἱ ὄντες πλούσιοι καὶ νέοι, νικηταί εἰσι τῶν αἰσθήσεων, καὶ τῶν ἐπιθυμιῶν· οἱ χαίροντες εἰς τὴν τῶν ἄλλων εὐημερίαν· οἱ ἀκολουθοῦντες σταθερῶς τὸν νόμον, καὶ τὰ νενομισμένα ἐκτελοῦντες· οἱ μηδέποτε, μηδενὶ, μηδένα λόγον ἄχαρι, βάρβαρον ἢ σκληρὸν λέγοντες, ἀλλ' ἡδυεπεῖς εἰσι πρὸς ἅπαντας, καὶ ἐν παντὶ καιρῷ, καὶ τόπῳ. Οἱ κατασκευάζοντες ποτιστήρια διὰ τοὺς διψῶντας περιηγητὰς, οἱ ἀνορύττοντες πηγὰς, φρέατα, λίμνας πρὸς κοινὴν χρῆσιν· οἱ φυτεύοντες κήπους κοινοὺς καὶ δενδροφυτείας. Οἱ μὴ ἀπολείποντες μίαν ἡμέραν ἄνευ τοῦ ποιεῖν ἀγαθόντι, καὶ τὴν ἐγκράτειαν ἀεὶ μετερχόμενοι (1). Οἱ μὴ ἐκκόπτοντες οὐδ' ἁπλοῦν χόρτον ἐξ ἀγροῦ ἀλλοτρίου. Οἱ διασώζοντες ἐκ τοῦ κινδύνου τοὺς Βραχμᾶνας, τὰς γυ-

(1) Αὐτ. δίστ. 49.

ναῖκας, καὶ τοὺς βόας· οἱ θυσιάζοντες καὶ τὴν ζωὴν αὐτῶν πρὸς ἐκπλήρωσιν τοῦ ἱεροῦ καθήκοντος· οἱ ἐγκρατεῖς οὐ μόνον τῶν αἰσθήσεων, ἀλλὰ καὶ τῆς φαντασίας· οἱ ἀφέντες πᾶσαν πλεονεξίαν, φόβον, καὶ θυμόν· οἱ μὴ καταθλίβοντες τὸν ἄλλον ἔργῳ, λόγῳ καὶ διανοίᾳ· οἱ τὰ ζῶα οἰκτείροντες· ἐν ἑνὶ λόγῳ, ὅστις κακοποιεῖ ἄνθρωπον ἢ ζῶον κολάζεται, καθὼς καὶ πάντες οἱ ἄνω εἰρημένοι ἁμαρτωλοί. Ἀπεναντίας ὅστις ἀγαθοποιεῖ πάντας, πάντοτε, καὶ αὐτὸν τὸν κακοποιόν, οὗτος καὶ ἐνταῦθα ἡδέως ζῇ, καὶ μετὰ θάνατον λυτρώσεως τυγχάνει καὶ ἀϊδιότητος.

Οἱ πίνακες οὗτοι τῶν ἀρετῶν, καὶ τῶν κακιῶν, δι' ὧν ἀποκτᾷ τις διὰ τῶν πρώτων τὸν παράδεισον, καὶ διὰ τῶν δευτέρων εἰς τὸν δυσανάσχετον ᾅδην καταδικάζεται, εἰσὶν ἀξιοσημείωτοι· καθότι ἐν αὐτοῖς βλέπει τις τρανῶς τὴν ἠθικὴν τῶν Βεδῶν, καὶ τὸ πνεῦμα τῶν θεσμοθεσιῶν, καὶ τῶν νομικῶν διατάξεων τοῦ Μανοῦ. Κολάζεται ἐνταῦθα ὁ πλεονέκτης, ὁ ἄδικος, ὁ φονεύς· κολάζεται δ' ἐπίσης καὶ ὁ κλείων τὴν ὁδόν, ὁ φράττων τὰς πηγάς, καὶ τὰ φρέατα· ὁ ζωοκτόνος, ὁ ἐμπρηστὴς βοοστασίου, ἢ δάσους, κτλ. Κολάζεται ὁ καταθλίβων ἄλλον ἔργῳ ἢ λόγῳ, ὁ ἀφιλόξενος, καὶ ὁ ἐκκόπτων τὸν καρπὸν ἐξ ἀλλοτρίου ἀγροῦ!

Ἀνακεφαλαιοῦντες τὰς ἀρετὰς δι' ὧν κληρονόμος τις γίνεται τοῦ παραδείσου, εὑρίσκομεν τὴν εὐσέβειαν, τὴν ἐγκράτειαν, τὴν πρὸς πάντα τὰ ἔμψυχα συμπάθειαν καὶ τὴν πρὸς αὐτὸν τὸν κακὸν εὐποιΐαν. Καὶ ἀπεναντίας καταδικάζεται εἰς τὸν σκοτεινὸν ᾅδην, ὁ ἀσεβής, ὁ ἀκρατής, ὁ κακοποιῶν ἄνθρωπον, ζῶον, καὶ φυτόν. Αἱ ἀρεταὶ αὗται καὶ

καὶ αἱ κακίαι ἀνεπτύχθησαν εἰς τὰ προλαβόντα κεφάλαια, καὶ ἐν τῷ παρόντι· ἀποδειχθήσονται δ' οὐχ ἧττον τρανώτερον καὶ ἐν τοῖς ἐφεξῆς διηγήμασι.

§. 10. *Περὶ καταφυγῆς, ἢ περὶ σωτηρίας τοῦ κινδυνεύοντος, καὶ καταφυγόντος.*

Πολλὰ μέχρι τοῦδε, καὶ πολλοῦ λόγου ἄξια ἐῤῥέθησαν περὶ φιλοξενίας, περὶ ἐλεημοσύνης καὶ τῆς σωτηρίας τοῦ κινδυνεύοντος (1). Ἀλλ' ὁ ἀναγνώστης ἀπαντήσει δυσκόλως ἀλλαχοῦ ἠθικώτερον καὶ κατανυκτικώτερον ἄλλον μῦθον, παρὰ τὸν ἑξῆς, εἰς ὃν ἀποδεικνύεται, ὅτι μεγίστη ἐστὶν ἀρετὴ ἡ τοῦ καταφυγόντος σωτηρία· παράδειγμα ἡ περιστερὰ, ἥτις ἐδεξιώσατο τὸν καταφυγόντα ἐχθρὸν, καὶ εἰςίασεν αὐτὸν τῇ ἰδίᾳ σαρκὶ καὶ ἀθανάτου δόξης ἔτυχεν.

Ἦν, λέγουσί, ποτε κυνηγός τις, ἀνὴρ σκληρὸς, αἱμοχαρὴς, καὶ ζωοκτόνος, ὅςτις δύκτια, καὶ βρόχους φέρων περιήρχετο τὰ ἄλση, καταστρέφων τὰ πτηνὰ, καὶ ἀναιρῶν τὰ ζῶα. Εὑρισκόμενος δέποτε εἰς τὸ δάσος, αἴφνης ἐπῆλθε τοσοῦτον τρομερὰ καταιγὶς μετὰ βροντῶν, ἀστραπῶν καὶ βροχῆς, πιπτούσης ποταμηδὸν, ὥστε τὰ μὲν δένδρα ῥιζηδὸν πολλάκις ἀνέσπα· τὴν δὲ γῆν ἐν ὀλίγῳ χρόνῳ ὑδάτων ἐπλήρωσε· πάντα δὲ τὰ ἐν τῷ ἄλσει ζῶα, φόβῳ συσχεθέντα, ἐκρύπτοντο διαφυλαττόμενα. Ἦν δὲ καὶ θηλεία περιστερὰ, ἥτις πρὸς ζήτησιν τροφῆς ἐξελθοῦσα, καὶ εἰς τὴν φωλεὰν ἐπιστρέφουσα, ἔπεσε κατὰ γῆς ὑπὸ τοῦ βιαίου καὶ σφοδροῦ

(1) Κεφ. Ε.

ἀνέμου προσβληθεῖσα. Αὐτὴν οὖν ἰδὼν ὁ ὀρνιθοθήρας, καὶ ἐν τοιαύτῃ περιστάσει, εὐθέως ἔλαβε καὶ εἰς τὸν σάκκον αὐτοῦ ἔθετο· ἀλλ' ἐν τούτοις, καταπιεζόμενος καὶ οὗτος ὑπὸ τῆς ὁρμητικῆς καταιγίδος, τοῦ ὄμβρου, τοῦ ψύχους, καὶ τοῦ πόνου, ἐζήτει περιφερόμενος ἄσυλον σωτηρίας καὶ τόπον καταφυγῆς. Ἰδὼν δὲ κούφωμα μεγάλου τινὸς δένδρου (εἰς ὃ εὑρίσκετο καὶ ἡ φωλεὰ τῆς πεσούσης καὶ συλληφθείσης περιστερᾶς), κατέφυγε κεκμηκὼς καὶ ἡμιθανὴς εἰς αὐτὸ, μεῖναι θέλων τὴν νύκτα ἐν ἐκείνῳ τῷ τόπῳ, ὅτι πόῤῥω ἦν ἡ κώμη καὶ ἡ κατοικία αὐτοῦ. Ὅθεν ἑνώσας τὰς παλάμας, καὶ τὰς χεῖρας θεὶς ἐπὶ τῆς κεφαλῆς, ἔφη· « Πρὸς τοὺς οἰκοῦντας τὸ δένδρον τοῦτο, καταφεύγω, ὡς ξένος καὶ ἐπαίτης (1), δεόμενος παρ' αὐτῶν σωθῆναι.»

Ἐν τούτοις ἡ ἀρσενικὴ περιστερὰ, περιμένουσα τὴν σύζυγον πάλαι ἀπελθοῦσαν, καὶ εἰσέτι μὴ ἐπανελθοῦσαν, ἐθλίβετο λυπουμένη· καὶ ἀπευκταῖον συμβεβηκὸς ὑποπτευομένη ἐθρήνει ἐπὶ τοῦ δένδρου λέγουσα·

«Διατί ἡ ἀγαπητή μοι σύζυγος εἰσέτι οὐκ ἐλήλυθε; Εἰ μὲν ἀπωλέσθη ἐκ τῆς σφοδρᾶς καταιγίδος τεθνήξομαι κἀγώ· ὅτι ἡ ἐμὴ οἰκία, ἄνευ αὐτῆς, ἔρημος κυρίως ἐστὶν, εἰ καὶ τέκνων ἐστὶ πλήρης. Ἡ γὰρ οἰκία οὐ λέγεται οἰκία· ἀλλ' ἡ γυνή, ἥτις συμμεριζομένη τῆς ἡδονῆς καὶ τοῦ πόνου τοῦ ἀνδρὸς, τὴν μὲν αὐξάνει· τὸν δὲ σμικρύνει, καὶ εὐδαίμονα ποιεῖ τὸν σύζυγον, καὶ πᾶσαν τὴν οἰκίαν. Διὰ τοῦτο ἡ οἰκία, ἄνευ γυναικὸς, ἔρημός ἐστιν· ὥστε, εἰ μὴ, ἐπανέλθῃ, εὐθέως τεθνήξομαι. Καθότι ὁ ἔχων σεμνὴν καὶ φίλανδρον σύζυγον

(1) Κεφ. ι'. δίστ. 28—29.

μακάριός ἐστιν ἐπὶ τῆς γῆς· ὁ δὲ στερηθεὶς αὐτῆς, ἄθλιός ἐστιν αὐτός τε, καὶ ἡ οἰκία αὐτοῦ. »

Τῶν λόγων τούτων ἀκούσασα ἡ σύζυγος θηλεία περιστερὰ, ἡ ἐν τῷ σάκκῳ ἐμβληθεῖσα ὑπὸ τοῦ ὀρνιθολόγου· «Μακαρία, ἐφώνησεν, εἰμὶ ἐγὼ, ἡ τοιούτου ἀγαθοῦ συζύγου τυχοῦσα, καὶ τοσοῦτον ἐρασμία αὐτῷ οὖσα· ἀληθής εἰμι ἐγὼ σύζυγος. Καθότι ἐκείνη μόνη ἡ γυνὴ λέγεται, καὶ κυρίως εἶναι σύζυγος, ἡ οὖσα εὐάρεστος τῷ ἰδίῳ ἀνδρί· ἀπολλεσθήτω ἡ γυνὴ, ἡ μὴ οὖσα εὐάρεστος τῷ οἰκείῳ ἀνδρί. Μακαρία εἰμὶ ἐγὼ, ὦ ἄνερ, καὶ ἐν αὐτῇ μου τῇ εἱρκτῇ· ἄκουσον δὲ μετὰ προσοχῆς ὅ,τι σοὶ εἴπω.

« Ὁ ἐχθρὸς ἡμῶν οὗτος ὁ θηρευτὴς κατέφυγεν ἱκέτης εἰς τὸν οἶκον ἡμῶν, σωτηρίαν ζητῶν, εἰς τοὺς ξενίους θεοὺς ἀφιερωθείς. Οὗτος δὲ ψύχει, πείνῃ καὶ κόπῳ καταπιέζεται· φιλοξένησον οὖν αὐτὸν κατὰ τὸν νόμον τῆς ξενίας· περίθαλψον, καὶ σῶσον αὐτὸν παντὶ σθένει· διότι ἡ φιλοξενία ἐστὶν ἀρίστη ἀρετή· πᾶσα δ᾽ ἄλλη ἧττων ταύτης κρίνεται (1). Διαφυλακτέος καὶ διὰ τῆς σῆς ζωῆς ὁ καταφυγὼν πρός σε ξένος (2). Βραχμανοκτόνος ἐστὶν ὁ ἀναιρῶν τὸν καταφυγόντα, καὶ τὸν ξένον μὴ περιποιούμενος· ὁ τοιοῦτος εἰς τὸν φοβερὸν ᾅδην καταπίπτει. Μὴ δὲ μισήσεις αὐτὸν ἕνεκεν ἐμοῦ· ἐγὼ γὰρ ἤδη πάσχω, οὐχὶ ἕνεκα τοῦ θηρευτοῦ, ἀλλ᾽ ἐξ αἰτίας τῶν ἐν τῇ προτέρᾳ γεννήσει παρ᾽ ἐμοῦ πεπραγμένων ἔργων· ὅτι πάντα τὰ ἐν τῷ κόσμῳ δεινὰ καρποί εἰσι τοῦ δένδρου τῶν ἐν τῇ προτέρᾳ γεννήσει ἁμαρτιῶν. Ἄφες οὖν

(1) Αὐτ. δίστ. 57.

(2) Αὐτ. δίστ. 51.

πᾶσαν ἰδέαν μίσους καὶ ξένισον τὸν ξένον πάσχοντα, καὶ εἰς τὸν οἶκόν σου καταφυγόντα. Ὅστις γὰρ ἀγαθοποιεῖ τοὺς ἀγαθοποιοὺς, ὁποία τούτῳ ἀρετή; ὁ δ' ἀγαθοποιῶν αὐτὸν τὸν κακοποιὸν, οὗτος ἀγαθὸς παρὰ τοῖς ἀγαθοῖς λογίζεται, καὶ θεοφιλής ἐστιν (1) ».

Ἡ δὲ ἀρσενικὴ περιστερὰ, τῆς φωνῆς τῆς συζύγου, καὶ τοῦ εὐσεβοῦς λόγου ἀκούσασα ἐπλήσθη χαρᾶς, καὶ πρὸς τὸν θηρευτὴν ἐλθοῦσα· « Καλῶς ἦλθες εἰς τὴν ἐμὴν οἰκίαν, εἶπε· τί ποιήσω σοὶ τῷ καταφυγόντι; Καὶ ὁ μὲν, « Τὸ ψύχος, ἀπήντησε, ἀναιρεῖ ἐμέ· » ἡ δὲ ἤνεγκεν εὐθέως φρύγανα καὶ ἄνθρακας, καὶ πῦρ ἧψεν. Οὗτος δὲ θερμανθεὶς εἶπε· « Δός μοι ἤδη φαγεῖν· » ἡ δὲ περιστερὰ ἔφη θλιβομένη· « Ἡμεῖς τὰ ἐν ἐρήμῳ ζῶα ἀπὸ τοῦ παρατυχόντος ζῶμεν· οὐδ' ἔχομεν ἀποθήκας, ἢ περιουσίαν· ἀλλ' ἐπειδὴ ἡ φιλοξενία ἐστὶ μεγίστη ἀρετὴ, προσφέρωσοι ἐμὲ αὐτήν. » Τρὶς δὲ τὸ πῦρ περιοδεύσασα εἰσέδυ εἰς αὐτὸ, εἰποῦσα· « Θεράπευσον τὴν σὴν πεῖναν ἐκ τῆς ἐμῆς ἐψημένης σαρκός. » Ὁ δὲ θηρευτὴς ἐκπλαγεὶς ᾐσθάνθη τὸ πρῶτον τὸ μεγαλεῖον τῆς ἀρετῆς· λύπει δὲ καὶ ἐλέει κατασχεθεὶς, τὴν μὲν θηλείαν περιστερὰν ἀπηλευθέρωσε· τὴν δὲ γνώμην καὶ τὸν βίον ἀπ' ἐκείνης τῆς στιγμῆς ἤλλαξεν.

Ἐν τούτοις ἡ θηλεία περιστερὰ, ἰδοῦσα τὸν ἑαυτῆς σύζυγον πεπτωκότα εἰς τὸ πῦρ, ὠδύρετο λέγουσα· « Οὐδέποτε ἄχαρί τι ἐνθυμοῦμαι, ὦ σύζυγε· εὐδαίμων ἡ γυνὴ, ἣ τοιούτου καλοκἀγάθου ἐπιτυγχάνει συνεύνου. Ἐγὼ, ἀγαπῶσα καὶ ἀγαπωμένη, εὐφραινόμην μετά σου ἐπὶ τῆς κορυφῆς τῶν ἀνθοφόρων

(1) Αὐτ. δίστ. 62—63. καὶ ἐφεξῆς.

δένδρων, ἐν πηγαῖς ποταμῶν καὶ ῥυάκων, καὶ ἐν φάραγξιν ὀρέων. Οὐδὲ μίαν ἡμέραν ζήσω, ἄνευ σοῦ· τί γὰρ ὄφελος ζωῆς τῇ ἀθλίᾳ χήρᾳ; Μέτρια ἀγαθὰ παρέχουσι πάντες οἱ συγγενεῖς εἰς τὴν γυναῖκα· ἄπειρα ὅμως ὁ καλὸς σύζυγος. Ἄθλιός ἐστιν ὁ βίος ἐκ τῆς χηρείας εἰς τὴν γυναῖκα, ἔστω καὶ πλουσία· καθότι μέγιστον τῶν δεινῶν ἐστι ταῖς γυναιξὶν ἡ χηρεία. Μακαρία δ' ἡ γυνὴ ἡ θνήσκουσα πρὸ τοῦ ἀνδρὸς αὐτῆς. Ἡ χήρα γυνὴ χάνει σὺν τῷ ἀποθανόντι συζύγῳ δόξαν, τιμὴν, φιλοτιμίαν, φρόνημα, πᾶσαν ἄνεσιν καὶ περίθαλψιν, καὶ οὐδεὶς ἄλλος φίλος ὅμοιος αὐτῇ ἐστιν.» Οὕτω ὀδυρωμένη καὶ τὴν ζωὴν ἄνευ τοῦ συζύγου περιφρονήσασα, εἰσέδυ καὶ αὐτὴ εἰς τὸ αὐτὸ πῦρ, καὶ κατεκάη· ἡ δὲ ψυχὴ αὐτῆς ἐλευθερωθεῖσα ἐκ τοῦ ὑλικοῦ αὐτῆς δεσμωτηρίου, εἶδεν ἐπὶ τοῦ αἰθέρος τὸν ἑαυτῆς σύζυγον ὑπέρλαμπρον, καὶ ἐπὶ θείου ὀχήματος. Ὁ δὲ σύζυγος ἰδὼν τὴν γυναῖκα αὐτοῦ, θεᾶς μορφὴν λαβοῦσα, μετὰ τὸν θάνατον, ἐναγκαλισάμενος ἀνέβη μετ' αὐτῆς εἰς τὸν οὐρανὸν, εἰπών· «Καλῶς ἐποίησας, ὦ 'γαθὴ, ὅτι δι' ὀλιγοχρόνιον ὀδύνην, πολυχρονίου ἔτυχες μακαριότητος.» Ὁ δὲ κυνηγὸς μετανοήσας, ἀπ' ἐκείνης τῆς ὥρας, καὶ ἀσκητικὸν βίον διελθὼν, καὶ τὴν ἐγκράτειαν ἀσκῶν, καὶ ὅλος καθαρὸς γενόμενος, ἀνῆλθε καὶ οὗτος μετὰ θάνατον εἰς τὸν οὐρανόν.

Ἀξιοθαύμαστός ἐστι, τῳόντι, ἡ ἠθικὴ τοῦ διαλόγου τούτου, διδάσκοντος τὴν φιλοξενίαν, τὴν φιλανθρωπίαν, τὸν πρὸς τὸν πάσχοντα οἶκτον, τὴν πρὸς τὸν κακοποιὸν ἀγαθοποιίαν καὶ εὐεργεσίαν. Ἐνταῦθα ἀναπτύσσεται μέχρι ἰδανικῆς τελειότητος ἡ ἀρετὴ, ὁ ἀμοιβαῖος συζυγικὸς ἔρως, καὶ ἡ πρὸς τὰ διατεταγμένα παρὰ τῶν γραφῶν καὶ τὰ νόμιμα

ἀκραιφνὴς πίστις. Ἅπαν τὸ διήγημα τοῦτό ἐστι πλῆρες ἁβροῦ φρονήματος, τρυφερῶν αἰσθημάτων, κατανυκτικῶν ἐκφράσεων, καὶ θελκτικῶν ἰδεῶν· εἷς δὲ καὶ μόνος παρατηρεῖται ἐνταῦθα, ὡς καὶ ἐν τῷ προλαβόντι Κεφαλαίῳ, καὶ ἐν ἁπάσῃ ταύτῃ τῇ πραγματείᾳ σκοπός· ἤτοι ἡ ἠθικὴ τοῦ ἀνθρώπου τελειότης, δι' ἧς ἐξομοιοῦται τῷ Θείῳ, καὶ μετὰ τοῦ Θείου ἀϊδίως ἑνοῦται, ὅ ἐστιν ἡ διὰ τῆς θείας ἀρετῆς ἐπίγειος καὶ οὐράνιος τοῦ ἀνθρώπου, οὕτως εἰπεῖν, ἀποθέωσις.

§. 11. *Περὶ ἀπαλλαγῆς τῶν τοῦ κόσμου δεινῶν.*

Ὁ ἄνθρωπος ἀπαλλαττόμενος ἐκ τῶν ἐπιθυμιῶν, καὶ τῶν παθῶν τοῦ σώματος, λυτροῦται καὶ ἐκ τῶν θλίψεων τοῦ Κόσμου τούτου. Ἀποκτᾷ ἐνταῦθα τὴν εἰρήνην, καὶ μετὰ θάνατον τὴν μακαριότητα· καθότι ὁ Κόσμος οὗτος οὐδὲν ἕτερόν ἐστιν, εἰμὴ μέγα καὶ εὐρὺ πέλαγος, εἰς ὃ νηκτὰ μὲν καὶ κήτη εἰσὶν οἱ ἐν αὐτῷ βιοῦντες ἄνθρωποι, ὕδατα δὲ αἱ πράξεις καὶ τὰ ἔργα αὐτῶν· κύματα αἱ ἐπιθυμίαι καὶ αἱ ὀρέξεις· δῖναι αἱ πολυειδεῖς θλίψεις, οἱ φόβοι, καὶ ἡ ἄγνοια· βυθὸς, αἱ προσπάθειαι· ἰχθὺς, ὁ θυμὸς, καὶ πομφύλυγες ἡ πλεονεξία· μόνος δὲ ὁ Θεὸς ἐξάγει ἐκ τοῦ βυθοῦ τοὺς ἐν τῷ πελάγει τούτῳ καταποντιζομένους· Ὁ λατρεύων οὖν τὸν σωτῆρα τοῦτον Θεὸν ἔργῳ, λόγῳ, καὶ διανοίᾳ, λυτροῦται ἀπὸ παντὸς κοσμικοῦ δεινοῦ. Ἀπαλλάττονται ἐπίσης οἱ τηροῦντες τὸν θεῖον νόμον, οἱ ἐγκρατεῖς καὶ οἱ τῶν αἰσθήσεων νικηταὶ, οἱ μηδένα βλάπτοντες, καὶ οἱ μηδένα λυποῦντες ἢ ὑβρίζοντες, ἢ ἀτιμάζοντές τινα, ἀλλ' ἀεὶ εἰσὶ φιλόφρονες καὶ ἐπιεικεῖς· οἱ μὴ ὀνειδίζοντες ὀνειδιζόμενοι· οἱ πρᾳεῖς τῷ πνεύ-

ματι, οἱ θεωρητικοὶ καὶ φιλαλήθεις· οἱ πρὸς πάντας εὐεργετικοί· οἱ βοηθοῦντες τοὺς ἀδυνάτους καὶ ἐνδεεῖς κτλ. (1). Πάντες οὗτοι λυτροῦνται ἐκ τῶν τοῦ κόσμου δεινῶν, καὶ τὴν αἰώνιον κτῶσι μακαριότητα.

§. 12. *Περὶ αὐταρκείας καὶ ὅτι τὰ παρὰ (ἀδίκου καὶ κακοῦ) ἡγεμόνος διδόμενα δῶρα, εἰσὶν ἀπαράδεκτα, παρὰ τῶν ἐναρέτων* (2).

Ἐπειδὴ οἱ πλούσιοι καὶ οἱ δυνατοί, πλούτῳ καὶ δυνάμει μεθύοντες, εἰσὶν ὡσεπιτοπολύ, ἄδικοι καὶ παράνομοι, παράνομα λογίζονται καὶ τὰ δῶρα αὐτῶν. Τούτου ἕνεκα τὰ δῶρα τῶν τοιούτων εἰσὶν ὅλως ἀπαράδεκτα παρὰ τῶν ὀλιγαρκῶν καὶ ἐναρέτων ἀνδρῶν.

Ἦν ποτε βασιλεὺς κακός, Βισσαδαρβὸὰς καλούμενος, καὶ σύγχρονοι αὐτοῦ ἑπτὰ σοφοὶ καὶ ὅσιοι ἄνδρες, αὐτάρκειαν ἀσκοῦντες, πρὸς κτῆσιν τοῦ παραδείσου, οἵτινες ὑπὸ πείνης πιεζόμενοι δεινῶς ἔπασχον, καθότι ἦν σιτοδεία ἐκ μεγίστης

(1) Κεφ. ιά. σελ. 93 δίστ. 11, καὶ ἐφεξῆς.

(2) Οἱ τελοῦντες τὰς μεγάλας ἢ μικρὰς θυσίας βασιλεῖς, ὑποχρεοῦνται παρ' αὐτῶν τῶν γραφῶν ἵνα προσφέρωσι δῶρα πρὸς τοὺς θεούς, καὶ πρὸς τοὺς θείους Βραχμᾶνας. Πῶς οὖν ἐνταῦθα τα παρὰ Βασιλέως διδόμενα δῶρα εἰσὶν ἀπαράδεκτα; Ὁ τίτλος τοῦ κεφαλαίου ἀντίκειται εἰς τὰς γραφάς. Τούτου ἕνεκα ἐνόμισα ὅπως προσθέσω ἐν παρενθέσει τό· Τὰ παρὰ ἀδίκου καὶ κακοῦ Βασιλέως διδόμενα δῶρα, εἰσὶν ἀπαράδεκτα παρὰ τοῖς ἐναρέτοις Βραχμᾶσι· « Οὐκ ἔστι, λέγει, ἀπηγορευμένον· ἀλλ' ἐντεταλμένον μάλιστα τοῖς Βραχμᾶσι, τὸ δέχεσθαι δῶρα· » (Κεφ. ιβ'. σελ. 96 δίστ. 10.) Καὶ παρακατιὼν λέγει· ὁ Βραχμὰν μὴ δεχόμενος δῶρα παρὰ κακοῦ ἀνθρώπου, ἡ Βραχμανικὴ αὐτοῦ χάρις αὐξάνει· χάνεται δὲ λαμβάνων δῶρα παρὰ ἀδίκου. (Αὐτόθι δίστ. 25.) ἔξεστιν ἄρα λαμβάνειν παρὰ κακοῦ.

ἀνομβρίας. Οὗτοι εὑρόντες παιδίον τεθνεός, ἐσκέπτοντο αὐτὸ φαγεῖν, σῶσαι θέλοντες τὴν ἑαυτῶν ζωήν.

Ἐν τούτοις φθάσας ὁ Βασιλεὺς Βρισσαδαρβδὴς προσέφερεν αὐτοῖς τροφήν. Οἱ δὲ γινώσκοντες, ὅτι ὁ δεχόμενος παρὰ ἀνοσίου ἀνδρὸς δῶρα κολάζεται, οὐκ ἤθελον λαβεῖν. Καὶ ὁ μὲν βασιλεὺς, γεμίσας χρυσίου Ἰνδικά τινα σύκα, διέσπειρεν αὐτὰ ἐν τῷ ἄλσει· οἱ δὲ, συλλέγοντες ὀπώρας, συνέλεξαν καὶ ταύτας. Ἀλλ' ἐννοήσαντες εὐθέως τὴν ἀπάτην, ἀπέῤῥιψαν, ὡς βλαβερὰ καὶ ἐναντία τοῖς ἐφιεμένοις τοῦ ἄκρου ἀγαθοῦ, εἰπόντες· «Ὅτι ὁ ἐξ ἀδικίας πλοῦτος ἐστὶ βλαβερός· ὁ φρόνιμος οὖν ἐχέτω αὐτάρκειαν, ἥτις ἀνωτέρα ἐστὶ τῆς χρηματολογίας. Οἱ πλούσιοι οὐκ εἰσὶν ἄμοιροι δεινῶν, ἕνεκα τοῦ πλούτου· μόνος ὁ αὐτάρκης ζῇ ἐν εἰρήνῃ ἐν τῷ Κόσμῳ τούτῳ καὶ τοῦ ὑψίστου χώρου ἄξιος ἀποκαθίσταται μετὰ θάνατον. Ὁ πλοῦτος ἐπιφέρει, ὡσεπιτοπολὺ, τὴν ἡδυπάθειαν· αὐτὴ τὴν ῥαθυμίαν· καὶ αὐτὴ τὴν ἄγνοιαν· ἡ δὲ ἄγνοια μυρίων κακῶν γίνεται αἰτία, καὶ αὐτοῦ τοῦ ᾅδου ἐπὶ τέλους. Ἡ ἄπληστος χρηματολογία ἐστὶ θυγάτηρ τῆς πλεονεξίας, ἥτις οὐδέποτε γηράσκει, ἐν ᾧ πᾶσαι αἱ φυσικαὶ δυνάμεις τοῦ ἀνθρώπου γηράσκουσι (1). Ὁ μὲν πλεονέκτης ζῇ βίον ἀβίωτον· καθότι πάντοτε ἐπιθυμεῖ καὶ οὐδέποτε κορέννυται· ὁ δὲ αὐτάρκης ἡδέως ζῇ, ἡσύχως ὑπνώττει, ἀταράχως ἀποθνήσκει, καὶ τῆς αἰωνίου μακαριότητος ἐπιτυγχάνει. Ταῦτα ἐντέλλονται αἱ γραφαὶ, καὶ αὐτὰ οἱ φρόνιμοι πιστεύοντες δοξάζουσι.»

---

(1) Τὸ μὲν πρόσωπον πλῆρες ἐστὶ ῥυτίδων· ἡ δὲ κεφαλὴ, πολιά· τὰ δὲ μέλη, παραλελυμένα· μόνη δ' ἡ ἀπληστία νεάζει. (Βατριχαρῆ Βασ. περὶ ματαιότ. τῶν τοῦ Κόσμου σελ. 38 δίστ. 9 Πρόδρομος Ἰνδ. μεταφρ.)

Πορευομένων δὲ τῶν ὁσίων, ἀπήντησαν γυμνοσοφιστὴν, καὶ λίμνην πλήρη λωτῶν· καὶ οἱ μὲν συλλέξαντες ἱκανοὺς λωτοὺς, καὶ παρὰ τὸ χεῖλος καταθέσαντες εἰσῆλθον λουσόμενοι· ὁ δὲ, θέλων ἵνα γνωρίσῃ τὸ θρησκευτικὸν αὐτῶν φρόνημα, ἀπέκρυψεν αὐτούς. « Τίς, εἶπον οἱ ὅσιοι ἐξερχόμενοι ἐκ τῆς λίμνης, ἀφήρεσε τοὺς λωτούς; Πάντες δ' ὤμοσαν λέγοντες· « Ὁ κλέψας τοὺς λωτοὺς ἔστω ἀσεβὴς, ψευδολόγος, παράνομος, θυμώδης, μισόξενος, ἐπίορκος, οἰηματίας, πλεονέκτης καὶ ὡς τοιοῦτος κολαζέσθω, καὶ εἰς γεννήσεις γεννήσεων ἄθλιος ἔστω.» Ὁ δὲ γυμνοσοφιστὴς τὰ ἐναντία εὐξάμενος ἔδωκε τοὺς λωτοὺς, εἰπών· «Ἐγὼ ἔκρυψα αὐτοὺς, γνωρίσαι θέλων τὸν ὑμέτερον νόμον, καὶ τὴν πίστιν ὑμῶν· ἐγώ εἰμι ὁ Ἴνδρας· λέγω δ' ὑμῖν ὅτι ἐκ τῆς αὐταρκείας, τῆς ἀποστροφῆς τῶν δώρων τοῦ ἀδίκου δωρητοῦ, καὶ ἐκ τῆς πεποιθήσεως ὑμῶν, ἐκτήσασθε τὸν ἄφθαρτον χῶρον· νῦν οὖν ἀναβάντες ἐπὶ θείου φορείου, πορεύθητε εἰς τὸν οὐρανόν. »

Μανθάνομεν καὶ ἐκ τοῦ διηγήματος τούτου, ὅτι πρὸς ἀπόλαυσιν τοῦ ὑψίστου χώρου ἀπαιτοῦνται δύο τινά· ἔργα καλά, καὶ πίστις ἀκραιφνής· καθότι ἄνευ πίστεως τὰ καλὰ ἔργα εἰσὶ νεκρά· πίστις δὲ ἄνευ ἔργων ἐστὶν ἐπίσης ἀνωφελής. Καὶ τὴν μὲν αὐτάρκειαν, τὴν ἀποστροφὴν πρὸς τὸν ἄδικον πλοῦτον, καὶ τὸν παράνομον ἄνθρωπον ἔδειξαν οἱ ὅσιοι, μὴ δεχθέντες τροφὴν, πειναλέοι ὄντες· διὰ δὲ τῶν ἀρῶν ἐξέφρασαν τὴν ὁμολογίαν τῆς ἑαυτῶν πεποιθήσεως, σύμφωνον οὖσαν ὡς πρὸς τὸ πνεῦμα καὶ τὸ γράμμα τῶν Βεδῶν. Τούτων ἕνεκα ἐσώθησαν, καὶ τῆς οὐρανίου μακαριότητος ἠξιώθησαν.

§. *Περὶ πλεονεξίας.*

Ἡ ἕδρα τῆς ἁμαρτίας, κατὰ τὰς γραφὰς καὶ τὴν Βεδικὴν διδασκαλίαν, ἐστὶν ἡ πλεονεξία· μήτηρ τῆς ἁμαρτίας ἡ πλεονεξία, ἀρχικὴ αἰτία τῆς ἁμαρτίας πάλιν ἡ πλεονεξία. « Καθὼς ἡ θάλασσα οὐ πληροῦται ἐκ βαθυῤῥόων καὶ ἀεννάων ποταμῶν, οὕτω καὶ ἡ πλεονεξία ἐκ κτημάτων πολυειδῶν (1).» Καθότι ἐκ τῆς πλεονεξίας γεννᾶται ἡ ἀκόρεστος ἐπιθυμία, καὶ ἐξ αὐτῆς ἡ ἀπληστία (2)· ἐκ ταύτης ἡ ἀδικία, αἱ παράλογοι ὀρέξεις, ὁ θυμὸς, τὸ μῖσος, ὁ φθόνος. Ὁ δὲ πλεονέκτης ἀσεβής ἐστι περὶ τὰ θεῖα, κακοποιὸς καὶ ἄδικος πρὸς τοὺς ἀνθρώπους, ἀνελεήμων πρὸς τοὺς συγγενεῖς καὶ πτωχούς, καὶ σκληρὸς πρὸς πάντα τὰ ἔμψυχα. Τούτου ἕνεκα καθόσον ὀλιγοστεύει ἡ πλεονεξία, τοσοῦτον ἐλαττοῦνται ἡ πρὸς τὸ ἁμαρτάνειν κλίσις τοῦ ἀνθρώπου· ἀπ' ἐναντίας αὐξάνουσιν, ἐκείνης αὐξανομένης. « Ὁ πλεονέκτης ἄπιστός ἐστιν ἐν πᾶσι, κακοποιὸς πρὸς πάντας καὶ διάστροφος μᾶλλον πάντων (3). Ὅτε οὖν ἡ πλεονεξία ἄπεστι, πᾶν κακὸν ἄπεστιν· ὅτε δὲ πάρεστι, δυσκόλως ὁ νοῦς τοῦ ἀνθρώπου κλίνει εἰς τὸ ἀγαθόν (4).» Διὰ τοῦτο εἶπεν, ὅτι ἡ ἕδρα τῆς ἁμαρτίας ἐστὶν ἡ πλεονεξία. Ποία δὲ ἡ βάσις τῆς ἀρετῆς κατὰ τὴν αὐτὴν Βε-

---

(1) Κεφ. ιγ´. σελ. 108 δίστ 4.

(2) Γῆν ἀνέσκαψα ἐλπίζων θησαυρόν· μέταλλα ἐχώνευσα εἰς τὸ μετατρέψαι εἰς χρυσίον· ὠκεανὸν ἔπλευσα· παντοίαν θεραπείαν καὶ κολακείαν ἐποίησα πρὸς ἡγεμόνας καὶ ἐνδόξους· νύκτας ὅλας διετέλεσα ἀγρυπνῶν ἐν νεκρικοῖς τύποις, μελετῶν ἐπῳδὰς ἐκ καρδίας· ἄφες με νῦν, ὦ ἀπληστία! (Πρόδ. Ἰνδ. μετ. Βατριχαρῆ, περὶ ματαιότητος σελ. 37 δίστ. 5.)

(3) Κεφ. ιγ´. δίστ. 6 Ἰτιχάσα.

(4) Αὐτόθι δίστ. 9—10.

δικὴν θεολογίαν; « Οἱ σοφοὶ ἄνδρες λέγουσι τὴν πρᾶξιν τῶν τοῦ νόμου τὸ κυρίως ποιητικὸν αἴτιον τῆς τετρακτύος ταύτης· τῆς δόσεως, τῆς κτήσεως, τῆς τρυφῆς, καὶ τῆς ἀθανασίας(1), ἤγουν ἡ ἐλεημοσύνη, ἡ ἀπάθεια, ἡ αὐτάρκεια, καὶ ἡ θεωρία. Οὐδεμίαν δὲ τῶν ἀρετῶν τούτων ἀσκεῖ ὁ πλεονέκτης· καθότι οὐδεμίαν τῶν πράξεων τῶν παρὰ τοῦ νόμου διαταττομένων πράττει ὁ πλεονέκτης· ὅτι ἡ παγχάλεπος πλεονεξία ἀναιρετική ἐστι τῶν τοῦ νόμου (2). Παντοίῳ οὖν τρόπῳ ἄφες τὴν πλεονεξίαν, εἰ ἀγαπᾷς τὸ οἰκεῖον ἄκρον ἀγαθὸν, καὶ τὴν ἐν οὐρανῷ ὑπερτάτην δόξαν, ἣν καλοῦσιν οἱ θεόφρονες ἄφθαρτον καὶ αἰωνίαν.

§. 14. *Περὶ ἱλαρότητος καὶ ταπεινοφροσύνης.*

Ἡ ἱλαρότης τῆς ψυχῆς ἐστι μεγίστη ἀρετὴ, ἀσυγκρίτως ἁγνὴ καὶ ἁγνιστικὴ πάντων· ἱλαρὸς δ' ἐστὶν ὁ λυτρωθεὶς ἀπὸ πάντων τῶν κακῶν, ἤγουν τοῦ θυμοῦ, τῆς ταραχῆς τῶν αἰσθήσεων, τοῦ μίσους, τοῦ ψεύδους, τῆς πλεονεξίας (3). Οὐχ ἧττον δ' αὐτῆς ἐστιν ἡ ταπεινοφροσύνη, ἥτις ἐναντία ἐστὶ τῆς ὑπερηφανείας, τῆς φιλαυτίας, τῆς οἰήσεως, τῆς κενοδοξίας κτλ. Πᾶσα δὲ μάθησις, μὴ συνοδευομένη ἀπὸ ταύτης τῆς ἀρετῆς, καὶ εἰς ἐπίδειξιν μόνον ἀποβλέπουσα, ὁμοία ἐστὶ τῇ τοῦ κόρακος ἀνάρθρῳ φωνῇ.

---

(1) Τρυφὴν ἐνταῦθα, καὶ ἀνωτάτην ἄνεσιν ἐννοεῖ ὁ Βεάσας, τὴν ἐκ τῆς θεωρίας τοῦ Θείου ἀνεκλάλητον ἀγαλλίασιν. Ἴδε τὸ προοίμιον τῆς παρούσης Ἰτιχασασαμουτσαΐας.

(2) Αὐτόθι δίστ. 12.

(3) Αὐτόθι σελ. 114 δίστ. 37 καὶ ἐφεξῆς.

Ἦν ποτε Βραχμὰν, Ζάζαλις καλούμενος, ὃς ἐποίει ἄσκησιν καὶ θεωρίαν, ἱστάμενος ἀκλόνητος χρόνον πολλύν· ζεῦγος δὲ πτηνῶν, φωλεὰν ἔπηξεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ᾠητόκοσεν· ἐξῆλθον δὲ καὶ νεοττοὶ ἐκ τῶν ᾠῶν, καὶ ηὔξησαν ἐν τῇ καλιᾷ, καὶ πτερωθέντες ἀνέπτησαν. Τότε ὁ Ζάζαλις ἐκινήθη· μέγα δὲ φρονῶν, ἀνεφώνησεν εἰπών· « Οὐκ ἔστι ἐν κόσμῳ ὅμοιος ἐμοὶ κατὰ τὴν ἄσκησιν.» Φωνὴ δὲ ἐν αἰθέρι ἐγένετο λέγουσα· « Ἐν Βαναρασῇ (Βεναρὲς) τῇ πόλει εὑρίσκεται ἁπλοῦς πωλητὴς, καλούμενος Τουλεδδάρας, ὅστις μεγαλόφρων ὢν οὐ μεγαλοῤῥημονεῖ, καὶ διὰ τοῦτο ἀνώτερος σοῦ ἐστι. » Ὁ οὖν ἀσκητὴς θαυμάσας, ἀφίκετο εἰς τὴν πόλιν ἐκείνην, ἰδεῖν θέλων τὸν ἄνδρα· ὁ δ᾽ ἀναϐλέψας πρὸς τὸν ἀσκητὴν, « Καλῶς ἦλθες, ὦ ἄριστε, εἶπε· γινώσκω τὴν αἰτίαν καὶ τὸν σκοπὸν τῆς ἀφίξεώς σου. Μάθε οὖν ὅτι οὐκ ἔχω μάθησιν, ἀλλ᾽ εἰμὶ πάντοτε ὁ αὐτὸς λόγῳ, ἔργῳ, καὶ διανοίᾳ. Παρηγορῶ τὸν πάσχοντα, καὶ συγχαίρω τὸν εὐημεροῦντα· ἀποφεύγω πᾶσαν πλεονεξίαν, καὶ πωλῶν οὐκ ἀδικῶ τὸ μικρὸν παιδίον, ἢ τὸν τυφλόν. Εἰμὶ ὀλιγαρκὴς καὶ αὐτάρκης· μόνος κατεσκεύασα τὴν κατοικίαν ταύτην· φιλόφρων ὢν οἰκτείρω καὶ αὐτὰ τὰ ζῶα· ἀπαθὴς ὤν, δὲν ἐνοχλοῦμαι ὑπὸ τῶν αἰσθήσεων, ἢ τῶν ἡδονῶν. Οὔτε ὑψηλόφρων ὢν, οὐδ᾽ ὑπερήφανος, τὸν βίον διάγω εἰρήνῃ καὶ ἱλαρότητι. Ἀνωφελής ἐστιν ἡ μάθησις τῶν Βεδῶν, ἄνευ ἱλαρότητος, μετριοφροσύνης, καὶ ἀπαθείας. Οὗτοί εἰσιν οἱ νεοσσοὶ, οἱ γεννηθέντες ἐπὶ τῆς σῆς κεφαλῆς, δι᾽ ὧν ἔμαθον τὸ γεγονός· ὅτι ἡ ἐγκράτεια, καὶ πᾶσα ἀρετὴ ἐν ἡμῖν ἐστιν· καὶ τὸ τέμενος αὐτῆς ἐστιν ἡ καρδία ἡμῶν. Ἅπαντες οἱ ποταμοί εἰσιν

ὅμοιοι κατὰ τὴν ἁγιότητα, καὶ ἅπαντα τὰ ὄρη, καὶ ἅπαντα τὰ ἱερὰ τεμένη· ἀλλ' ἡ ἱλαρότης ἐστὶ τὸ μέγα ἱερὸν τέμενος· ἡ ἱλαρότης ἐστὶν ἡ μεγάλη ἄσκησις· ἡ ἱλαρότης ἡ μεγάλη γνῶσις τῶν ὄντων· ἡ ἱλαρότης ἐστὶν ἡ μεγάλη θεωρία (1). Ἄφες τὴν ὑπερφροσύνην, ἔσο ἀπαθὴς, ἱλαρὸς, μετριόφρων· γίνωσκε δ' ὅτι καὶ ἐν ἐρήμῳ πάθη γίνονται τῷ ἐμπαθῇ, καὶ ἐν κόσμῳ χαλιναγωγία τῶν παθῶν, τῷ ἐγκρατεῖ. Τούτων τῶν λόγων ἀκούσας ὁ Ζάζαλις, καὶ ἱλαρὸς καὶ ταπεινόφρων γενόμενος ἔτυχε τῆς ὑψίστης δόξης.

Διὰ τοῦ διηγήματος τούτου δεικνύει καὶ αὖθις ὁ συγγραφεύς· α΄. ὅτι ἡ θεωρία καὶ αὐτὴ ἡ μάθησις τῶν γραφῶν, ἄνευ τῆς πρακτικῆς ἀρετῆς εἰσιν ἀνωφελεῖς· β΄. ὅτι οὐ μόνον ὁ ἐν ἐρήμῳ οἰκῶν ἀσκητὴς δύναται σωθῆναι διὰ τῆς ἀσκήσεως τῶν ἀρετῶν· ἀλλ' ἔτι μᾶλλον καὶ ὁ ἐν τῷ κόσμῳ διατρίβων ἐνάρετος· γ΄. ὅτι ὁ ἐν ἐρήμῳ θεωρητικὸς Βραχμὰν, ἄνευ ἱλαρότητος, μετριοφροσύνης καὶ ἀπαθείας, δὲν δύναται ἵνα ἐπιτύχῃ τῆς ὑψίστης δόξης, καὶ κατώτερός ἐστι τοῦ ἐν τῷ κόσμῳ οἰκοῦντος ἱλαροῦ καὶ μετριόφρονος ἁπλουστάτου ἀνθρώπου. Διὰ τοῦτο, λέγει, ὅτι ὁ ἁγιώτερος τόπος, καὶ τὸ ἱερώτερον τέμενός ἐστιν ἡ ἁγνὴ καρδία τοῦ ἔργῳ, καὶ διανοίᾳ ἐναρέτου καὶ θεοσεβοῦς ἀνθρώπου (2).

§. 15 *Περὶ ἀρετῆς.*

Ποῖόν ἐστιν αἱρετώτερον, ἡ κτῆσις τῆς ἀρετῆς, ἢ ἡ κτῆσις τοῦ πλούτου;

Οἱ θεολόγοι σοφοὶ φρονοῦσιν, ὅτι ὁ μὲν πλοῦτός ἐστιν ἀν-

(1) Κεφ. ιδ΄. σελ. 113 δίστ. 33—34.

(2) Εἰς μάτην πονεῖ ὁ ἀσκητὴς οὗ ἡ καρδία οὐκ ἔστιν ἱλαρά. (Αὐτ. δίστ. 46.

θρωπικὸν καὶ πρόσκαιρον· ἡ δ' ἀρετὴ θεία, καὶ θείων ἀγαθῶν πρόξενος. Διὰ τοῦ πρώτου ἀποκτᾷ ὁ ἄνθρωπος τὰ τοῦ Κόσμου ἀγαθά, ἅπερ εἰσὶ προσωρινά· διὰ τῆς δευτέρας τὰ οὐράνια, ἅ εἰσιν ἀΐδια.

Βραχμάν τις πλεονεξίᾳ νικώμενος ἐδέετο τοῦ ἀγγέλου τῶν θεῶν Κουνδαδδάρα, διὰ προσευχῶν καὶ θυμιαμάτων, ὑπὲρ κτήσεως πλούτου. Μετὰ δὲ χρόνον, ἡσθεὶς ὁ Ἄγγελος, καὶ τὸ πρόσκαιρον τοῦ χρηματικοῦ πλούτου γινώσκων, ᾔτησε παρὰ τῶν θεῶν, ὑπὲρ τοῦ δεομένου Βραχμᾶνος τὸν ἀληθῆ πλοῦτον, ἤτοι τὴν πρὸς ἀρετὴν κλίσιν. Ἐκ γὰρ τῆς ἀρετῆς γίνεται μάθησις, εὐτυχία, εἰρήνη, ἔπαινος, οὐρανὸς τοῦ Ἴνδρα, καὶ ἀθανασία. Ποῖον δὲ τὸ ἐκ τοῦ χρηματικοῦ πλούτου ὄφελος; Οὐδέν· ἢ πρόσκαιρον καλόν· καθότι ὁ ἀφεὶς τὴν ἀρετήν, ἀσπάζεται τὸν πλοῦτον. Οὗτος ἀφεὶς σωρὸν χρυσοῦ, σωρὸν χοὸς ἀναλαμβάνει. Τί ὄφελος ἐκ πλούτου, ὃν ἄλλοι ἀπολαμβάνουσι μετὰ θάνατον; Ὁ μὲν χρηματικὸς πλοῦτος ἀνήκει εἰς τοὺς κληρονόμους· ὁ δὲ τῆς ἀρετῆς, εἰς μόνον τὸν ἐνάρετον. Μόνη ἡ πρᾶξις τῆς ἀρετῆς ἐστι τὸ ἀναφαίρετον κτῆμα τοῦ ἐναρέτου. Μωροί εἰσιν οἱ φρονοῦντες, ὅτι τὸ πεπρωμένον οὐκ ἐκτελεῖται, ἢ ὅτι τοῦ πεπρωμένου ἀναίρεσις γίνεται· ἀλλὰ τὸ πεπρωμένον διορίζεται ἐκ τοῦ προπεπραγμένου ἐν ἑτέρα γεννήσει ἔργου. Ὅστις οὖν πράξει τὴν ἀρετὴν ἐν μιᾷ γεννήσει, εὑρήσει τὴν ἀμοιβὴν αὐτῆς ἐν τῇ ἑπομένῃ γεννήσει, καὶ βαθμηδὸν οὕτως, ἑωσοῦ ἀποκτήσει τὸν ὕψιστον χῶρον. Ταῦτα μαθὼν ὁ Βραχμὰν παρὰ τοῦ Ἀγγέλου καὶ πεισθεὶς εἰσέδυ εἰς τὸ δάσος καὶ ἄσκησιν εἰργάζετο δυσκατέργαστον, καὶ πρὸς τὸν Κουνδαδ-

δάραν ἦν εὐγνώμων, ὅτι κλίσιν ἀρετῆς, ἀντὶ πλούτου αὐτῷ ἔδωκεν. Μετὰ δέ τινα καιρὸν, φανεὶς ὁ Ἄγγελος εἶπε τῷ Βραχμᾶνι· « Δείξωσοι ἤδη τὴν κατάστασιν τῶν πλουσίων καὶ βασιλέων, τῶν μὴ ἀσκησάντων τὴν ἀρετήν. » Τότε εἶδεν ὁ Βραχμὰν, θείῳ ὄμματι, ἀναριθμήτους πλουσίους εἰς τὸν σκοτεινὸν ᾅδην, καὶ τοὺς κακοὺς, πρὸς οὓς ἡ θύρα τοῦ οὐρανοῦ ἐστι κεκλεισμένη, καὶ ἐθαύμασεν ἀφ' ἑτέρου ἰδὼν τὴν δόξαν τῶν ἐναρέτων. « Ἰδὲ πάλιν, ἰδὲ τὰ πάθη, ὑφ' ὧν τοῦτο τὸ πᾶν περιειλημένον ἐστὶ, καὶ ἡ θύρα τοῦ παραδείσου κελεισμένη τοῖς κακούργοις καὶ κακοτρόποις· εἰ ἅπας ὁ κόσμος οὗτος προσκείμενος ἦν τῇ ἀρετῇ, ἦν ἂν ὁ μὲν οὐρανὸς πλήρης, ἡ δὲ γῆ κενή (1). » Ἐκ τούτων ἔτι μᾶλλον πεισθεὶς εὐχαρίστησε τὸν Ἄγγελον· χάριτι δὲ αὐτοῦ καὶ τῶν θεῶν, ἔτυχε τῆς θείας γνώσεως, καὶ δι' αὐτῆς τῆς τελειότητος. Αἰθεροβατῶν δὲ περιήρχετο, ὡς θεὸς, πάντας τοὺς τόπους, ἄμοιρος ὢν παντὸς πάθους· καὶ προσκείμενος ἀεὶ τῇ θεωρίᾳ, ἀπήλαυσε τῆς ὑψίστης χώρας τοῦ Βισνοῦ, καὶ τὸ ἄκρον ἐφετόν.

Ἡ ὕλη τοῦ Κεφαλαίου τούτου συμφωνεῖ ὡς πρὸς τὰς ἠθικὰς ἀρχὰς τῶν προηγουμένων καὶ ἑπομένων Κεφαλαίων τῆς παρούσης πραγματείας, οὐχ ὡς ἧττον δὲ καὶ πρὸς τὰ τῆς Μαχαβαράτας, κατὰ τὰς παρατηρήσεις τοῦ σοφοῦ Κυρίου Λασσένου (2), ἰδίως δὲ ὡς πρὸς τὸ III τοῦ ἐπικοῦ ποιήματος, ἤτοι τὸ περὶ ἀπαρνήσεως ἀπὸ πάσης κοσμικῆς κλί-

---

(1) Κεφ. ιέ. σελ. 121 δίστ. 49—50.

(2) Προλεγ. τῆς Ἰτιχάσ. σελ. ιϐ'.

σεως καὶ τῆς ἐσχάτης ἀπολυτρώσεως· ἐπίσης δὲ ὡς πρὸς τὸν διάλογον τοῦ Βολίσχα περὶ τοῦ ἄκρου ἐφετοῦ, καὶ τὸ διήγημα τῆς Μαχαβαράτας, ἔνθα ἀποδεικνύεται, ὅτι ἐν τῇ πλεονεξίᾳ οὐκ ἔστι σωτηρία, ἀλλ᾽ ἐν τῇ πράξει τῆς ἀρετῆς. « Ἴσθι οὖν, λέγει καὶ ὁ ἡμέτερος ποιητὴς, ὡς ἡ ἀρετὴ κρείττων ἐστὶ τοῦ πλούτου· ἐκ γὰρ τῆς ἀρετῆς, καὶ ὁ οὐρανὸς, καὶ ἡ λύτρωσις, καὶ ἡ χώρα τοῦ Βισνοῦ ἐπίκτητος γίνεται (1). » Αὐτὸ δὲ τοῦτο δι᾽ ἄλλων λέξεων, ἀποδεικνύει ὁ συγγραφεὺς διὰ τῶν ἐφεξῆς πέντε κεφαλαίων.

§. 16. *Περὶ ἀποστροφῆς τῶν τοῦ κόσμου.*

Ἂν ὁ φιλόπλουτος καὶ φιλοκερδὴς, καί τοι ὢν ἐργατικὸς οὐ πλουτεῖ, τί ποιήσας ἄνεσιν εὑρήσει;

Ἡ ἄνεσις καὶ ἡ εἰρήνη ἀπαιτοῦσι τὰς ἑξῆς πέντε ἀρετάς. ά. ἀπραγμοσύνην· β΄. ἀληθολογίαν· γ΄. ὀρθὴν κρίσιν· δ΄. ἀταραξίαν· έ. καὶ ἀποστροφὴν τῶν τοῦ Κόσμου. Ἐκ τούτων ἐπιγίνεται τῷ ἀνθρώπῳ ἡ λύτρωσις, ἡ εἰρήνη, καὶ ἡ ἐξ αὐτῆς ἄκρα τῆς ψυχῆς ἀγαλλίασις. Ὁ ἔχων ταύτας τὰς ἀρετὰς κύριος ἀποκαθίσταται τῶν κοσμικῶν· ἂν δὲ σὺν ταύταις ταῖς ἀρεταῖς ἔχῃ καὶ τὴν θεοφροσύνην, ὁ τοιοῦτος ἀποκτᾷ καὶ τὸν Οὐρανόν.

Ἦν ποτε ἀνήρ τις, Μανκὴς καλούμενος, ὃς πλούτου ἐφιέμενος, εἰργάζετο ἀκαταπαύστως, ἀλλὰ πάντοτε ἀπετύγχανεν· οὗτος ἠγόρασε ζεῦγος βοῶν διὰ τῶν ἐναπολειφθέντων ὀλίγων χρημάτων, καὶ ἤρξατο γεωργεῖν. Φέροντες δ᾽ οἱ βόες τὸν ζυγὸν, ἐπλησίασαν ἀνεπαισθήτως εἰς Κάμηλον καθημέ-

(1) Κεφ. ιέ. σελ. 123 δίστ. 61.

νην· ἡ δὲ ἀναστᾶσα αἴφνης, ἔσειρε βιαίως ἀμφοτέρους τοὺς βόας μετὰ τοῦ ζυγοῦ, καὶ αὐτοὺς μὲν κατέστρεψε· τὸν δὲ ζυγὸν συνέθλασεν. Ὁ δὲ Μανκὴς, ἰδὼν τὸ γεγονὸς καὶ τοὺς βόας ἐκπνεύοντας· « Τετέλεσται, εἶπε· πολύπονος καὶ πανάθλιος ὑπῆρξεν ὁ ἐμὸς βίος· μάταιαι δὲ καὶ ἀνωφελεῖς πᾶσαι αἱ ἐπιχειρίσεις ἐμοῦ. Ἄλλως σχεδιάζει ὁ ἄνθρωπος, καὶ ἄλλως ἀποβαίνουσι τὰ πράγματα· ἄλλως μελετῶνται, καὶ ἄλλως φέρονται ὑπὸ τῆς τύχης (1)· αὕτη ἐστὶν ἡ ἐμὴ δοξασία. Ὁ μὲν ἀτυχὴς πάντοτε ἀποτυγχάνει· ὁ δὲ εὐτυχὴς, καὶ μωραίνων, πολλάκις εὐδοκιμεῖ. Ἀνόητος πραγματικῶς ἐστιν ὁ ἄνθρωπος ἀγωνιζόμενος πρὸς κτῆσιν πλούτου μᾶλλον ἢ πρὸς κτῆσιν ἀρετῆς· καθότι οὗτος κοπιάζει πρὸς ἀπόλαυσιν χρημάτων, ἀνησυχεῖ φροντίζων πρὸς διατήρησιν αὐτῶν, καὶ λυπεῖται ἐν τῇ ἀπωλείᾳ αὐτῶν. Πόνος οὖν ἔνεστι τῷ ἀνθρώπῳ ἐν τῇ συλλογῇ τῶν χρημάτων! πόνος ἐν τῇ φυλακῇ αὐτῶν! πόνος ἐν τῇ ἀναλώσει! καὶ πόνος ἐν τῇ ἀπωλείᾳ αὐτῶν! Ὁ πλοῦτος ἄρα πολύπονος λίαν ἐστὶ, καὶ ᾀείποτε αἴτιος ἀνησυχίας καὶ ταραχῆς· ὥστε ὁ μὲν ἐραστὴς χρημάτων κατώδυνος ἐστὶν, ὁ δὲ ἀνέραστος, γηθόσυνος. Ἀπομακρυνθήτω οὖν ἡ ἐπιθυμία αὕτη ἐκ τῆς ἐμῆς καρδίας. Συζεύξας δὲ τὴν διάνοιαν τῇ θεωρίᾳ, τοιαύτην ἀρετὴν συντόνως ἐργάσομαι, ὥστε οὐ τεύξομαι ἄλλοτε τοιαύτης ἐπιπόνου παλιγγενεσίας (2). Οὐκ ἔστιν ἡδονὴ ἡδυτέρα ἐν τοῖς τρισὶ κόσμοις, οἵα ἡ ἡδονὴ τοῦ ἀρνησαμένου τὰ τοῦ κόσμου, καὶ

(1) Ἄλλαι μὲν βουλαὶ ἀνθρώπων ἄλλα δὲ Θεὸς κελεύει.
(2) Κεφ. ΙΣΤ´. σελ. 125 δίστ. 22.

καταφρονήσαντος πάσης τρυφῆς. Αἱ τῆς σαρκὸς ἐπιθυμίαι εἰσὶν ὁ μέγας δεσμὸς, καὶ αἰτία τῆς φιλοχρηματίας, τῆς πλεονεξίας, καὶ ὅλων τῶν δεινῶν. Αὗται νικηθῆσαι, ἄνεσιν καὶ εἰρήνην παρέχουσι τῇ ψυχῇ. Καθότι ἡ αὐτάρκεια ἐπιφέρει τὴν εὐθύτητα, τὴν ἱλαρότητα, τὴν πρὸς πάντα τὰ ἔμψυχα εὐσπλαγχνίαν· ἡ δὲ ἡδυπάθεια καὶ πλεονεξία εἰσὶν ἐναντίαι πάσης ἐπιγείου καὶ οὐρανίου ἀνέσεως. « Ὅταν ἀπείρξω τὴν ἐξιοῦσαν ἐπιθυμίαν ἐκ τῆς καρδίας, τότε τυγχάνω τοῦ Θεοῦ. Τοῦτό ἐστιν ἡ θεία φρόνησις, καὶ ἡ θεωρία· τοῦτο μόνον ἀρκεῖ· τὰ δὲ λοιπὰ περιττά. » Ἄφες οὖν, ὦ ἄνθρωπε, τὰ τοιαῦτα ταραχώδη πάθη, καὶ εὐφρανθήσῃ ἄφθαρτον καὶ ἄρατον ἀγαλλίασιν, καὶ ἐνταῦθα μὲν βιώσῃ, ἐν ἀνέσει καὶ ἐν εἰρήνῃ· μετὰ θάνατον δὲ τεύξῃ τῆς οὐρανίου ὀλβιότητος, καὶ τοῦ ὑψίστου Θείου. « Γνωρίζω, λέγει ὁ Μανκὴς, γνωρίζω, ὦ ἐπιθυμία, τὴν ῥίζαν σου· σὺ ἔχεις τὸ εἶναι ἐκ τῆς θελήσεως τῆς καρδίας· ἐγὼ δὲ οὐ ποιήσω τὴν θέλησιν τῆς καρδίας, ἐκ δὲ τούτου σὺ οὐχ ἕξεις τὸ εἶναι. Ὀψὲ ἐγὼ ἔγνων, ὡς ἡ αὐτάρκεια μεγάλη ἐστὶν ἄνεσις. Ἀπολεσθέντος τοῦ ζεύγους τῶν βοῶν, αὐτάρκης ἔσομαι, ἡδέως δὲ καὶ ἐν ἀνέσει ὑπνώσω, καὶ ἐν κόλποις τοῦ Θείου ἐγερθήσομαι. »

§. 17. *Περὶ μιμήσεως τῶν ἀγαθῶν ἔργων.*

Ποία ἡ ὁδὸς τῶν ἀγαθῶν ἔργων; Ἡ ὁδὸς τῆς ἐγκρατείας ἐστὶν ἀρίστη, ἢ ἡ ὁδὸς τῆς πράξεως τῶν νομίμων καὶ ἐθίμων; ἢ ἡ ὁδὸς τῆς θεωρίας καὶ θεογνωσίας;

Ἡ ὀρθὴ τοῦ νοὸς κρίσις γίνεται διὰ πολλῶν γεννήσεων·

δι' αὐτῆς ὁδηγούμενοι οἱ ἄνθρωποι μένουσιν ἐπὶ τῶν οἰκείων ἐθίμων καὶ νομίμων. Καθότι τὸ πεπραγμένον, ὡς ἀνεπτύχθη καὶ ἐν τῷ δευτέρῳ Κεφαλαίῳ τῆς παρούσης πραγματείας, πραχθὲν ἅπαξ, οὐδέποτε ἐξαλείφεται, εἰμὴ μετὰ τὴν ἐκπλήρωσιν, ἥτις ἐστὶν ἡ ἀμοιβή, ἢ ἡ ποινή. Τὸ πεπραγμένον διορίζει τὸ πεπρωμένον· ὥστε τὸ πεπρωμένον ὂν ἀποτέλεσμα τοῦ πεπραγμένου, ἀνυπερθέτως ἐκτελεῖται εἰς ταύτην ἢ εἰς ἄλλην γέννησιν. Ὅςτις οὖν πράττει ἁμαρτίαν τινὰ ἐν μιᾷ γεννήσει, ἢ ἐν τῷ διαστήματι τοῦ βίου τούτου, ἀπολαμβάνει τὸν καρπὸν ἐν τῇ ἀκολούθῳ ἀναβιώσει. Αὐτὸ τοῦτο συμβαίνει καὶ ὡς πρὸς τὴν πρᾶξιν τῆς ἀρετῆς. Ὁ πράττων αὐτὴν ἐν τῇ παρούσῃ γεννήσει, καὶ ἐν τῇ ἀκολούθῳ παλιγγενεσίᾳ κλίσιν πρὸς τὴν ἀρετὴν φέρει. Ἡ κλίσις καὶ ἡ ῥοπὴ αὕτη ἐστὶν ἡ ὀρθὴ τοῦ νοὸς κρίσις, δι' ἧς ἐκλέγων τὴν ἀρετὴν, ἀποστροφὴν ἔχει πρὸς τὴν κακίαν. Τοιαύτη ἐστὶν ἡ πρὸς τὴν ἠθικὴν τελειοποίησιν διδασκαλία καὶ μέθοδος τῶν Ἰνδῶν, ὥστε ἐκ τῆς ὀρθῆς κρίσεως ὁ ἄνθρωπος κρίνει, ἐκλέγει, καὶ μένει ἀκολουθῶν τὰ νόμιμα καὶ διατεταγμένα παρὰ τῶν ἱερῶν γραφῶν.

Ὁ προφητάναξ Ναχούσσας ἠρώτησέ ποτε τὸν ὅσιον Βοδδέαν « Πῶς τὸν κόσμον οἰκεῖς, ὡς ἄϋλος, ἀνέραστος ὢν πάσης τρυφῆς; »

Πολλοὶ ἐγένοντο, εἶπεν, ἐμοὶ διδάσκαλοι· ἡ Πιγγαλὰ, ὁ ἀετὸς, ἡ μέλισσα, ἡ νεάνις, κτλ.

Ἡ ἑταίρα Πιγγαλὰ περιμένουσα ἐν ῥητῇ ὥρᾳ τὸν ἐραστὴν, ἀπέτυχε· λίαν δὲ θλιβεῖσα ἐκ τούτου, σώφρων ἐγένετο, εἰποῦσα· « Τὸ μὲν προσδοκᾷν ἐστι θλίψις καὶ ἀνησυχία·

τὸ δὲ μὴ προσδοκᾷν, μεγάλη ἐστὶν ἄνεσις καὶ ἡσυχία. Εἰς τὸ ἑξῆς οὐ προσδοκήσω· ἡσύχως δὲ βιώσω, καὶ ἡδέως ὑπνώσω. »

Εἷς δ᾽ ἀετὸς, ἔχων κρέας ἐν στόματι, ἠνοχλεῖτο παρὰ τῶν λοιπῶν ἀετῶν, κεντούμενος παρ᾽ αὐτῶν. Οὗτος οὖν, ἀφεὶς τὸ κρέας, ἀνενόχλητος ἔμεινε.

Νέα τις φιλήσυχος, ἔχουσα περικάρπια, καὶ ὑπὸ τοῦ κρότου αὐτῶν συγκρουομένων ἐνοχλουμένη, συνέτριψεν αὐτὰ καὶ ἡσυχίαν ἔσχεν. Καθὼς δ᾽ ἡ μέλισσα τὸ μέλι συλλέγει ἐκ πολλῶν καὶ διαφόρων ἀνθέων, οὕτω καὶ ὁ φρόνιμος συλλέγει τὸ ἐξαίρετον, ὅπερ δι᾽ ἔργου καὶ λόγου διδάσκουσιν οἱ σοφοὶ καὶ ἐνάρετοι ἄνδρες, καὶ τὰ θεῖα καὶ ἐπιστημονικὰ βιβλία.

Ταῦτα καὶ τὰ τοιαῦτα διανοούμενος καὶ σπουδάζων, ἄφησα πᾶσαν ἐπιθυμίαν κοσμικὴν, καὶ πᾶσαν τρυφήν. Τοιοῦτον δὲ βίον ἐκλέξας, ζῶ ἐν τῷ Κόσμῳ ὡς ἄϋλος, ἐν ἀνέσει καὶ εἰρήνῃ διάγω, τὰ ἀγαθὰ τῶν ἀγαθῶν ἀνδρῶν ἔργα μιμούμενος.

§. 18. *Περὶ φρονήσεως.*

Ποῖον τῶν κτημάτων ἐστὶν ἀνώτερον ;

Πάντων τῶν ἀγαθῶν ἀνώτερόν ἐστιν ἡ φρόνησις· ὁ γὰρ ἐχέφρων καὶ ἐν τῷ παρόντι βίῳ, καὶ ἐν τῷ μέλλοντι εὑρήσει ἄνεσιν. Διὰ τῆς φρονήσεως ἐπαρηγορήθη ὁ Βαλῆς, μετὰ τὴν στέρησιν τῆς βασιλείας αὐτοῦ, καὶ μακαριότητος ἔτυχε μετὰ θάνατον.

Πλούσιός τις ἐκ τῆς Βαϊσσαϊκῆς φυλῆς (1), διερχόμενος

(1) Αὕτη ἐστὶ μία τῶν τεσσάρων προνομιούχων τάξεων ἐν τῇ Ἰνδίᾳ. Εἰς

ἐφ' ἁμάξης βιαίως, προσέβαλεν ἐξ ἀπροσεξίας, καὶ κατὰ γῆς ἔρριψε Βραχμᾶνά τινα, καλούμενον Κασσέπαν, πεζῇ βαδίζοντα. Οὗτος δεινοπαθῶν, « Τεθνήζομαι εἶπε· τί γὰρ ὄφελος ζωῆς ἐμοὶ τῷ ἀθλίῳ ὄντι ἐν κόσμῳ ; » Ὁ δὲ Ἴνδρας, παραστὰς αἴφνης ἐν σχήματι κυνολύκου, εἶπεν αὐτῷ· « Πόθεν ἡ τοσαύτη σου ἀπελπισία ; διατί τοσοῦτον δυσθυμεῖς, καὶ γνώμην θανάτου ἔχεις ; Θλίβεσαι διὰ τὸ ὑπ' ἄλλου γενόμενόν σοι κακὸν, καὶ μέγιστον σεαυτῷ ποιῆσαι κακὸν ἀποφασίζεις, ἤγουν τὴν αὐτοφονίαν ; Εἰ οὐκ ἀγαπᾷς τὰ ὑπ' ἄλλων γινόμενά σοι κακὰ, μὴ πράττε καὶ σὺ πρὸς ἄλλον ποτὲ κακόν, οὐδὲ πρὸς σὲ αὐτόν. Ἡ ἀρετὴ, ὦ ἀγαθὲ, ἐςὶν ἡ θεραπεία ὅλων τῶν δεινῶν. Ὁ αὐτάρκης, οὐδενὸς ἔχων χρεῖαν, οὐ λυπεῖται οὐδὲ στερεῖταί τινος, διότι οὐδενὸς ἐπιθυμεῖ. Ὁ δὲ πλεονέκτης οὐδέποτε κορέννυται, εἰ καὶ κτήσαιτο πᾶσαν τὴν γῆν, καὶ τὰ ἐν τῇ γῇ ἀγαθὰ πάντα, ἐν ᾧ μετ' ὀλίγον, ἀφίνων ἐξαίφνης τὸν πλοῦτον, τὰ ἀγαθὰ, τοὺς φίλους πάντας καὶ συγγενεῖς, πορεύεται εἰς τὸν φρικτὸν ᾅδην. Μόνος ὁ ἄπληςος, ὢν πτωχὸς, ἐπιθυμεῖ πλούτου. Πλουτήσας, ἐπιθυμεῖ τιμῆς, δόξης, καὶ βασιλείας. Βασιλεύσας, ἐπιθυμεῖ αὐτοκρατορίας, ἔπειτα μονοκρατορίας, εἶτα οἰκουμενικῆς μονοκρατορίας. Ἀποκτήσας δὲ ταῦτα, οὐκ ἔτι κορέννυται, ἀλλ' ἐπιθυμεῖ τῆς οὐρανίου δόξης τοῦ Ἴνδρα. Ἴνδρας γινόμενος ἐπιθυμεῖ τῆς δόξης τοῦ δημιουργοῦ Βραχμᾶ, καὶ οὕτως ἀνωτέρας, καὶ πάλιν ἀνωτέρας. Καθότι ἡ πλεονεξία καὶ ἡ ἀπληστία οὐκ ἔχουσι πέρας οὐδ' ὅριον,

---

αὐτὴν δ' ἀνήκουσιν οἱ ἔμποροι, οἱ γεωργοὶ, καὶ οἱ βιομήχανοι. (Ἰδὲ προλεγόμ. Γιτᾶς σελ. 23 Κεφ. 2.)

καὶ οὐδεὶς ἔφθασεν εἰς τὸ τέλος αὐτῶν. Ἄφες οὖν, ὦ ἄνθρωπε, ταύτην τὴν ἀτελεύτητον καὶ δυσπλήρωτον πλεονεξίαν (1), ἥτις οὐ κατασβέννυται ἐκ τῆς κτήσεως πολλῶν χρημάτων, ἀλλὰ μᾶλλον ἀνακαίει, καθὼς τὸ πῦρ ἐκ τῶν ξύλων.

Οἱ σοφοὶ δοξάζουσιν, ὅτι ἡ φιλοχρηματία ἐστὶ κακόν· διότι καὶ ἡ κτῆσις τῶν χρημάτων ἀνησυχίαν προξενεῖ, καὶ ἡ στέρησις αὐτῶν λύπην, ἐν ᾧ τὰ χρήματα, τὰ κτήματα, καὶ τὰ εὐτυχήματα βραχυτελῆ εἰσιν, ὡς τὰ ἐξ ἀνέμου ἀνιστάμενα κύματα τῆς θαλάσσης. Δυοῖν δὲ θάτερον, ἢ ὁ ἄνθρωπος ἀφίησι τὸν πλοῦτον καὶ τὰ κτήματα, καὶ ἀπέρχεται, ἢ ὁ πλοῦτος τὸν ἄνθρωπον. Ἀνυπερθέτως δὲ τὸ ἓν ἀφίησι τὸ ἕτερον, πρότερον ἢ ὕστερον· καθότι ὁ θάνατος χωρίζει αὐτοὺς διὰ παντός. Πῶς οὖν ἀπελπιζόμενος καταφρονεῖς τὴν ζωὴν διὰ πλοῦτον, ὃς ἔχει πολλὰ κακὰ, καὶ βραχυτελής ἐστι; Ἡ φρόνησις καὶ ἡ ἀρετὴ φέρουσι τὸν ἀληθῆ καὶ διαρκῆ πλοῦτον. Πολλοὶ τῶν ἀνθρώπων εἰσὶ τυφλοὶ, κωφοὶ, ἀνάπηροι ὀρφανοὶ, φιλάσθενοι, καὶ ἐμπαθεῖς· σὺ δὲ, ὦ Κασσέπα, ὁλομελὴς εἶ καὶ ὑγιής· εἶτα ἀπελπίζεσαι ἔχων χεῖρας καὶ εὐρωστίαν, διότι εἶ πτωχός! Ὁ ἔχων φρόνησιν καὶ χεῖρας οὐδενὸς τῶν ἀναγκαίων στερεῖται. Εἰ μὲν δὴ ἀκούεις τῶν ἐμῶν λόγων, καὶ πιστεύεις αὐτοῖς, φρόντισον περὶ κτήσεως ἀρετῆς (2).»

Ἀλλ' ὁ ἀσθενὴς, ὁ τεθλιμμένος καὶ δυστυχὴς, ποίαν ἕξει παρηγορίαν; Τὰς γραφάς· αὐτὰς ἀναγινωσκέτω ὁ ἀθυμῶν,

---

(1) Κεφ. ΙΗ. δίστ. 23—24.
(2) Αὐτ. δίστ. 43.

ὅτι μεγάλην παρηγορίαν εὑρήσει καὶ ἀνάπαυσιν. Ἡ χαλιναγωγία τῶν αἰσθήσεων καθαρίζει τὸν νοῦν· ὁ δὲ καθαρὸς νοῦς βλέπει ἑαυτὸν μὲν ἐν τῷ παντὶ, τὸ δὲ πᾶν ἐν ἑαυτῷ. Ἔγκλεισον οὖν πάσας τὰς αἰσθήσεις ἐν τῇ διανοίᾳ· τὴν δὲ διάνοιαν, ἐν τῷ νοΐ· τὸν δὲ νοῦν ἀκλόνητον ἀνάγαγε εἰς τὸ ὕψιστον Θεῖον, καὶ ταχέως εὑρήσεις ἀνάπαυσιν, καὶ ἀγαλλίασιν. Μὴ δυνάμενος δ' ἐννοῆσαι τὸ νοερὸν καὶ ἄϋλον Θεῖον, θὲς ἐν τῇ καρδίᾳ τὸν ἐν ὕλῃ Θεὸν, καθ' ἣν ἂν θέλῃς μορφὴν(1), καὶ πάλιν ἕξεις τελείαν ἄνεσιν. Ἀφεὶς οὖν τὴν φιλοχρηματίαν καὶ πλεονεξίαν, ἐργάζου τὴν ἀρετὴν, ἤτοι τὴν ἐγκράτειαν καὶ τὴν φρόνησιν· διότι πάντων τῶν κτημάτων, ἡ κτῆσις τῆς φρονήσεως κρείττων λέγεται. Ὁ γὰρ ἐχέφρων, ἀπομακρυνόμενος ἀπὸ τῶν αἰσθητῶν καὶ εἰς τὸν Θεὸν προσεγγίζων, ἄνεσιν καὶ εἰρήνην εὑρίσκει ἐν τούτῳ τε τῷ βίῳ, καὶ ἐν τῷ μέλλοντι. »

Ἐν τῷ ἠθικῷ τούτῳ διηγήματι ἐμφαίνεται ἡ ἀνθρώπινος ἀδυναμία ἐν τῇ τοῦ νεοπλούτου ὑπεροψίᾳ, καὶ ἐν τῇ οἰήσει τῶν προνομιούχων τάξεων. Καθότι ὁ Κασσέπας, θεωρῶν ἑαυτὸν λίαν ἀνώτερον ἀνθρώπου, ἀνήκοντος εἰς τὴν Βαϊσσαϊακὴν τάξιν, τρίτην οὖσαν μετὰ τοὺς Βραχμᾶνας, ἐξέλαβεν ὡς μεγίστην ἀτιμίαν τὴν παρὰ τοῦ τοιούτου ὤθησιν διὰ τῆς ἐλασίας τῆς ἁμάξης. Ἐκ τούτου ἡ τοσαύτη ἀπόγνωσις αὐτοῦ, ἡ ἀκηδία τῆς ζωῆς, καὶ ἡ ἐπιθυμία τῆς αὐτοφονίας. Ἡ γελοία τοῦ Βραχμᾶνος ἀπελπισία δίδει ἀφορμὴν εἰς τὸν Θεὸν Ἴνδραν, κυνολύκου λαβόντα μορφὴν, ὅπως ἐλέγξῃ τὴν ἀδυναμίαν τοῦ ἀνθρώπου, καὶ ἠθικῶς καὶ θεολογικῶς νουθετήσει αὐτόν. « Ὅ,τι,

(1) Αὐτ. δίστ. 57—61.

λέγει, ἔπραξέ τις ἐν τῇ προτέρᾳ γεννήσει, τοῦτο ἀπολαμβάνει ἐν τῇ ἐνεστώσῃ. Διατί οὖν θλίβεσαι, ὡς πάσχων δῆθεν ὑπ' ἄλλου; ἐν ᾧ ἀπολαμβάνεις τὸν καρπὸν τῶν ὧν ἔπραξες ἄλλοτε ἔργων; Μυριοτρόπως πάσχει ὁ ἄνθρωπος καθεκάστην, καὶ σὺ ἀπελπίζεσαι διὰ τοιαύτην ἀτιμίαν; Ἡ ἀρετὴ, οὖσα τὸ ἀπαλλακτικὸν ὅλων τῶν δεινῶν, ἀμελεῖς αὐτῆς, καὶ μικρολογῶν ματαίως λυπῆσαι δι' οὐτιδανὰ πράγματα. Ἀμελεῖς τῆς Βραχμανικῆς σου ἀξίας, καὶ ζηλεύεις τὸν πλοῦτον τοῦ Βαϊσσαίου, λησμονῶν, ὅτι οἱ λέγοντες, « οὗτός ἐςιν ὁ ἐμὸς φίλος, ὁ ἐμὸς υἱὸς, τὰ ἐμὰ κτήματα, καὶ ὁ ἐμὸς πλοῦτος», ἀφέντες ταῦτα πάντα ἐξαίφνης, πορεύονται εἰς τὸν ᾅδην. Πῶς οὖν ἀξιοῖς ἐκλιπεῖν τὸ ζῆν διὰ πλοῦτον, ὃς πολλὰ κακὰ ἔχει, ἐφήμερός ἐστι, καὶ ὑπὸ τῶν σοφῶν περιφρονεῖται, ἕνεκα τῆς ἀρετῆς; Εἰμὲν οὖν ἀκούεις τῶν ἐμῶν λόγων, φρόντισον περὶ κτήσεως τῆς ἀρετῆς. »

Ἀλλ' ἡ ἀρετὴ στηρίζεται εἰς τὴν θεοσέβειαν· αὐτὴ δὲ προαπαιτεῖ τὸν χωρισμὸν τοῦ πνεύματος, ἀπὸ τῆς σαρκὸς, ἤγουν τὴν νίκην τῶν αἰσθήσεων (1). Τούτου δοθέντος, ἡ διάνοια τοῦ ἐναρέτου, χωριζομένη ἀπὸ τοῦ ἀτόμου καὶ τοῦ σώματος, θεωρεῖ ἑαυτὴν ἡνωμένην μετὰ τοῦ παντὸς, καὶ ἐν ἑαυτῇ βλέπει τὸ πᾶν. Οὕτως ὁ καθαρὸς νοῦς ὑψοῦται μέχρι τοῦ ἀχράντου Θείου. Ἂν ὅμως, ἕνεκα τῆς ἀτελείας τῆς ἀνθρωπίνου φύσεως, δὲν δύναταί τις ἐννοῆσαι τὸν νοερὸν καὶ ἀπειροτέλειον Θεὸν, θὲς, λέγει, ἐν τῇ καρδίᾳ τὸν ἐν ὕλῃ Θεὸν, καθ' ἣν ἂν θέλῃς μορφὴν, ἀνθρώπου, εἰκόνος, ἢ ἀγάλματος εἰκονίζοντος τὸν Θεὸν, τὸν ποιητὴν καὶ μέγαν ἡγεμόνα τοῦ

(1) Αὐτ. δίστ. 58—57.

παντὸς, καὶ εἰς τὸν εἰκονιζόμενον ἐν ὕλῃ Θεὸν προσκύνει τὸν ἄϋλον, τὸν νοερὸν, καὶ ἀΐδιον Θεὸν ἐξ ὅλης ψυχῆς καὶ διανοίας, καὶ τεύξῃ πάσης λυτρώσεως (1).

§. 19. *Περὶ ματαιότητος τῶν τοῦ* Κόσμου (2).

Ἐπειδὴ ὁ χρόνος τὰ πάντα δαμάζει καὶ φθείρει, ποῖόν ἐστι τὸ ἄκρον ἀγαθόν; καὶ τί ποιητέον πρὸς ἀπόλαυσιν αὐτοῦ;

Ὁ προσηλωμένος εἰς τὰ τοῦ Κόσμου, προσκολλᾶται εἰς πρόσκαιρα πράγματα, ἅπερ ἀφανίζει καὶ φθείρει ὁ χρόνος, καὶ ἢ αὐτὸς αὐτὰ, ἢ αὐτὰ αὐτὸν ταχέως ἀφίησι. Μόνη ἡ ἀρετή ἐστι χρῆμα ἀναπόσπαστον καὶ ἀΐδιον· αὐτὴν οὖν ἀσκῶν τις διὰ τῆς χαλιναγωγίας τῶν αἰσθήσεων, καὶ τῆς πρὸς πᾶν ἔμψυχον εὐσπλαγχνίας, φθάνει εἰς τὸ ἄκρον ἀγαθόν.

Τούτων οὕτως ἐχόντων, ὁ ἄνθρωπος, λέγουσιν οἱ σοφοὶ, ἐν μὲν τῇ παιδικῇ ἡλικίᾳ, παρθενικὸν διάγων βίον, μαθέτω τὰς ἱερὰς γραφὰς, πηγὴν σοφίας καὶ συνέσεως· ἀνὴρ δὲ γενόμενος, γημάτω γυναῖκα καὶ τεκνοποιησάτω, καὶ τὰ διατεταγμένα ποιήτω· ἐν δὲ τῇ γεροντικῇ ἡλικίᾳ, εἰς ἔρημον ἀναχωρησάτω, καὶ ὁσίως ζήτω.

Ὁ δὲ Βεάσας, παραδεχόμενος ταῦτα, προσθέτει διὰ τοῦ στόματος τοῦ Μεδδαβῆ τὰ ἑξῆς· Ἀναιρουμένου μὲν τοῦ Κόσμου ὑπὸ τοῦ πανδαμάτορος χρόνου, καὶ τοῦ ἀνθρώπου ὄντος περικυκλωμένου ὑπὸ τοῦ θανάτου, τοῦ γήρατος, καὶ ὑπὸ τῶν παθημάτων κατατηκομένου, οὐκ ἔξεστιν ἀναμένειν τὴν γερον-

(1) Αὐτ. δίστ. 58—67.

(2) Ἴδε Πρόδρομον Ἰνδικῶν μεταφράσεων, περὶ ματαιότητος τῶν τοῦ κόσμου, σελ. 35—62. καὶ Κεφ. ΙΑ΄. τοῦ παρόντος ποιήματος Περὶ ἀπαλλαγῆς τῶν τοῦ Κόσμου. καὶ Κεφάλαιον ΙϚ΄ περὶ ἀποστροφῆς τῶν τοῦ Κόσμου.

τικὴν ἡλικίαν, πρὸς ἄσκησιν τῆς ἀρετῆς. Ἂν ὁ ἄνθρωπος δὲν δύναται κατ' οὐδένα τρόπον ἵνα ἀποφύγῃ τὸν θάνατον, καὶ ἡ ὥρα αὐτοῦ ἐστιν ἀβέβαιος, πῶς οὖν ἀναμείνει μέχρι τῆς γεροντικῆς ἡλικίας; ἐν ᾧ πραγματικῶς ἐν ἑκάστῳ ἡμερονυκτίῳ βραχυτέρα ἡ ζωὴ γίνεται, καὶ κατὰ πᾶσαν στιγμὴν τὸ σῶμα φθείρεται; Πῶς οὖν ἐλπίσει ὁ ἄνθρωπος εἰς μακρότητα ἡμερῶν, ἐν ᾧ ἅμα τῇ γεννήσει παρακολουθεῖ τῷ ἀνθρώπῳ ὅ,τε θάνατος καὶ τὸ γῆρας, καὶ ἀμφοτέροις τούτοις ὑπόκεινται κινητὰ καὶ ἀκίνητα πάντα; Αἱ ἡμέραι τῆς ζωῆς, καὶ ἡ ζωὴ αὐτὴ παρέρχονται, ὡς τὰ ὕδατα τοῦ ποταμοῦ διέρχονται τὰς πεδιάδας, καὶ παρέρχονται. Τίς γεννηθεὶς οὐ τέθνηκε; Πῶς οὖν ἂν εἴη ἀσφαλὴς καὶ βέβαιος ὁ ἄνθρωπος; Μήπως ἡ νόσος, τὰ πάθη τοῦ σώματος ἢ ὁ θάνατος δίδουσι τὸν καιρὸν, ἢ περιμένουσι τὴν κτῆσιν τῆς ἀρετῆς; Ἐν ὅσῳ ἄρα ὁ ἄνθρωπος ἔχει δύναμιν, ἐργαζέτω τὴν ἀρετὴν, καὶ παῖς ὢν, καὶ γέρων ποιείτω τὰ τῆς ἀρετῆς. Ποῖον δὲ κτῆμα φέρει μεθ' ἑαυτοῦ ὁ ἄνθρωπος ἀποθνήσκων; Οὐδέν· μόνη ἡ ἀρετὴ, καὶ τὰ καλὰ, ἢ κακὰ ἔργα ἀκολουθοῦσι τῷ νεκρῷ. Καὶ τὸν μὲν πλοῦτον ὁ ἄνθρωπος ἀποθανὼν ἀφίησιν εἰς τὸν οἶκον· οἱ δὲ συγγενεῖς, οἱ οἰκεῖοι, ὁ πατὴρ, ὁ υἱὸς, ὁ ἀδελφὸς, ἡ μήτηρ, ἡ γυνὴ ἀκολουθοῦσι τὸν νεκρὸν μέχρι τοῦ κοιμητηρίου, καὶ ἐνταῦθα ἀφίνουσιν καὶ αὐτοὶ αὐτὸν καὶ οἴκαδε ἐπιστρέφουσι. Μόνη ἡ ἀρετὴ συμπορεύεται τῷ θανόντι, καὶ μόνη μετ' αὐτοῦ διαμένει. Διατί οὖν κοπιάζει ὁ ἄνθρωπος πρὸς κτῆσιν τῶν προσκαίρων ἀγαθῶν, ἅπερ ἀφίησι, καὶ ἀφίνουσι, καὶ οὐ κοπιάσει πρὸς κτῆσιν τῆς ἀρετῆς καὶ τῶν καλῶν ἔργων, ἅπερ οὔτε ἀφίησιν, οὔτε ἀφίνουσιν, ἀλλὰ συνακολουθοῦντα

μετ' αὐτοῦ διαμένουσι; Τὴν ἡμέραν οὖν καθ' ἣν ὁ ἄνθρωπος οὐδὲν ἀγαθὸν ἐποίησε, ταύτην νομιζέτω ἄγονον, ἄκαρπον, καὶ ἀνωφελῆ. Ποῖος εἶ, ὦ ἄνθρωπε; Πόθεν ἐλήλυθας; Διατί ἐλήλυθας; Ποῖ πορεύῃ; Ταῦτα ἀναλογιζόμενος, καὶ εἰς οὐδένα ἐλπίζων, πράττε τὰ τῆς ἀρετῆς, ἐπειδὴ ἐφήμερά εἰσι τὰ τοῦ κόσμου, καὶ αὐτὴ ἡ ζωή. Ἡ μὲν φθορὰ καὶ ὁ θάνατός εἰσιν ἄφευκτα· ἡ δὲ στιγμὴ τοῦ θανάτου βεβαία ἅμα καὶ ἄδηλος. Ὁ ἔμφρων μὴ φροντιζέτω περὶ τοῦ φθαρτοῦ καὶ φθειρομένου καθεκάστην σώματος, ἀλλ' ἐχέτω ἐπιμέλειαν περὶ τῆς ἀφθάρτου ψυχῆς. Καθότι ὁ μὲν πλοῦτος τοῦ σώματος, σὺν τῷ σώματι φθείρεται· ὁ δὲ πλοῦτος τῆς ψυχῆς, ἤτοι ἡ ἀρετή, ἐστι συναΐδιος τῇ ψυχῇ. Ὁ χρόνος ἀριθμεῖ τὰς ἡμέρας, τὰς ὥρας, καὶ τὰς στιγμὰς ὡς τοκογλύφος· ἀριθμησάτω καὶ ὁ ἄνθρωπος τὰς ἡμέρας, εἰς ἃς ἀγαθόν τι ἔπραξε, καὶ λογισάτω ἄγονον τὴν ἡμέραν, εἰς ἣν οὐδὲν ἀγαθὸν ἐποίησεν. Ὁ θάνατος καὶ τὸ γῆρας καταβιβρώσκουσι βασιλεῖς καὶ ἰδιώτας, πλουσίους καὶ πένητας· πάντες δ' ἀπέρχονται ἄνευ βασιλείας καὶ πλούτου· μόνη δ' ἡ ἀρετὴ διαμένει. Πράττε οὖν τὰ ἀγαθά· ἀλλ' ἄρξον ἀπὸ ταύτης τῆς στιγμῆς· ὅτι ἄδηλός ἐστιν ἡ ὥρα τοῦ θανάτου. Οὐαὶ τῆς ἀθλιότητος! Οὗτος πορευόμενος εἰς εὐωχίαν, αἴφνης ἀπέθανε! ἐκεῖνος, ὢν πρὸ μικροῦ ὑγιὴς, ἀπέθανε! Θρῆνος ἀκούεται πανταχοῦ ἐν ταύτῃ καὶ ἐν ἐκείνῃ τῇ οἰκίᾳ. Τίς δύναται εἰπεῖν· *Τοῦτο ποιήσω αὔριον*, ἐν ᾧ ἐν ἀδημονίᾳ ἀναμένει αὐτὸν ὁ θάνατος εἰς πᾶσαν στιγμήν; Ἂν ὁ ἄνθρωπος ἐθεώρει τὸν θάνατον πλησίον αὐτοῦ ἱστάμενον, οὐδὲ τὸ βρῶμα οὐκ ἂν ἀρέσειεν αὐτῷ, πολλῷ δὴ μᾶλλον τὸ ἀνοσιούργημα. Τίνι ἔσεται πεποίθησις εἰς τὰ τοῦ

Κόσμου, ὃς οἶδε τὰ μὲν εὐτυχήματα, ὡς ἐνύπνια· τὴν δὲ νεότητα, ὡς ἄνθος· τὴν δὲ ζωὴν, ὡς ὠκύθοον ἀστραπήν; Τὸ γῆρας, ἡ νόσος, τὰ δυστυχήματα, οἱ πόνοι, καὶ τὰ δεινά εἰσι φωναὶ τοῦ θανάτου. Ἄκουσον οὖν αὐτῶν· ἄφες τὰ πρόσκαιρα ἀγαθὰ τοῦ Κόσμου, πλήρη ὄντα θλίψεως καὶ μεταμελείας, καὶ κατάφυγε διὰ τῆς ἀρετῆς καὶ τῶν καλῶν ἔργων εἰς τὸν Θεὸν, τὸν πανταχοῦ παρόντα, τὸν πανταχῇ διοικοῦντα, τὸν νοητὸν, τὸν θεωρητὸν τοῖς θεωρητικοῖς, τὸν ὑπερτελῆ καὶ ἀειχαρῆ. Θεόφρων δὲ γενόμενος, λάτρευσον τὸν Θεὸν διὰ τῆς ἀπαθείας, τῆς ἱλαρότητος, τοῦ οἴκτου καὶ τῆς χαλιναγωγίας τῶν παθῶν. Οὕτω διὰ τῆς θεωρίας, καὶ τῆς νεκρώσεως τῶν αἰσθήσεων, θανατώσεις τὸν θάνατον, καὶ ἐν τοῖς κόλποις τοῦ ἀναλλοιώτου Θεοῦ τεύξῃ τῆς ἀϊδίου ὀλβιότητος. Τοῦτό ἐστι τὸ ἄκρον ἀγαθὸν, καὶ τοιαύτη ἡ πρὸς αὐτὸ φέρουσα ὁδός.

§. 20. *Περὶ συμβουλῆς.*

Τὸ κεφάλαιον τοῦτο συνέχεια, οὕτως εἰπεῖν, ἐστι τοῦ προλαβόντος· ὁ δὲ λόγος προτρεπτικός ἐστι πρὸς ἀρετήν.

Ὁ θεῖος Βεάσας ἐσυμβούλευσε τὸν υἱὸν αὐτοῦ Σοῦκαν οὕτως· « Ἀσπάζου, ὦ υἱὲ, τὴν ἀρετὴν, νικητὴς ὢν ἀεὶ τῶν παθῶν τῶν αἰσθήσεων, τοῦ ψύχους καὶ καύματος, τῆς δίψης καὶ πείνης, τοῦ θυμοῦ, τῆς λύπης, καὶ τοῦ ἄλγους. Τίς νουνεχὴς προτιμᾷ τὴν ἐφήμερον ἡδονὴν, τὴν τῆς αἰωνίου τιμωρίας; Ἡ ἀρετή ἐστιν ἡ ἀληθινὴ ἀγαλλίασις· αὐτὴ μόνη ἐστὶ τὸ ἀχώριστον κτῆμα τῆς ψυχῆς· αὐτὴ μόνη παρακολουθεῖ τῷ θανόντι· πάντα δὲ τὰ λεγόμενα ἀγαθὰ τοῦ

Κόσμου τούτου φθείρονται σὺν τῷ σώματι. Οἱ φίλοι, οἱ συγγενεῖς, οἱ οἰκεῖοι, συνοδεύουσι τὸν νεκρὸν μέχρι τοῦ τάφου. Καὶ ὁ μὲν νεκρὸς ἀφίησι τὸν πλοῦτον καὶ τὰ λοιπὰ ἀγαθὰ ἐν τῇ οἰκίᾳ αὐτοῦ· οἱ δὲ συγγενεῖς ἐγκαταλείπουσιν αὐτὸν ἐν τῷ κοιμητηρίῳ. Μόνη ἡ ἀρετὴ καὶ ὅσα καλὰ ἔργα ἔπραξεν ἐν τῷ βίῳ συνοδεύουσι τὸν νεκρὸν, καὶ μετ' αὐτοῦ διαμένουσιν. Αὐτὴ οὖν καὶ αὐτά εἰσιν οἱ τοῦ ἀποβιώσαντος συγγενεῖς, καὶ φίλοι· ὅτι ἐν τῷ μέλλοντι βίῳ οὐ παρίσταται εἰς βοήθειαν ὁ πατὴρ, ἡ μήτηρ, ὁ υἱὸς, ἡ γυνὴ καὶ ὁ ἀδελφός· μόνη δὲ παρίσταται ἡ ἀρετή. Ὁ δὲ ἐνάρετος, βιώσας ἐν εἰρήνῃ καὶ ἄνευ ἐλέγχου τῆς συνειδήσεως, τυγχάνει καὶ μετὰ θάνατον τῆς αἰωνίου μακαριότητος. Ταῦτα φρονοῦσι καὶ ἀδιστάκτως πιστεύουσιν οἱ σοφοὶ, καὶ ὅσιοι ἄνδρες, καὶ αὐτὰ διδάσκουσιν αἱ θεῖαι ἡμῶν γραφαί.

Διπλῆ, ἢ μᾶλλον τριπλῆ ἐστιν ἡ ὁδὸς τοῦ βίου· ἡ μὲν φέρει τὸν ἡδυπαθῆ εἰς τὰς ἡδονὰς τῆς σαρκὸς, καὶ εἰς τὴν τρυφὴν, ἧς τὸ πέρας ἐστὶ μεταμέλεια καὶ κόλασις. Ἡ δὲ, εἰς τὴν ἀρετὴν, καὶ τὴν πρᾶξιν τῶν καλῶν ἔργων, δι' ὧν ζῇ μὲν ὁ ἔμφρων ἐνταῦθα εἰρηνικῶς· φθάνει δὲ καὶ μετὰ θάνατον εἰς τὸν παράδεισον τοῦ Ἴνδρα, ἐξ οὗ μετά τινα χρόνον μετενσωματοῦται, καὶ πάλιν εἰς τὸν πολυώδυνον τοῦτον βίον κατέρχεται. Ἡ δὲ τρίτη, ἣν ὁδεύουσι μόνοι οἱ ἐκλεκτοὶ καὶ θεόφρονες, φέρει διὰ τῆς ἀπαθείας καὶ τῆς ἐντόνου θεωρίας, εἰς τὸν ὕψιστον χῶρον, ἔνθα μετὰ τοῦ ἀχράντου Θείου ἀϊδίως ἑνοῦται. Ἄφες οὖν, ὦ υἱὲ, τὴν πρώτην· ἐναγκαλίσθητι τὴν δευτέραν, ἵνα φθάσῃς εἰς τὴν τρί-

την· ἄλλως, εἰς τὰ βάθη τοῦ σκοτεινοῦ ᾅδου καταπέσῃς. Μόνη ἡ ἀρετὴ καὶ ἡ θεοφροσύνη ἐστὶν ἡ κλίμαξ, ἡ ἀπὸ γῆς εἰς οὐρανὸν φέρουσα. Περιφρόνησον τὰς ἡδονάς, αἵτινες πολλὰ ἐπιφέρουσι δεινὰ ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι βίῳ. Κτῆσον ἀρετήν, καὶ τεύξῃ τοῦ οὐρανοῦ· οὐδὲ πρᾶξιν κακὴν ποιήσεις, οὐδὲ λέξιν αἰσχρὰν ἐκφωνήσεις, οὐδ' ἔννοιαν πονηρὰν ἐννοήσεις ἐναντίον τῆς ἀρετῆς. Οἱ μὲν κοινοὶ τῶν ἀνθρώπων γεννῶνται ἵν' ἀποθάνωσι, καὶ ἀποθνήσκοντες πάλιν γεννῶνται· οἱ δὲ ἔμφρονες καὶ ἐκλεκτοί, ἵνα κτήσωσιν ἀρετὴν καὶ δι' αὐτῆς τὴν ἀθανασίαν. Διατί οὖν, ὦ ἄνθρωπε, χάριν τῆς πλεονεξίας καὶ τῆς ἡδονῆς, ἀναβάλλεις τὸν καιρὸν τῆς ἀρετῆς; Αἱ ἡμέραι ἡμῶν παρερχόμεναι, εἰσὶ τμήματα προπίπτοντα τῆς ζωῆς, ἥτις κατατέμνεται καθεκάστην ἡμέραν ὑπὸ τοῦ θανάτου! Τίς γεννηθεὶς οὐκ ἀπέθανε; Διατί οὖν ἀπράγμων καὶ ἀφροντίστως ὁδεύεις τὴν ὁδὸν τῆς ζωῆς; διατί κοπιάζεις πρὸς κτῆσιν πλούτου, ὃν ἀποθνήσκων ἐγκαταλείψεις; Οὐδεὶς ἀκολουθήσει σοι ἀπερχομένῳ. Μόνος δεῖ σοι πορευθῆναι, παραλαβόντι μετὰ σοῦ πᾶν ὅ,τι ἀγαθὸν, ἢ κακὸν ἔπραξας ἐν τῷ βίῳ, ὅπως λάβῃς τὸν καρπὸν τῶν ἰδίων ἔργων. Χιλιάκις εἶπόν σοι, ὦ τέκνον, καὶ λέγω· ἐργάζου τὰ τῆς ἀρετῆς ἐπιμελῶς· πρόσκαιρος γὰρ ἡ ζωὴ, καὶ τὰ τοῦ Κόσμου πράγματα. Μιᾶς δ' ἡμέρας παρελθούσης ἄνευ ἀγαθοεργίας, δεῖ τῷ ἀνθρώπῳ ἐλεεινολογεῖν· διότι ἡ πρᾶξις τῆς ἀρετῆς ὁδηγεῖ τὸν ἄνθρωπον εἰς τὴν θεοφροσύνην, καὶ αὐτὴ εἰς τὴν ἀθανασίαν, ἥτις κτᾶται διὰ τῆς χαλιναγωγίας τῶν αἰσθήσεων, τῆς ἀπαθείας, τῆς γνώσεως τῶν ὄντων. Ταῦτα πάντα ὁδηγοῦσιν εἰς τὴν θεωρίαν αὐτοῦ

τοῦ ὑψίστου Θείου ὅπερ ἐστὶ τὸ ἄκρον ἐφετὸν, καὶ ὁ σκοπὸς τῆς ἐπὶ γῆς ὑπάρξεως. Ὅτε δὲ ὁ ἄνθρωπος, ἀπαθὴς ὢν καὶ ἐγκρατὴς, χωρίσει ἑαυτὸν ἀπὸ τῆς φλυαρίας τῆς σαρκὸς, καὶ καθαρὸς πλησιάσει εἰς τὸν Θεὸν, ἑνώνει τὴν οὐσίαν αὐτοῦ μετὰ τοῦ Θεοῦ, καὶ ἀποκτᾷ τὴν θεοκρασίαν, γενόμενος ἀληθὴς θεωρητικὸς καὶ θεόφρων.

Αἱ συμβουλαὶ τοῦ Βεάσα εἰσὶν ὑψηλαὶ, ἠθικαὶ, καὶ πλήρεις ἀληθείας· πολλὴν δὲ τὴν ὁμοιότητα ἔχουσιν ὡς πρὸς τὰς παροιμίας τοῦ Σολομῶντος, αἵτινες συμβουλαὶ καὶ αὐταί εἰσι πρὸς τὸν ἑαυτοῦ υἱόν. « Μὴ σὲ πλανήσωσιν, λέγει, ἄνδρες ἀσεβεῖς, ὦ υἱέ, μηδὲ βουληθῇς, ἐὰν παρακαλέσωσί σε λέγοντες· ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος κτλ. Ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐν ἐλπίδι, καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ... Υἱὲ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς κρύψῃς παρὰ σεαυτῷ, ὑπακούσεται σοφίας τὸ οὖς σου, καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν... Τότε συνήσεις φόβον Κυρίου, καὶ ἐπίγνωσιν Θεοῦ εὑρήσεις... Υἱὲ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου... γράψον δὲ αὐτὰς ἐπὶ πλακὸς τῆς καρδίας σου. Φοβοῦ δὲ τὸν Θεὸν, καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ κτλ. » (1).

---

(1) Παροιμίαι Σολομῶντος.

§. 21. *Περὶ ἐλεημοσύνης, ἤτοι γεωδοσίας.* — 22. *Βοοδοσίας.* — 23. *Τροφοδοσίας.* — 24. *Σησαμοδοσίας.* — 25. *Καὶ περὶ δόσεως ἢ ἐλεημοσύνης ἐξ οἰκείου κτήματος καὶ μὴ ἀλλοτρίου.*

Ἐν τοῖς πέντε τούτοις Κεφαλαίοις συμβουλεύει ὁ ποιητὴς τὰ διάφορα εἴδη τῆς ἐλεημοσύνης ἢ δόσεως, κατὰ τὴν ἐντολὴν τῶν Βεδῶν· ἐπειδὴ δὲ οὐσιωδῶς εἰσιν ὅμοια, ἥνωσα αὐτὰ, χάριν συντομίας, ἑρμηνεύων τὸ πνεῦμα τῆς ἠθικῆς αὐτῶν διδασκαλίας. Καθότι « Ὁ δοὺς γῆν, δίδει, λέγει, εἰς τὸν ἐνδεῆ χρυσὸν, ἱμάτια πολυειδῆ, καρποὺς, καὶ πᾶν ἀγαθόν. » Ἕπεται κατὰ δεύτερον λόγον ἡ βοοδοσία· καθότι ὁ δοὺς γῆν εἰς πτωχὸν, καὶ ζεῦγος βοῶν, ἢ δάμαλιν, εὐποιεῖ καὶ περιθάλπει πᾶσαν τὴν πάσχουσαν τοῦ ἐνδεοῦς οἰκογένειαν. Κατὰ τρίτον λόγον ἕπεται ἡ τροφοδοσία· καθότι διὰ τῆς τροφῆς διατηρεῖται ἡ ζωὴ τοῦ ἀνθρώπου, καὶ πᾶσα ψυχὴ ζῶσα τὸ εἶναι ἔχει· ὥστε ὁ τροφοδότης ἐστὶ ζωοδότης. « Ὁ δίδων, λέγει, τροφὴν τοῖς πτωχοῖς καὶ ξένοις πορεύεται εἰς τὸν παράδεισον (1)· καθότι ἡ ἐλεημοσύνη ἐξαλείφει πάντα τὰ ἁμαρτήματα. » Ἐπειδὴ δὲ ἱερὰ τροφὴ παρ' Ἰνδοῖς θεωρεῖται ἡ σήσαμος, διὰ τοῦτο ἡ σησαμοδοσία ἐστὶν ἀρίστη ἐλεημοσύνη, ἀπαλλακτικὴ τῶν ἁμαρτιῶν, καθαρτικὴ, καὶ τοῦ οὐρανοῦ πρόξενος.

Βραχμάν τις τελέσας θυσίαν παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ, οἴκαδε ἐπανέκαμψε· τὸν δὲ υἱὸν ἔπεμψεν ἵνα τὴν

(1) Ὁ ἐλεῶν πτωχῷ δανείζει Θεῷ.

ἐγκαταληφθεῖσαν ὑδρίαν κομίσῃ· ὁ δὲ πορευθεὶς οὐχ εὗρεν. Ὁ οὖν πατὴρ θυμωθεὶς κατηράσατο τοῦ παιδὸς, εἰπών· « ἰδὲ τὸν Ἰάμαν» (τὸν Πλούτωνα ἢ θεὸν τοῦ ᾅδου). Καὶ ὁ μὲν παῖς ἔπεσεν εὐθέως νεκρός· ὁ δὲ πατὴρ μεταμεληθεὶς ἐθρήνει. Ἀλλὰ μετ' οὐ πολὺ ὁ υἱὸς ὡς ἐξ ὕπνου ἀνέστη· ὁ δὲ πατὴρ χαρεὶς ἠρώτησεν αὐτὸν, ἐὰν ἴδε τὸν Ἰάμαν. « Κατὰ τὴν σὴν προσταγὴν, ἀπήντησε, πορευθεὶς εἶδον τὸν θεὸν τοῦ ᾅδου, ὅς με διέταξεν ἵνα ἐπανακάμψω πάλιν εἰς τὴν γῆν. Ἐγὼ δὲ δεηθεὶς παρεκάλεσα αὐτὸν ἵνα μοὶ δείξῃ τὰς διαφόρους μονὰς τῶν ἐλεημόνων· ὁ δὲ ἀναβιβάσας με ἐπὶ φορείου, ἔδειξέ μοι χώρας τερπνὰς, οἰκήματα λαμπρὰ καὶ χρυσᾶ, ὑπερφυῆ φορεῖα, διοικούμενα παρὰ θείων νυμφῶν, καὶ ποταμοὺς ῥέοντας μέλι, γάλα, βούτυρον, κτλ. Αὐταὶ, εἶπεν, εἰσὶν αἱ μοναὶ τοῦ Γεωδότου, τοῦ Βοοδότου, καὶ τῶν ἐλεημόνων ἐν γένει. Ταῦτα ἰδὼν, ὦ πάτερ, ἐπανῆλθον πρὸς σέ. »

Διὰ τοιούτων διηγημάτων προτρέπουσιν αἱ Βέδαι καὶ οἱ Βραχμᾶνες τὸν λαὸν εἰς τὴν ἐλεημοσύνην καὶ τὴν λοιπὴν πᾶσαν ἀρετήν. Συμβαίνει δὲ καὶ ἐνταῦθα, ὅ,τι εἰς πάντα τὰ θεοκρακτικὰ κράτη, ἔνθα ἡ θρησκεία καὶ οἱ πολιτικοὶ θεσμοί εἰσιν οὐσιωδῶς ἡνωμένοι, ἢ μᾶλλον εἰπεῖν οἱ δεύτεροι ἐξαρτῶνται ἀπὸ τῆς πρώτης. Οἱ Βραχμᾶνες, ὡς λειτουργοὶ καὶ ὑπουργοὶ τοῦ Θεοῦ, εἰσιν οἱ ἰσχυρότεροι πάντων, καὶ τὰ πάντα στρέφουσι πρὸς ὄφελος ἑαυτῶν καὶ τῆς ἱερατικῆς αὐτῶν τάξεως. « Ὅστις τιμᾷν ἐμὲ θέλει (λέγει ὁ Βισνοῦς) ἄκρᾳ εὐλαβείᾳ, οὗτος τιμάτω ἀεὶ τοὺς Βραχμᾶνας· » ὁ δὲ τἀναντία φρονῶν· « οὐκ ἔστι, λέγει, ἡμέτερος, καὶ

ἄξιός ἐστιν ἀναιρεθῆναι καὶ παιδευθῆναι (1). » Κατὰ συνέπειαν τούτου, « Δοτέα, λέγει, Δάμαλις νέα, καλὴ, μετὰ μόσχου Βραχμᾶνι πτωχῷ. Καὶ, ὁ δοὺς Βραχμᾶνι γῆν καρποφόρον, πάντα τὰ ἐν οὐρανῷ ἀγαθὰ ἀπολαμβάνει (2). Κἂν μέγα κακούργημα πράξῃ ὁ ἄνθρωπος, δίδων γῆν Βραχμᾶνι ἀπαλλάττεται τοῦ ἁμαρτήματος (3). Χρέος τοῦ Βασιλέως ἐστὶ τὸ διδόναι γῆν τοῖς Βραχμᾶσι. Οἱ βασιλεῖς οἱ κακὰ πράττοντες, καὶ κακὰ διανοούμενοι, δόντες γῆν τοῖς Βραχμᾶσιν, ἀπαλλάττονται πάντων αὐτῶν τῶν ἁμαρτημάτων κτλ. (4). Προσθέτουσιν ὅμως τὸ· « οὐδέποτε γῆ δοτέα Βραχμᾶνι ἀσυνέτῳ, μικροπρεπεῖ, ἀμυήτῳ τῶν τῆς Βέδας, ἀμαθεῖ, καὶ ἐναγεῖ (5). Σίτιζε ἀεὶ σεμνὸν Βραχμᾶνα, ὅστις ποτ' ἂν ᾖ. » Τοιαῦτά εἰσι τὰ ὑπὲρ τοῦ Βραχμανικοῦ τάγματος παραγγέλματα αὐτῶν τῶν ἰδίων Βραχμάνων· κατ' εὐτυχίαν ὅμως πλησίον τῆς τοιαύτης διδασκαλίας, παρατηροῦνται ἀρχαὶ ὑψηλῆς ἠθικῆς. « Ὁ Θεὸς, λέγουσιν οὗτοι, ἐμφωλεύει ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου· ὅταν οὖν παρουσιάζεται εἰς σὲ ξένος πτωχὸς, ἀσθενὴς, ἢ ἐπαίτης, καὶ παρὰ σοῦ ζητεῖ βοήθειαν, νόμιζε, ὅτι αὐτὸς ὁ Θεὸς ἔρχεται πρὸς σὲ ὑπὸ τὴν μορφὴν τοῦ ξένου καὶ ἐνδεοῦς· μηδέποτε οὖν ἀποβάλῃς αὐτὸν ἄνευ βοηθείας, περιθάλψεως καὶ εὐπροσηγορίας. »

---

(1) Κεφ. λ'. δίστ. 143—144.

(2) Κεφ. λά. σελ. 159 δίστ. 14—15—16.

(3) Αὐτ. δίστ. 20—21—24—27.

(4) Αὐτ. δίστ. 34.

(5) Αὐτ. δίστ. 31.

«Ἡ δὲ ἐλεημοσύνη τότε ἐστὶ τελεία ἀρετὴ, ὅταν ὁ ἐλεῶν δίδει οὐ μόνον ἄνεσιν, τροφὴν, ὕδωρ, ἐνδύματα, ἢ ἀργύριον πρὸς τὸν ἐνδεῆ, ἀλλὰ καὶ λόγους ἡδεῖς, δεικνύων πρὸς αὐτὸν φιλοφροσύνην, πρᾶον καὶ περιχαρὲς πρόσωπον. Καθότι ὁ γλυκὺς λόγος καὶ ἡ εὐπροσηγορία εὐχαριςοῦσι περισσότερον τὸν πτωχὸν, παρὰ τὰ πλούσια δῶρα, μετὰ θυμοῦ καὶ ἀγανακτήσεως διδόμενα. Ἡ μετ' ἐπιεικείας ἐλεημοσύνη ἐςὶν εὐάρεςος τῷ Θεῷ (1).»

Ἀλλ' ἂν ἡ ἐλεημοσύνη ἐστὶ μεγίστη ἀρετὴ, δῆλον, ὅτι ὀφείλει ἕκαςος ἵνα ἐκτελῇ ἐξ οἰκείου κτήματος αὐτὴν καὶ οὐχὶ ἐξ ἀλλοτρίου· διότι» ὁ ἁρπάζων, λέγει τὸ ἱερὸν λόγιον, ἀλλότριον κτῆμα, δίδει τῷ πτωχῷ, πορεύεται εἰς τὸν σκοτεινὸν ᾄδην. Ὁ τοιοῦτος ἀδικεῖ καὶ ἑαυτόν. καὶ τὸν στερηθέντα, καὶ τὸν λαμβάνοντα, Ὁ ἐλεήμων δότω ἄρτον, ὕδωρ, γάλα, καὶ ἐν ἐλλείψει τούτων, λόγους ἡδεῖς· δότω δ' ἐν καθαρᾷ καρδίᾳ φιλανθρώπως καὶ εὐσεβῶς· οὕτω τεύξεται ὁ ἐλεήμων πάντων τῶν ἀγαθῶν καὶ ἐν τῷ παρόντι, καὶ ἐν τῷ μέλλοντι βίῳ.»

Ἐν τῷ Κεφαλαίῳ τῆς σησαμοδοσίας ἐπιφέρει ὁ ποιητὴς περίεργόν τινα μῦθον. Ὁ Θεὸς τοῦ ᾄδου Ἰάμας ἔπεμψεν, λέγει, τὸν διάκονον ἵνα κομίσῃ εἰς τὸν ᾄδην Βραχμᾶνά τινα, καλούμενον Σαρμήλαν. Ὁ μὲν Ἄγγελος πορευθεὶς ἔφερεν ἄλλον, ἀντ' ἄλλου· ὁ δὲ ὁ Ἰάμας, ἰδὼν αὐτὸν εἶπε· «Πορεύθητι εὐθέως εἰς τὸν σὸν οἶκον· οὐδένα γὰρ φέρω ἐνθάδε ἔξω τοῦ ὡρισμένου χρόνου. » Ὁ δὲ Βραχμὰν, πρὶν ἀνέλθῃ εἰς τὴν γῆν, ἠρώτησε τὸν Θεόν· « Τί πράξας ἐν τῷ βίῳ ὁ ἄνθρωπος μεγάλην ἀρετὴν ἐργάσεται;

« Εἰς μάτην, ἀπήντησεν ὁ Ἰάμας, φοβεῖται ὁ ἄνθρωπος

(1) Κεφ. κγ'. ςίχ. 13—16—17—20—21.

ακούων τὸ ὄνομά μου *Ἰάμας*, ἤγουν *κολαστὴς ἢ τιμωρός*· ὅστις δαμάζει τὰ ἑαυτοῦ πάθη, οὗτος δαμαστὴς ἑαυτοῦ καὶ ἀληθὴς ἐγκρατής ἐστι. Δύο εἰσὶ τὰ εἴδη τῆς ἐγκρατείας, ἐσωτερική, καὶ ἐξωτερική. Καὶ ἡ μὲν ἐσωτερικὴ ἐγκράτεια δεκαειδής ἐστιν, ἤτοι ἡ ἀγαθότης, ἡ ὑπομονή, ἡ εἰλικρίνεια, ἡ εὐσπλαγχνία, ἡ ταπείνωσις, ἡ εὐθύτης, ἡ δόσις, ἡ ἱλαρότης, ἡ ἡδύτης, καὶ ἡ ἀποχὴ ἀλλοτρίου πράγματος. Δεκαειδὴς δὲ καὶ ἡ ἐξωτερική ἐστιν· ἡ καθαριότης, ἡ σπουδή, ἡ ἄσκησις, ἡ ἀλήθεια, ἡ περὶ τὴν Βέδαν γύμνασις, ἡ σωφροσύνη, ἡ μετριοφαγία, ἡ νηστεία, ἡ ἐχεμυθία, καὶ τὸ λουτρόν. Ὅστις οὖν οὕτω δαμάζει ἑαυτόν, πορεύεται εἰς τὴν χώραν τοῦ Βισνοῦ, ἄνευ τοῦ ἰδεῖν με ἐν τῷ ᾄδῃ.»

«Ἄκουσον δὲ καὶ ἄλλην μυστικὴν ἀρετήν. Τὸ σήσαμον ἐγένετο ἐκ τοῦ στόματος τοῦ γενεσιάρχου Κασσέπα· ἐπειδὴ δὲ θείαν ἔχει φύσιν, διὰ τοῦτο καὶ ἁγνιστικόν ἐστι. Ὅστις οὖν, τιμῶν τὴν σήσαμον, ἐσθίει σήσαμον, καὶ δίδωσι σήσαμον Βραχμᾶνι ὁσίῳ, θεωρῶν ἐν νοῒ τὸν Θεόν, οὗτος οὐκ ἔρχεται εἰς τὸν πολύοχλον τοῦτον ᾄδην. Ἀεὶ τοίνυν διδόσθω σήσαμον, ὡς δύναμις· ἐκ γὰρ τῆς σησαμοδοσίας πάντων τῶν ἐφετῶν ἀπολαύουσιν οἱ ἄνθρωποι. Ὅστις ποιεῖ, ἐπίσης, οἰκητήριον ἀναπαυτικόν, ἀνορύττει φρέατα καὶ λίμνας, καὶ ποτιστήρια καὶ βρύσας κατασκευάζει εἰς ἄνεσιν τῶν ἀνθρώπων, πορεύεται εἰς τὸν οὐρανόν, καὶ οὐδέποτε κατέρχεται εἰς τὸν ᾄδην. Ὅστις δίδωσιν, ἐν ἑνὶ λόγῳ, σήσαμον, χρυσίον, ὕδωρ, βρῶμα, οἴκημα, ἐνδύματα, κτλ. τῷ ἐνδεεῖ, καὶ εὐσεβεῖ Βραχμᾶνι, οὗτος πορεύεται κατ᾽ εὐθεῖαν εἰς τὸν οὐρανόν.»

§. 26. Περὶ οἰκήσεως μετὰ ἀγαθῶν ἀνδρῶν.

Ὠφέλεια μεγίστη προσγίνεται τῷ ἀνθρώπῳ, νέῳ ἢ γέροντι, ἐκ τῆς συνομιλίας καὶ τῆς συναναστροφῆς μετὰ ἐναρέτων καὶ ὁσίων ἀνδρῶν. «Ὁ ὅσιος, λέγουσι, Σεβάνας, ἀσκῶν μεγάλην ἀρετὴν, διέτριβεν ἐν ποταμῷ. Ἁλιεῖς δέ τινες, ῥίψαντες τὸ δύκτιον ἐξήγαγον αὐτὸν σὺν τοῖς ἰχθύσιν· καὶ οἱ μὲν ἀποροῦντες ᾔτουν συγνώμην· ὁ δὲ ὅσιος, «ῥίψατε, εἶπε, τοὺς ἰχθύας εἰς τὸ ὕδωρ, καὶ λάβετε ἐμὲ ἀντ᾽ αὐτῶν.» Ἀλλ᾽ ἵνα μὴ βλάψῃ καὶ τοὺς ἁλιεῖς, εἶπε πρὸς αὐτούς· «Ἀναγγείλλατε τῷ βασιλεῖ· οὗτος δώσει ὑμῖν τὸ ἀντάλλαγμα.» Ὁ οὖν βασιλεὺς προσκυνήσας τὸν ὅσιον διέταξε τὴν διὰ χρημάτων πληρωμὴν αὐτοῦ τε καὶ τῶν ἰχθύων· ὁ δὲ ὅσιος εἶπεν, ὅτι οὔτε αὐτὰ τὰ χρήματα, οὔτε πλείονα τούτων εἰσὶν ἱκανὰ πληρῶσαι τὴν τιμήν. Ὁ δὲ βασιλεὺς ἀνιώμενος ἠρώτησεν ἕτερον ἀσκητὴν περὶ τοῦ πρακτέου· ὁ δὲ, «δοθήτω, εἶπε βοῦς· αὕτη γάρ ἐστιν ἀνεκτίμητος, ἱερὰ, μήτηρ, καὶ τροφὸς τῶν ἀνθρώπων.» Οὕτως ὁ μὲν Βασιλεὺς ἔδωκε τοῖς ἁλιεῦσι βοῦν· ὁ δὲ ὅσιος ἐλευθερωθεὶς ηὐλόγησε τὸν ἡγεμόνα, εἰπών· «Ἔστω σοι γνώμη στερεὰ καὶ ἀμετράτρεπτος εἰς ἀρετήν.» Ὥςε ἡ παρουσία τοῦ ὁσίου ἔσωσε τοὺς ἰχθύας, ὠφέλησε τοὺς ἁλιεῖς, καὶ φιλάρετον τὸν βασιλέα ἐποίησε.

§. 27. Περὶ νοερῶν ἁγιασμάτων.

Ὁ ποιητὴς ὡμίλησεν ἐν τῷ ς΄. Κεφαλαίῳ περὶ τῆς ἁγιότητος τοῦ Γάγγου ποταμοῦ, καὶ ἐν τῷ σχολίῳ ἠρίθ-

μησά τινα ἐκ τῶν πολλῶν ἁγιασμάτων τῶν Ἰνδῶν. Ἐνταῦθα δ᾽ ὁ λόγος ἐστὶ περὶ νοερῶν ἁγιασμάτων.

Ποῖα ὀνομάζονται νοερὰ ἁγιάσματα, ἠρώτησεν ὁ Βασιλεὺς Ζανάκας τὸν ὅσιον Ῥογκάσσαν;

«Ἁγίασμα νοερόν ἐστιν ἡ εὐσέβεια καὶ ἡ γνῶσις τῶν ὄντων, ἡ τῶν αἰσθήσεων χαλιναγωγία, ἡ ὑπομονὴ, ἡ εὐθύτης, καὶ ἡ πρὸς πάντα τὰ ἔμψυχα εὐσπλαγχνία. Ἁγίασμα νοερόν ἐστιν ἡ ἐλεημοσύνη καὶ ἡ φιλοξενία· τὸ ἀπέχεσθαι ἀπὸ πάσης ἀδικίας, καὶ μίσους. Πάντων δὲ τῶν ἁγιασμάτων ἁγιώτερόν ἐστιν ἡ καθαρὰ καρδία. Ὁ λούων τὸ ἑαυτοῦ σῶμα οὐ καθαρίζεται· διότι ὁ ῥύπος τῆς ψυχῆς δὲν ἐξαλείφεται διὰ τοῦ σωματικοῦ λουτροῦ. Ὁ δὲ λουόμενος ἐν τῇ ἀρετῇ, τῇ ἐγκρατείᾳ, καὶ τῇ καθαρότητι τῆς καρδίας αὐτοῦ, ὁ εὐσεβὴς καὶ δίκαιος, ὁ ἐν θεωρίᾳ καὶ θεογνωσίᾳ διάγων, οὗτος ἡγιασμένος ἐστὶ, καὶ τὸν τόπον ἔνθα εὑρίσκεται ἁγιάζει. Καθότι ὅπου εἰσὶν εὐσεβεῖς καὶ ἐνάρετοι ἄνδρες, ἐκεῖ ἐστι καὶ ὁ Θεὸς, καὶ ὁ τόπος ἅγιός ἐστιν· ὅλα δὲ τὰ ἐπὶ γῆς ἁγιάσματα οὐδέν εἰσι, ἐὰν μὴ ᾖ καθαρὰ ἡ καρδία.»

Εἰς τὸ ἕκτον Κεφάλαιον τῆς παρούσης πραγματείας ἐνησχολήθη, ὡς ἐῤῥέθη, ὁ ποιητὴς περὶ τῆς ἁγιότητος τοῦ Γάγγου ποταμοῦ, καὶ ἐκ τῆς περὶ τούτου ἐρωτήσεως ὁρμώμενος ὁ αἰθεροβάτης ἀσκητὴς, ὁ τὴν ὅλην περιελθὼν γῆν, εἶπεν· «ἐκεῖναι αἱ χῶραι, ἐκεῖναι αἱ πόλεις, ἐκεῖνα τὰ ὄρη, καὶ ἐκεῖνα τὰ ἐρημικὰ ἀσκητήρια ἁγιαστικά εἰσιν, ὧν μέσον διαῤῥεῖ ὁ Γάγγης, ὁ ἄριστος τῶν ποταμῶν·» Τὸ δὲ ἀναρίθμητον πλῆθος τῶν θεῶν καὶ θεοτήτων τῆς ἀνεξιχνιάστου Ἰνδικῆς

μυθολογίας, καὶ ἡ παρουσία ἢ ἡ ἐμφάνισις αὐτῶν εἰς τὰ διάφορα μέρη, ὄρη καὶ πεδιάδας, ποταμοὺς καὶ πηγὰς, λίμνας καὶ ῥύακας, δάση καὶ λειμῶνας, κτλ. πανταχοῦ, λέγω, ἔνθα διέτριψεν ἢ ἀνεφάνη θεός τις ἢ θεὰ, καὶ τὸν τόπον ἐκεῖνον διὰ τῆς παρουσίας αὐτοῦ ἡγίασε, καὶ ὁ τόπος ἐκεῖνος ἅγιος νομίζεται. Ηὔξησεν ἔτι μᾶλλον ὁ ἀριθμὸς τῶν ἁγίων τούτων τόπων ἕνεκα τῆς παρουσίας καὶ διατριβῆς τῶν ὁσίων ἀσκητῶν, ἀναχωρητῶν, καὶ τῶν θείων Βραχμάνων, οἵτινες διὰ τῆς μελέτης τῆς Βέδας, τῆς ἐγκρατείας καὶ τῆς θεωρίας, ἔφθασαν εἰς τὸ ἄκρον τῆς ἀρετῆς καὶ τῆς γνώσεως. Οἱ τόποι οὗτοι ἐθεωροῦντο καὶ θεωροῦνται ἔτι καὶ νῦν παρὰ τῶν Ἰνδῶν ὡς ἱερὰ προσκυνητήρια. Ἡ περιήγησις ἑπομένως τῶν βασιλέων καὶ ἡγεμόνων, τῶν ἡρώων καὶ ἐνδόξων ἀνδρῶν εἰς τὰ ἱερὰ ταῦτα καταγώγια ἐνομίζετο παρὰ πάντων ὡς ἀναγκαία, σωτήριος, καὶ ψυχωφελής (1). Ἕνεκα τούτου οἱ ἥρωες τῆς Ῥαμαϊάνας, τῆς Μαχαβαράτας, καὶ τῶν ἄλλων ποιημάτων, πρὸ τῆς ἐνάρξεως τῶν λαμπρῶν ἔργων καὶ ἡρωϊκῶν κατορθωμάτων αὐτῶν, ἐπορεύοντο εἰς προσκύνησιν τῶν ἁγίων τούτων τόπων.

Ἀλλὰ τὰ ἱερὰ ταῦτα καταγώγια ἦσαν τὰ φυσικὰ οὕτως εἰπεῖν, ἁγιάσματα, καὶ οἱ εἰς αὐτὰ προσερχόμενοι ἡγιάζοντο λουόμενοι, προσκυνοῦντες, καὶ τὰ ἱερὰ παραγγέλματα τῶν Βεδῶν παρὰ τῶν Βραχμάνων καὶ ἀσκητῶν διδασκόμενοι.

Ἡ ὕλη ἑπομένως τοῦ παρόντος οὐσιωδῶς διαφέρει τῆς τοῦ ἕκτου Κεφαλαίου. Ἐκεῖ διεπραγματεύθη περὶ τῆς ἁγιό-

(1) Ὡς συμβαίνει καὶ εἰς τοὺς καθ' ἡμᾶς χρόνους.

τητος τοῦ Γάγγου ποταμοῦ, καὶ τῶν ἱερῶν καὶ φυσικῶν καταγωγίων· ἐνταῦθα ἐνασχολεῖται περὶ νοερῶν ἁγιασμάτων. Ἐκεῖ ὁ βουλόμενος ἁγιασθῆναι περιήρχετο τὴν Ἰνδικὴν πᾶσαν· ἐνταῦθα τὸ ἁγίασμά ἐστιν ἡ τοῦ ἀνθρώπου καρδία, καὶ πᾶσα ἡ ἠθικὴ αὐτοῦ δύναμις. Ἐκεῖ ἡγιάζετο βαπτιζόμενος εἰς τὰ ὕδατα· ἐνταῦθα εἰς τὰ βάθη τῆς καθαρᾶς συνειδήσεως λουόμενος. Ἡ καθαρὰ καρδία καὶ ἡ πρᾶξις τῆς ἀρετῆς, ἤγουν ἡ τῶν παθῶν χαλιναγωγία καὶ ἡ ἐγκράτεια ἡ ἱλαρότης καὶ ὁ πρὸς πάντα τὰ ἔμψυχα οἶκτος, ἡ ἐλεημοσύνη καὶ ἡ φιλανθρωπία, ἡ δικαιοσύνη καὶ ἡ εὐποιΐα, ἡ θεοφροσύνη καὶ ἡ ἔντονος θεωρία ἁγιάζει, τὸν ἐν καθαρᾷ καρδίᾳ ἐνάρετον καὶ θεωρητικόν. Τοιαῦτά εἰσι τὰ νοερὰ ἁγιάσματα, καὶ τοιοῦτός ἐστιν ὁ σκοπὸς αὐτῶν.

§. 28. *Περὶ βραχμανοκτονίας.*

Οἷον λόγον ἔχει ἡ ἱεροσυλία πρὸς τὴν ἁπλῶς κλοπὴν, τὸν αὐτὸν καὶ ἡ Βραχμανοκτονία πρὸς τὴν ἁπλῶς ἀνθρωποκτονίαν· ἁμάρτημα ἑπομένως καθοσιώσεώς ἐστιν ἡ Βραχμανοκτονία. Ἡ κλοπὴ καὶ ὁ φόνος εἰσὶν ἁμαρτήματα μεγάλα· ἀλλ᾽ ἡ ἱεροσυλία καὶ ἡ Βραχμανοκτονία μέγιστα· ὁ δὲ Βραχμανοκτόνος καὶ ὁ ἱερόσυλος πορεύονται ἀνεπιστρέπτως εἰς τὸν σκοτεινὸν ᾅδην.

Βραχμανοκτονία ἐπίσης λογίζεται ἡ ἀδικία, ἡ τῶν ἀλλοτρίων πραγμάτων ἁρπαγὴ, ἡ ἀνελεημοσύνη, ἡ πρὸς πᾶν ἔμψυχον σκληρότης, ἡ πρὸς τὰ θεῖα ἀσέβεια, ἡ πρὸς τὰς ἱερὰς γραφὰς περιφρόνησις, τὸ ψεῦδος, ὁ δόλος, ἡ ἀχαριστία κτλ.

Βραχμανοκτόνος ἐπίσης λογίζεται ὁ ζωοκτόνος· ὁ ἐμποδίζων ἀγέλην θέουσαν εἰς πόσιν ὕδατος· ὁ ἀμελῶν τὴν ανατροφὴν τῶν ἰδίων τέκνων· ὁ μὴ σεβόμενος τοὺς γονεῖς υἱός· ὁ πυρπολῶν δάσος, χωρίον, οἰκίαν ἢ βοοστάσιον· ὁ κόπτων τὰ δένδρα· ὁ ἐμποδίζων τὰς πηγάς· ὁ φράττων τὰ φρέατα· καὶ ὁ ὑποσχεθ εἰς βοήθειαν, καὶ μὴ ἐκπληρώσας αὐτήν, κτλ.

Ἦσάν ποτε δύο φίλ οι, οἵτινες θανόντες ἀνεγεννήθησαν, ὁ μὲν εἰς φύσιν κυνολύκου, ὁ δὲ εἰς φύσιν πιθήκου· οὗτος ἰδὼν τὸν κυνόλυκον ἐσθίοντα νεκρὰ σώματα, ἠρώτησε τὴν αἰτίαν. Ὁ δὲ « ὑπεσχέθην, εἶπε, δοῦναι πτωχῷ Βραχμᾶνι βοήθειαν καὶ οὐκ ἔδωκα· » — « Κἀγώ, εἶπεν ὁ ἕτερος, πλεονέκτης ὢν ἔκλεπτον ὀπώρας ἐξ ἀλλοτρίου κήπου, καὶ εἰς πίθηκος φύσιν μετενσωματώθην. »

Ἐν τούτοις ὁ ἀριθμὸς τῶν ἁμαρτημάτων, ὅσα Βραχμανοκτονία λογίζονταί ἐστιν ὁ αὐτὸς τῶν ἐν τῷ ἐννάτῳ Κεφαλαίῳ τῆς παρούσης πραγματείας· *Περὶ τῶν ἔργων ἐξ ὧν πορεύεται ὁ ἄνθρωπος εἰς τὸν ᾅδην, ἢ εἰς τὸν παράδεισον.* Λίαν δὲ ἀξιωσημείωτος φαίνεται ἡ ἠθικὴ καὶ ἐνταῦθα καὶ ἐκεῖ, ὡς καὶ εἰς ἕκαστον Κεφάλαιον καὶ εἰς πᾶσαν σελίδα. Καθότι εἰς μὲν τὰ εὐνομούμενα ἔθνη ἀπαγορεύεται ἡ μεταξὺ ἀνθρώπων ἀδικία, καὶ τιμωροῦνται αἱ κακαὶ αὐτῶν πράξεις· εἰς δὲ τὰ ἔτι μᾶλλον εὐνομούμενα, παιδεύεται καὶ ἡ πρὸς αὐτὰ τὰ ἄλογα ζῶα παράλογος σκληρότης. Εἰς δὲ τὴν Ἰνδίαν οὐ μόνον τὰ τοιαῦτα ἁμαρτήματα τιμωροῦνται, ἀλλ' ἀπαιτεῖται εἰς τὴν ἐλεημοσύνην ἡ δόσις οὐ μόνον ἄρτου, καὶ ὕδατος, ἀλλὰ καὶ ἡ τῶν λόγων ἡδύτης τοῦ διδόντος

πρὸς τὸν λαμβάνοντα, καὶ ἡ τοῦ προσώπου ἱλαρότης, καὶ πλείστη ὅση φιλοφροσύνη καὶ εὐπροσηγορία. Τιμωροῦνται ἐπίσης παρ' Ἰνδοῖς οἱ φράττοντες τὰς πηγὰς τῶν ὑδάτων, τὰς λίμνας, τὰ φρέατα, καὶ τὰς λεωφόρους (1)· Παιδεύονται οἱ μὴ κατασκευάζοντες ποτιστήρια καὶ βρύσας πρὸς ἄνεσιν τῶν ὁδοιπόρων. Παιδεύονται ἐπίσης καὶ αὐτοὶ οἱ ἐσθίοντες μόνοι, χωρὶς δηλονότι τῶν ἑαυτῶν γυναικῶν, παίδων, οἰκείων, καὶ οἱ ἀμελοῦντες τελέσαι τὰ νενομισμένα μνημόσυνα τοῖς προπάτορσι (2)! Τοιοῦτός ἐστιν ὁ ὑψηλὸς βαθμὸς τοῦ πολιτισμοῦ, τῆς θρησκείας, τῆς νομοθεσίας, καὶ τῆς ἠθικῆς τοῦ παραδόξου ἔθνους τῶν Ἰνδῶν.

§. 29. *Περὶ ἀποχῆς κρεωφαγίας.*

Οἱ Ἰνδοὶ πρεσβεύουσιν, ὅτι ὁ Βισνοῦς ὁ Θεὸς τῶν θεῶν, ἐστιν ἡ ζωὴ πάντων τῶν πνοὴν ἐχόντων, ἡ ἀρχὴ, τὸ μέσον καὶ τὸ τέλος ὅλων τῶν ὄντων, ἡ γένεσις, ἡ ὕπαρξις καὶ ἡ φθορά (3). Ἐπειδὴ οὖν ὁ Βισνοῦς ἐστιν ἡ ἀρχὴ τῆς ζωῆς τῶν ζώων, οὐδεὶς εὐσεβὴς ζωοκτονεῖν ἢ κρεωφαγεῖν δύναται. « Πάντα τὰ βρώματά εἰσι τὰ αὐτὰ ἐντὸς τοῦ στομάχου· ἡ ἡδονὴ τῆς τροφῆς φθάνει μέχρι οὐρανίσκου, καὶ τοῦ ἄκρου τῆς γλώσσης· ὥστε διὰ στιγμιαίαν εὐχαρίστησιν ἑνὸς ζώου, οὐκ ἔστι δίκαιον ἵνα στερηθῇ τῆς ζωῆς ἕτερον ζῶον, ἐπίσης φιλόζωον ὄν. Πρὸς τούτοις οἱ κρεωφάγοι εἰσὶ μᾶλλον ἐμ-

(1) Κεφ. Θ'. δίστ. 4—10.
(2) Αὐτόθι.
(3) Γιτὰ Κεφ. 10.

παθεῖς, καὶ εἰς πλειοτέρας ἀσθενείας ὑποκείμενοι· οἱ δὲ ὀπωροφάγοι ἠπιώτεροι, καὶ ὑγιέστεροι (1). Ὁ κακοποιῶν, λέγει, τὰ ζῶα, κακῆς μετὰ θάνατον στάσεως τυγχάνει. Ὁ τρέφων ἑαυτὸν διὰ τῆς σαρκὸς ἄλλου ζώου, αἰωνίως κολάζεται κατὰ τὸν θεῖον Ναράδαν, ἢ εἰς φύσιν φυτοῦ μετενσωματοῦται, κατὰ τὸν ὅσιον Βεάσαν. Ἡ δὲ ἀποχὴ τῆς κρεωφαγίας ἐστὶν ὑπερτέρα πασῶν τῶν θυσιῶν, κατὰ τὸν δίκαιον Βριχασπαστήν· ὁ τοιοῦτος πορεύεται κατ᾽ εὐθεῖαν εἰς τὸν οὐρανὸν, κατὰ τὴν γνώμην τοῦ θεόφρονος Βασίστα.»

« Οἱ ζωοκτόνοι, λέγουσιν οἱ ὅσιοι πατέρες, ἀπειράκις ἀναγεννηθήσονται ἐν μυρίαις φύσεσι, σκωλήκων καὶ φυτῶν.»

Τὴν τῆς ζωοφαγίας ἀποχὴν παρεδέχθησαν ὅλα σχεδὸν τὰ ἀσιατικὰ ἔθνη· τὴν δὲ ὀπωροφαγίαν ἐδίδασκον ἀσκοῦντες πάντες αὐτῶν οἱ σοφοὶ καὶ οἱ τοῦ θεοῦ ἱερεῖς. Αὐτὴν μετέφερεν ὁ Πυθαγόρας, καὶ εἰς τὸ Ὁμακοῖον εἰσῆξε· αὐτὴν παρεδέχθησαν οἱ Πυθαγόρειοι· καὶ *περὶ ἀποχῆς ἐμψύχων* ἐκτεταμένην συνέγραψε πραγματεῖαν ὁ ἐκ Τύρου Πυθαγορικὸς Πορφύριος (2).

§. 30. *Περὶ τιμῆς πρὸς Βραχμᾶνας.*

Τὸ παρὸν Κεφάλαιον ἐπικυρεῖ, τρόπον τινὰ, τὰς ἐν τῷ 21 Κεφαλαίῳ ὑπὲρ τοῦ τάγματος τῶν Βραχμάνων παρατηρήσεις ἡμῶν. Καθότι « ὁ τιμῶν, λέγει, τοὺς Βραχμᾶνας,

(1) Τοὐναντίον γὰρ καὶ πρὸς ὑγιείαν καὶ πρὸς σύμμετρον ὑπομονὴν τῶν πρὸς φιλοσοφίαν πόνων, τὴν ἄσαρκον δίαιταν, ὡμολόγει συμβάλλεσθαι. Πορφυρίου φιλοσ. περὶ ἀποχῆς ἐμψύχων.)

(2) Πορφυρίου φιλοσόφου περὶ ἀποχῆς ἐμψύχων βιβλ. 4.

τιμᾷ αὐτὸν τὸν Θεὸν Βισνοῦν. Κολάζεται ἑπομένως ὁ μὴ βοηθῶν τοὺς Βραχμᾶνας, ὁ ἀδικῶν, ὁ κακολογῶν, ὁ μὴ σεϐόμενος, καὶ ὁ λύπην προξενῶν εἰς αὐτούς. Τιμωρεῖται ἐπίσης ὁ μὴ δίδων τροφὴν, ἐνδύματα, ὑποδήματα καὶ πᾶσαν ἄνεσιν τοῖς Βραχμᾶσι. Πορεύονται δ' εἰς τὸν οὐρανὸν οἱ τιμῶντες καὶ παντὶ σθένει περιποιούμενοι καὶ βοηθοῦντες τοὺς Βραχμᾶνας. Ὁ ἐλεῶν Βραχμᾶνα, καὶ τὰ πάθη αὐτοῦ χαλιναγωγῶν, καὶ τὸν Θεὸν λατρεύων, ὑψίστης τυγχάνει στάσεως. » Ὥστε ἡ πρὸς τοὺς Βραχμᾶνας τιμὴ ἰσοστάσιος, ἐνταῦθα φαίνεται, τῆς ἐγκρατείας, καὶ τῆς πρὸς τὸν Θεὸν λατρείας.

Εἰς τί δὲ συνίσταται ἡ Βραχμανικὴ χάρις; εἰς τὴν πρᾶξιν, λέγει, τῆς ἀρετῆς, καὶ τὴν γνῶσιν τῶν θείων γραφῶν· ἀλλ' ἡ πρᾶξις τῆς ἀρετῆς ὑπερτέρα ἐστὶ καὶ αὐτῆς τῆς γνώσεως τῶν γραφῶν. Τὰ καλὰ ἔργα ἐπιφέρουσι τὴν βραχμανικὴν χάριν. Ἐκ τῶν ἔργων κρίνεται ὁ ἄνθρωπος. Τὰ ἔργα ἀποτελοῦσι τὸν ἄσημον, ἔντιμον· τὸν δὲ ἔνδοξον, τὸν ἰσχυρὸν καὶ πλούσιον τὰ κακὰ ἔργα ἄσημον, μικροπρεπῆ καὶ μικρολόγον δεικνύουσιν.

Ἡ δόξα καὶ ἡ ἰσχὺς τῶν ἀρχόντων ἐστὶν ἐπίφοϐος. Καθότι αὐτὴ σκοτίζει τὸν νοῦν, καὶ ὑπεροπτικὸν δεικνύει τὸν ἄρχοντα· ἡ δὲ ὑπερηφάνεια, καὶ ἡ οἴησις ἀπώλλεσε καὶ ἀπολλέσει πάντοτε πάντας ἄρχοντας καὶ δυνάστας. Ὅθεν καὶ ὁ Βασιλεὺς Ναχούσας ὑπερηφανευθεὶς εἰς ὄφιν μετεϐλήθη, καὶ τῆς ἀρᾶς ἀπηλλάγη, ὅτε ὁ εἰδήμων Ἰνδδι στίρας ἔλυσε τὰς ἑξῆς ἀπορίας·

Τί ἐστίν ἀρετή ;

Ἀρετή ἐστιν ἡ ἀλήθεια, ἡ ἐγκράτεια, ἡ ἱλαρότης, ἡ θεωρία κτλ.

Τί δ' ἀλήθεια;

Ἡ πρὸς πάντας φιλοφροσύνη καὶ εὐσπλαγχνία· ἡ τῶν παθῶν χαλιναγωγία, ἡ τῶν νομίμων πρᾶξις, κτλ.

Τί δ' αὐτάρκεια;

Ἡ ἀποχὴ πασης ἡδυπαθείας, ἡ αἰδὼς, ἡ ἀνοχὴ, ἡ ὑπομονὴ κτλ.

Τί ἐστι γνῶσις;

Ἡ θεογνωσία. — Πραότης δὲ; — Ἡ τῆς ψυχῆς τελεία εἰρήνη.

Εὐσπλαγχία; — Ἡ πρὸς πᾶν ἔμψυχον φιλοφροσύνη. — Τί δὲ θεωρία; — Ἡ διάνοια, ἡ μηδόλως τὰ τῆς ὕλης διανοουμένη. — Τίς ἐστιν ὁ μεγαλήτερος ἐχθρὸς τοῦ ἀνθρώπου; — Τὰ πάθη, ὡς ἡ πλεονεξία, ἡ ἡδυπάθεια, ὁ θυμὸς, καὶ ἡ ὑπερηφάνεια. — Ποῖος λέγεται ἄνθρωπος ἀγαθός; — Ὁ πρὸς πάντας φιλόφρων. — Κακὸς δέ; — Ὁ σκληρὸς καὶ ἄσπλαγχνος.

Τί ἐστιν ἄγνοια; — Ἡ τῶν ἐντολῶν ὀλιγωρία, καὶ ἡ τῶν νόμων ἀμέλεια.

Τί ἐστιν εὐγενὲς φρόνημα; — Ἡ ὀρθὴ καὶ μετὰ λόγου φιλοτιμία.

Τί δὲ Καρτερία; — Ἡ τῶν αἰσθήσεων χαλιναγωγία καὶ ἡ ἀπάθεια.

Ποῖός ἐστιν ὁ ἀληθὴς λουτρός; — Ὁ τῆς ἀρετῆς, τῆς μετανοίας, καὶ καθαρᾶς καρδίας.

Τίς λέγεται σοφός; — Καὶ τί ἐστι σοφία; — Ἀληθὴς σοφός ἐστιν ὁ εὐσεβής· σοφία δὲ ἡ θεοφοβία, καὶ ἡ εἰλικρινὴς πρὸς Θεὸν λατρεία.

ρί

Τίς λέγεται ἄσοφος; Τίς βάρβαρος; — Ὁ ἀσεβὴς καὶ ἄθρησκος.

Τί ἐστιν οἴησις; καὶ τίς οἰηματίας; — Ἡ δοκησισοφία, καὶ ὁ οἰόμενος, ὅτι τὰ πάντα γινώσκει, καὶ πᾶσαν τὴν ἐπιστήμην κατέχει.

Τί ἐστιν ὑπόκρισις; — Ἡ ψευδὴς ἐπίδειξις τῆς ἀρετῆς, καὶ τῆς γνώσεως.

Τί ἐστι διαβολή; — Τὸ κακολογεῖν καὶ διαβάλλειν τοὺς ἄλλους.

Οἱ ὁρισμοὶ οὗτοί εἰσι τοσοῦτον ἀκριβεῖς, ὥστε οὐδεμιᾶς ἐξηγήσεως χρεῖαν ἔχουσι. Παρατηρεῖ δὲ ἐνταῦθα, ὡς καὶ εἰς πᾶσαν σελίδα ὁ ἀναγνώστης, τὸ αὐτὸ πνεῦμα, τὰς αὐτὰς ἀρχὰς, καὶ τὴν ἀλήθειαν τῶν παρατηρήσεων, γενομένων εἰς τὸ ἔννατον καὶ εἰκοστὸν ὄγδοον Κεφάλαιον τοῦ παρόντος ποιήματος.

§. 31. *Περὶ ἀληθείας καὶ εὐθύτητος· καὶ ὅτι ἀγαθὸν τὸ φυλάττειν ἀεὶ τὴν δοθεῖσαν ὑπόσχεσιν.*

Ἐπὶ τούτου ἐπάγουσι τὸ ἑξῆς τερπνὸν καὶ ἠθικὸν διήγημα·

Ἦν ποτε, λέγουσι, παρὰ τῇ ὄχθῃ τοῦ Ἰαμονᾶ πόλις εὐδαίμων, καλουμένη Σανδραβατὴ, ναοῖς κεκοσμημένη μεγαλοπρεπέσι, οἴκοις λαμπροῖς, καὶ δενδροστυχίαις ἀνθοφόροις, περιρρεομένη ἐκ ρυάκων, καὶ ἀφθόνων πηγῶν, ἔχουσα εὐρεῖς ἀγυιὰς καὶ πλατείας, τριόδους τε καὶ τετραόδους. Ἐβασίλευε δ' ἐν αὐτῇ ὁ εὐσεβὴς Βασιλεὺς Σανδρασένας. Ἐν ταύτῃ οὖν τῇ πόλει ἦν καὶ βοοστάσιον λαμπρὸν, καὶ ἐν αὐτῷ Δάμαλις Βραχμᾶνος σοφοῦ, εὔτραφὴς, πολυγάλακτος καὶ ἐμμελὴς, Βαχουλὰ τοὔ-

νομα. Αὕτη πορευθεῖσα κατὰ τὸ ἔσχατον μέρος τοῦ ἄλσους ἐνέμετο πόαν χλοεράν. Παρέκειτο δὲ καὶ ὄρος δύσβατον, φάραγκας ἔχον, καὶ ἄντρα πλήρη ἀγρίων θηρίων, ἐν οἷς καὶ λέων μέγας, ὑπερίσχυρος καὶ αἱμοβόρος, καλούμενος Καμαρούπας, φωνὴν ὡς βροντὴν ἔχων, καὶ στόμα ὡς σπήλαιον. Ἐνταῦθα πλανηθεῖσα ἡ Βαχουλὰ, ἦλθεν ὑπ' ὄψιν τοῦ τρομεροῦ Λέοντος, ὃς εὐθέως δραμὼν, ἔθετο τοὺς ὄνυχας αὐτοῦ ἐπ' αὐτῆς, εἰπών· « Σὺ εἶ τὸ ὡρισμένον σήμερον ἐμοὶ βρῶμα. » Ἡ δὲ, τὸν τρυφερὸν αὐτῆς μόσχον ἐνθυμηθεῖσα, πικρῶς ἐδάκρυσε. « Διατί κλαίεις, ὦ Βαχουλὰ, εἶπεν ὁ Λέων; ὁ θάνατος κοινός ἐστι τοῖς πᾶσι. » — « Ἐγὼ, ἀπήντησεν ἐκείνη, οὐ θρηνῶ ὑπὲρ τῆς ἐμῆς ζωῆς· γινώσκω, ὅτι δεῖ μοι θανάτου τυχεῖν· ἀλλ' ὑπὲρ τοῦ πρωτοτόκου μοι υἱοῦ, ὃς οὐδὲ χλόης εἰσέτι ὀσφραίνεται. Οὗτος πείνῃ καὶ δίψῃ θλιβόμενος ἐμὲ ἀναμένει βοῶν. Τοῦτον οὖν ἰδεῖν ἐφίεμαι, καὶ μαστὸν δοῦναι. Γαλουχήσασα δὲ καὶ περιλείξασα τὴν κεφαλὴν, καὶ παραδοῦσα τῇ ἐμῇ μητρὶ, καὶ συστήσασα ταῖς φίλαις, καὶ νουθετήσασα αὐτὸν τί τὸ καλὸν, καὶ τί τὸ κακὸν, πάλιν ἔρχομαι. Σὺ δὲ τότε με φάγε. Σήμερον ἐξάπαντως ἐπιστρέψω πρὸς σέ. — « Τί σοι χρεῖαν παιδὸς, εἶπεν ὁ Καμαρούπας; Σὺ πορευθεῖσα καὶ τὸν υἱὸν ἰδοῦσα, τὴν μητέρα καὶ τὰς φίλας, οὐδέποτε πλέον ἐπανακάμψεις. » Ἡ δὲ Βαχουλᾶ ἀπήντησεν· « Ἄφες με ὑπάγειν· ὀμνύω, ὅτι σήμερον ἐπανέρχομαι· ἔσομαι δὲ βραχμανοκτόνος, πατροκτόνος καὶ μητροκτόνος, ἀσεβὴς καὶ ἱερόσυλος ἐὰν μὴ ἐπανέλθω· ἔσομαι παραβάτης τῶν θείων νόμων καὶ ἐπίορκος, ζωοφάγος, ἀφιλόξενος καὶ φονεύς· τούτων ἁπάντων τῶν ἁμαρτημάτων ἔσομαι ἔνοχος, ἐὰν μὴ

ἐπανέλθω. » Ὁ δὲ, ἀκούσας τῶν φρικτῶν ὅρκων, ἐπείσθη, εἰπών· «Συναινῶν εἰς τὴν σὴν πρότασιν, ἴσως μ' ἐκλάβῃς μωροπίστευτον· οἱ δὲ δοκησίσοφοι σοφισταὶ, οἱ τὰ ψεύδη, ὡς ἀληθῆ δεικνύοντες, καταπείσουσιν, ὅτι ἔξεστιν ἐπιορκεῖν ἐν κινδύνῳ. Ἐγὼ δὲ λέγω σοι, ὅτι ἡ ἐπιορκία μέγα ἐστὶν ἁμάρτημα ἐν παντὶ καιρῷ καὶ περιστάσει, καὶ διὰ τοῦτο τιμωρεῖται παρὰ τῶν θεῶν, καὶ τῶν ἀνθρώπων· ὅθεν ὁ ἀπατῶν ἄλλον, αὐτὸς ἑαυτὸν ἀπατᾷ. Πορεύθητι οὖν, ἰδὲ τὸν σὸν υἱόν· γαλουχήσασα δ' αὐτὸν καὶ νουθετήσασα ἐπανάκαμψον, τοὺς ὅρκους σεβομένη· μὴ δ' ἔχε γνώμην, ὡς ἐγὼ ἠπατήθην τοῖς ὅρκοις. Ἐμοὶ μὲν πίστις ἐγένετο ἐξ ὧν εἴρηκας· σὺ δὲ ποίησον ὡς θέλεις. Ἡ δὲ Βαχουλὰ «Ὄψει με σήμερον», εἶπε· καὶ ἐλθοῦσα εἰς τὸ βοοστάσιον παρετήρησε τὸν υἱὸν πείνῃ θλιβόμενον. Ὁ δὲ σκιρτῶν καὶ ἀγαλλόμενος ἔδραμε πρὸς τὴν μητέρα, καὶ τὴν βαθεῖαν αὐτῆς λύπην ἰδὼν, καὶ τὴν αἰτίαν μαθὼν, ἐζήτει μετὰ τῆς μητρὸς ἐπανελθεῖν. « Μετὰ σοῦ, ὦ μῆτερ τεθνήξομαι ! Τίς χρεῖα ζωῆς τῷ ὀρφανῷ ; » — « Εἰς ἐμὲ, ἀπήντησεν ἡ Βαχουλὰ, ὡρίσθη ὁ θάνατος· αὕτη ἐςὶν ἡ πρώτη καὶ μεγάλη μου ἐντολή· Μεῖνε μὲν ἐνταῦθα, νεμόμενος δὲ πρόσεχε· ὅτι ἡ ἀπροσεξία μέγα ἐστὶ τοῖς νέοις ἐλάττωμα. Ἀρκέσθητι εἰς μετρίαν τροφήν· μὴ πλεονέκτει, ἀποστρέφου τὴν μετὰ τῶν διεφθαρμένων καὶ ἀσεβῶν συναναστροφήν· μὴ πίστευε εἰς τὰ ῥεύματα τῶν ποταμῶν, εἰς ἄγρια θηρία, εἰς αἰσχρὰς θηλείας καὶ εἰς κενοδόξους δεσπότας. Φοβοῦ τὸν Θεόν· σέβου τοὺς γέροντας, τοὺς ἐναρέτους καὶ σοφούς. » Ταῦτα εἰποῦσα καὶ τῆς κεφαλῆς αὐτοῦ περιλείξασα πελάγει λύπης ἐμβεβυθισμένη εἶπεν· « Οὐκ ἔστι στοργὴ, οὐδ' ἀγάπη, οὐδ' εὐδαιμονία

μείζων τοῦ ἀγαθοῦ παιδός· οὗτός ἐστιν ἡ δόξα, ἡ χαρὰ, τὸ κλέος καὶ ἡ εὐτυχία τῶν γονέων, καὶ οὐκ ἔστιν ἄλγος ὡς τὸ ἐκ τῆς στερήσεως τοῦ καλοῦ παιδὸς ἄλγος. »

Πρὸς δὲ τὴν μητέρα εἶπε· « Σύγνωθι, ὦ μῆτερ, εἰ ἐν παιδικῇ ἡλικίᾳ ἐξ ἀγνοίας παρεπίκρανά σε. Οὗτός ἐστιν ὁ *ὀρφανὸς παῖς τῆς σῆς ταλαίνης θυγατρός*· οὐ λέξω σοι ἕτερον . . . Καὶ παρ' ὑμῶν, ὦ φίλαι, συγνώμην αἰτῶ· τοῦτον δὲ τὸν ὀρφανὸν παῖδα φυλάττετε, καὶ ὡς τοὺς ἰδίους ὑμῶν παῖδας φιλῆτε, νουθετοῦσαι. Μακάριος ὁ περιθάλπων τὸν ὀρφανόν. Τῶν λόγων τούτων ἀκούσασα ἡ μήτηρ καὶ αἱ φίλαι τεθλιμμέναι ἐθαύμαζον τὴν τῆς Βαχουλᾶς καρτερίαν. Ἡ δὲ « Συγχωρεῖται, εἶπεν, ἴσως, ὁ ψευδὴς λόγος, καὶ αὐτὴ ἡ ἐπιορκία πρὸς σωτηρίαν ἄλλου τινὸς κινδυνεύοντος· οὐδέποτε ὅμως πρὸς σωτηρίαν ἡμῶν αὐτῶν· διότι ἡ ἐπιορκία μολύνει τὴν ψυχὴν, ἀΐδιον οὖσαν. Μόνος τις γεννᾶται, καὶ μόνος ἀποθνήσκει, φέρων μεθ' ἑαυτοῦ τὸν τύπον τῆς καλῆς ἢ κακῆς πράξεως. Τὴν ἀλήθειαν ἀγαπᾷ ὁ Θεὸς, ἥτις ἐξ αὐτοῦ πηγάζει, καὶ αὐτός ἐστιν ἡ ἀλήθεια. Ἐπὶ τῆς ἀληθείας στηρίζεται τὸ πᾶν τοῦτο, καὶ ἡ κοινωνία. Ἡ ἀλήθειά ἐστι τὸ κυρίως ἀγαθὸν, αὐτὴ καὶ ἡ γνῶσις τοῦ θείου λόγου. Ὁ εὔσπλαγχνος καὶ ὁ φιλαλήθης τεύξεται τοῦ ὑψίστου βαθμοῦ. »

Ταῦτα εἰποῦσα, καὶ τὴν κατοικίαν πᾶσαν περιελθοῦσα, καὶ τὸν υἱὸν πάλιν ἰδοῦσα, καὶ τὴν κεφαλὴν αὐτοῦ περιλείξασα, « Ὦ γῆ, εἶπε, καὶ θεοὶ πάντες καὶ πᾶσαι, ἱκετεύω ὑμᾶς· διαφυλάττετε τὸν ἐμὸν ὀρφανὸν παῖδα τῇ δυνάμει ὑμῶν ! Ὦ ποταμοὶ καὶ λίμναι, ὑλόβιοι ὅσιοι, καὶ ὑλαῖοι θεοὶ, ὄρη, φάραγκες καὶ ἄλσει, διατηρεῖτε τὸν ἐμὸν δύστηνον παῖ-

δα, ὀρφανὸν ἐν τοιαύτῃ ἡλικίᾳ ὄντα! » Ταῦτα λέξασα ἐν πελάγει ἀθυμίαις οὖσα βεβυθισμένη, θερμὸν ἀναπνέουσα, καὶ βαθέως στένουσα, κενὸν ἔβλεπε τὸν Κόσμον, στερισκομένη τοῦ παιδός· καὶ ἐν ἑκάστῳ βήματι προσπταίουσα ἦλθεν εἰς τὸν φοβερὸν λέοντα, πρὸς ὃν καὶ εἶπε· « Κορέσθητι ἤδη ἐκ τῆς ἐμῆς σαρκός. »

Ὁ μὲν Καμαρούπας θαυμάσας οὐκ ἠθέλησεν αὐτὴν φαγεῖν. « Ὁ κόσμος οὗτος, εἶπε τῷ ὄντι, ἐπὶ τῆς ἀληθείας στηρίζεται, ἐξ ἧς ἡ θεογνωσία καὶ ἡ ἀθανασία προσγίνεται. Εὐδαίμων ἡ κοινωνία, ἡ πόλις καὶ ἡ οἰκία ἐν ᾗ ὑπερτεροῦσιν οἱ φιλαλήθεις! Ἤδη γινώσκω τὸ ἐκ τῆς ἀρετῆς μέγα καλόν. Ἀπὸ τοῦδε ἐγκαταλείψω τὸν αἱμοβόρον τοῦτον βίον, καὶ ἄσκησιν ποιήσω ὑπὲρ τῆς ἐμῆς σωτηρίας. Σὺ δέ, ὦ ἐνάρετη Βαχουλά, δίδαξόν με οἵα σκληραγωγία συντείνουσά ἐστιν εἰς ἐξάλειψιν τῶν ἐμῶν ἁμαρτημάτων. »

Ἡ δὲ Βαχουλὰ « Γίνωσκε, εἶπεν, ὅτι ἐν μὲν τῷ Σατέᾳ αἰῶνι ἐπαινεῖτο ἡ ἄσκησις· ἐν δὲ τῷ Τρέτᾳ ἡ θεοφροσύνη, ἐν τῷ Δβαπάρᾳ ἡ γνῶσις τῆς Βέδας καὶ ἡ θυσία· ἐν δὲ τῷ παρόντι Κάλῃ αἰῶνι ἐπαινεῖται ὁ οἶκτος, ἡ φιλανθρωπία καὶ τὸ ἔλεος. Διὰ τοῦτο κρείττων πασῶν τῶν ἀρετῶν ἐστιν ἡ σωτηρία παντὸς ἐμψύχου. Ὁ ἔχων οἶκτον καὶ συμπάθειαν πρὸς πᾶν ἔμψυχον τυγχάνει τοῦ ὑψίστου χώρου. Ἐν ταύτῃ τῇ ἀρετῇ συμπεριλαμβάνονται συλλήβδην ἅπασαι αἱ ἀρεταί. »

Τότε ὁ Καμαρούπας ἀναμνησθείς, ὅτι ἐν ἄλλῃ γεννήσει, ἕνεκα σκληρότητος, κατεδικάσθη εἰς φύσιν αἱμοβόρου θηρίου, μετεμελήθη, καὶ τὸν νοῦν καθαρὸν εἰς Θεὸν ἀναβιβάσας, καὶ τὴν πνοὴν ἐπισχὼν ἀφῆκε τὸ σῶμα, καὶ ἀνῆλθεν εἰς τὸν

οὐρανόν. Ἡ δὲ Βαχουλὰ, ἐπανελθοῦσα, διῆλθε τὸν λοιπὸν βίον ἐν ἀρετῇ, καὶ ἠξιώθη τῆς οὐρανίου μακαριότητος μετὰ τοῦ παιδὸς καὶ τῶν φίλων αὐτῆς.

Ὁ ἀναγινώσκων, λέγει ὁ ποιητὴς, τὸ θαυμαστὸν τοῦτο διήγημα, καὶ βελτίων γίνεται, καὶ ἀθανασίας ἀξιοῦται.

Εἰς μάτην ζητήσει ὁ ἀναγνώστης τερπνότερον ἢ ἠθικώτερον διήγημα τοῦ τῆς Βαχουλᾶς. Ἀνεπίπλαστος, τῳόντι, καὶ κατανυκτική ἐστιν ἡ τῆς Βαχουλᾶς φιλοστοργία, καὶ οὐχ ἧττον ὁ πρὸς τὴν μητέρα σεβασμὸς αὐτῆς, καὶ ἡ πρὸς τὰς φίλας ἀγάπη. Ἀλλ' ὁ πρὸς τὴν ἀρετὴν καὶ τὴν ἀλήθειαν ἔρως ἀνώτερος παντὸς ἄλλου φρονήματος φαίνεται. Ὁ γὰρ ἀθετῶν αὐτὴν, πάσας καταπατεῖ τὰς ἀρετάς (1), ὅτι ὁ Θεός ἐστιν ἡ ἀλήθεια, καὶ ἐπὶ τῆς ἀληθείας στηρίζεται τὸ πᾶν. Ὅθεν ὑπὲρ αὐτῆς ἐγκαταλείπει μητέρα, φίλας, συγγενεῖς, υἱὸν πεφιλημένον καὶ αὐτὴν τὴν ζωὴν, καὶ ἐν πελάγει λύπης ἐμβεβυθισμένη πορεύεται εἰς καταφανῆ θάνατον, ἵνα μὴ ἐπίορκος φανῇ. Ἀλλ' εὐσεβῶς συστήσασα πρότερον τὸν ἀνήλικον καὶ ὀρφανὸν αὐτῆς παῖδα εἰς πάντας τοὺς θεοὺς, καὶ εἰς αὐτὰ τὰ στοιχεῖα· εἰς τὰς φίλας, καὶ τὴν μητέρα, εἶπε τὸν ἐμπεριεκτικὸν τοῦτον λόγον· *Οὗτός ἐστιν, ὦ μῆτερ, ὁ ὀρφανὸς υἱὸς τῆς σῆς ταλαίνης θυγατρός!*

§. 32. *Περὶ διαφυλάξεως Βραχμᾶνος.*

Ἡ τοῦ κινδυνεύοντος καὶ καταφυγόντος σωτηρία ἐφάνη πρὸ μιαροῦ (2) μεγάλη ἀρετή. Ἡ σωτηρία ἐπομένως τοῦ

---

(1) Ἴδε Ἰτιχ. δίστ. 156—157.

(2) Αὐτ. Κεφάλ. έ. καὶ Κεφ. ί.

κινδυνεύοντος Βραχμᾶνος ὑπερτέρα ἐστὶ, καθ᾽ ὅσον καὶ οἱ Βραχμᾶνες θειότεροι καὶ ἱερώτεροι τῶν ἄλλων λογίζονται. Τούτου ἕνεκα καὶ ἡ βραχμανοκτονία, ὡς τὸ μέγιστον τῶν ἁμαρτημάτων θεωρουμένη, αἰωνίως καὶ ἀνεπιστρέπτως καταδικάζεται (1).

Ἦν ποτε εὐσχήμων τις κόρη, Σουβράτα καλουμένη, ἥτις μετὰ τὸν θάνατον τῆς μητρὸς κατέφυγεν εἰς τὴν ἔρημον σὺν τῷ ὁσίῳ αὐτῆς πατρί. Κατὰ δυστυχίαν μετ᾽ οὐ πολὺ ἐτελεύτησε καὶ οὗτος· ἡ δὲ ὀρφανὴ καὶ ἐν ἐρήμῳ μεμονωμένη κόρη, τὴν στέρησιν τῶν γονέων ἀπαρηγορήτως ἐθρήνει, τὸν θάνατον συνεχῶς ἐπικαλουμένη. Ὁ δὲ Θεὸς τοῦ ᾅδου Ἰάμας, παραστὰς αἴφνης, « Εἰς μάτην, εἶπε, θρηνεῖς· ὅτι οἱ τελευτήσαντες οὐκ ἐγείρονται. Γίνωσκε δ᾽ ὅτι ἐν τῇ προτέρᾳ γεννήσει ἁμαρτήσασα, ἀρὰν ἔσχες, καὶ αὐτῆς ἕνεκα ἤδη τιμωρῆσαι. Σὺ γὰρ ἄλλοτε ἑταίρα πάγκαλος ἐτύγχανες οὖσα, Σουδαρὴ τοὔνομα· ἰδὼν δέσε νέος Βραχμὰν ὑπερηγάπησε καὶ μετὰ σοῦ ἐν φιλότητι τετραετίαν διεβίωσε, πᾶσάν τε τὴν περιουσίαν κατηνάλωσε, καὶ ὑπό τινος ἀντεραστοῦ ἐπὶ τέλους ἐφονεύθη. Ὁ οὖν πατὴρ, ἡ μήτηρ, καὶ ἡ χήρα σύζυγος κατηράσαντό σου εἰπόντες· *Καὶ αὐτὴ ἐν τῇ παλιγγενεσίᾳ ὀρφανὴ ἔστω πατρός τε καὶ μητρὸς ἐν ἐρήμῳ*. Ταῦτα ἐξ ἐκείνης τῆς ἀρᾶς πάσχεις σήμερον. »

«Ἀλλὰ πόθεν, ἠρώτησεν ἡ Σουβράτα, ἁμαρτωλὴ οὖσα εἰς οἶκον ὁσίου Βραχμᾶνος ἐγεννήθην;» — « Καθότι, ἀπεκρίθη ὁ Ἰάμας, ἦν ποτε ὁδοιπόρος Βραχμὰν θεόφρων, ὃς φθάσας εἰς τὴν

(1) Ἴδε Κεφ. κή. τοῦ παρόντος ποιήματος.

πόλιν ἐν καιρῷ νυκτὸς, κατέλυσε πρὸ τῆς θύρας τῆς σῆς οἰκίας. Οἱ δὲ περίπολοι, ἐκλαβόντες αὐτὸν ὡς κακοποιὸν, ἀπήγαγον εἰς εἱρκτήν· σὺ δὲ δραμοῦσα ἐγγυήθης ὑπὲρ αὐτοῦ, καὶ οἴκαδε ὁδηγήσασα φιλανθρώπως ἐπεριποιήθης. Ὁ δὲ εὐγνωμονῶν ἐνουθέτει, παρακινῶν σε ἵνα μὴ ἀμελῆς τῆς ἀθανάτου ψυχῆς, χάριν τῆς ἡδονῆς τοῦ σώματος, φθαρτοῦ ὄντος. Σὺ δὲ πεισθεῖσα προσῆλθες εἰς τὴν ἀρετὴν, καὶ ἕνεκα τῆς μετανοίας καὶ τῆς φιλανθρωπίας, ἐγεννήθης ἐν οἴκῳ ὁσίου Βραχμᾶνος.» Ταῦτα εἰπὼν ὁ μὲν Ἰάμας ἄφαντος ἐγένετο· ἡ δὲ κόρη παρηγορηθεῖσα ἐλάτρευε τὸν Θεὸν, καὶ μετὰ θάνατον ἔτυχε τῆς ὑψίστης χώρας. Ἐκ τούτου γίνεται ἔτι μᾶλλον καταφανὲς, ὅτι ἡ ἀγαθὴ πρᾶξις οὐδέ ποτε ἀπόλλυται, οὐδ᾽ ἄνευ ἀμοιβῆς διαμένει.

§. 33. *Περὶ Θεοσεβείας.*

Ἡ ὕλη τῶν προηγουμένων δύο καὶ τριάκοντα Κεφαλαίων ἐστὶν ἠθικὴ, τὰ διάφορα εἴδη τῶν ἀρετῶν διαπραγματευομένη· ἡ δὲ τοῦ παρόντος, σύντομος, ὑψηλὴ, καὶ ὅλως θεολογικὴ, καὶ ὡς ἐκ τούτου πλειοτέραν ἀπαιτεῖ προσοχὴν καὶ σοβαρὰν σκέψιν. Καθότι ὑπαρχούσης, ἀναντιῤῥήτως, ἐν τῇ Ἰνδίᾳ ἀφ᾽ ἑνὸς μὲν πολυθείας, καὶ μονοθείας· ἀφ᾽ ἑτέρου δὲ ἀθεΐας· καθαροῦ ὑλισμοῦ, καὶ ἀπολύτου πνευματισμοῦ, πολυειδῆ εἰσι καὶ τὰ δόγματα, τὰ σύμβολα, αἱ αἱρέσεις, αἱ ἑρμηνεῖαι καὶ ἐξηγήσεις τῶν γραφικῶν ῥήσεων. Ἐκ τούτου ἀκολουθεῖ ἀναμφιβόλως, σύγχυσις μεγίςη, καὶ δισαγμὸς ὡς πρὸς τὴν θρησκευτικὴν ἔννοιαν, τὴν πίστιν, καὶ τὴν λατρείαν τοῦ ἀληθοῦς Θεοῦ. Καθότι εἰς οὐδὲν ἔθνος ὁ νοῦς καὶ ἡ διάνοια τῶν ἀνθρώπων δὲν ἀπέκτησε τοσαύτην ἐλευθερίαν, οὐδὲ πλειοτέρας καὶ

ποικιλωτέρας διῆλθεν εὐθυξολίας, καὶ περισσοτέρας αἱρέσεις ἐσχημάτισεν, ὡς ἐν τῇ Ἰνδίᾳ. Ἐκ τούτου παρατηρεῖται ὁ ὄγκος τῶν θεολογικῶν βιβλίων καὶ τῆς δογματικῆς μυθολογίας, τὸ μέγα τῶν θεῶν πλῆθος, τὸ ποικίλον τῆς πρὸς αὐτοὺς λατρείας, καὶ τὰ διάφορα τῶν θεοσόφων συστήματα. Ὁ οὖν ποιητὴς τῆς παρούσης πραγματείας, ὀπαδὸς ὢν τοῦ Βεάσα, ὁρίζει ἐν τῷ Κεφαλαίῳ τούτῳ, ὡς ἐκεῖνος ἐν τῇ Βεδάντᾳ (1), καὶ ἐν τῇ Γιτᾷ (2), *ποῖός ἐστιν ὁ ἀληθὴς Θεός*, πρὸς ὃν ἀπαιτεῖται πᾶσα ἡ τοῦ ἀνθρώπου λατρεία καὶ ἀφοσίωσις· καὶ *ποῖον δ' ἑπομένως ἐστὶ τὸ ἄκρον ἐφετὸν*, ὅπερ ὁ ἔμφρων διώκειν παντὶ σθένει ὀφείλει. Παρατηρεῖται μὲν σαφέστατα, ὅτι ἡ θεοδιδασκαλία τῆς Ἰτιχασα-Σαμουτσαΐας, καὶ ὁ ἐν τῇ Γιτᾷ ἱερὸς λόγος, καὶ ἡ ἐν τῇ Βεδάντᾳ ἑρμηνεία εἰσὶ κατὰ πάντα σύμφωνοι, κατά τε τὴν ἔννοιαν, τὸν σκοπὸν, καὶ τὸ πνεῦμα· διαφέρουσι δὲ κατὰ τὸ μᾶλλον καὶ ἧττον τῶν ἄλλων θεολογικῶν πεποιθήσεων. Καὶ πηγὴ σχεδὸν ἁπασῶν ἐστι μία, ἤγουν αἱ ἱεραὶ Βέδαι· αἰτία δὲ τῆς διαφωνίας, τὸ σκοτεινὸν, τὸ ἀλληγορικὸν, καὶ μυστηριῶδες αὐτῶν ὕφος, ὅπερ στάδιον εὐρὺ ἠνέωξεν εἰς τὴν φαντασίαν τῶν σχολιαστῶν καὶ ἑρμηνευτῶν τῶν θεολογικῶν τούτων βιβλίων (3).

Ὁ σκοπὸς οὖν τοῦ Βεάσα ἐν τῇ Βεδάντᾳ, τῇ Μαχαβαράτᾳ, τῇ Γιτᾷ, ταῖς Πουράναις, καὶ ἐνταῦθά ἐστιν ἵν' ἐπαναγάγῃ

---

(1) Translation of several principal Books, Passages, and Texts of the Veds, and of some controversial Works on Brahmanical Theology. By Rajah Rammohun-Roy. London 1832. Ἴδε Abridgment of the Vedant σελ. 7—22.

(2) Γιτᾷ τόμος τρίτος τῆς παρούσης Συλλογῆς.)

(3) Rammohun-Roy Abridgement of the Vedant αὐτόθι.

τὰς πολυειδεῖς δοξασίας τῶν ἑτεροδόξων πολυθεϊστῶν τε καὶ ἀθέων εἰς τὴν γνῶσιν καὶ λατρείαν τοῦ *ἑνὸς Θεοῦ*. Δὲν προσβάλλει μὲν ὁρμητικῶς κατ' ἀρχὰς τὰς τοιαύτας δοξασίας· ἀλλ' ἀποδεικνύει αὐτὰς σαθρὰς, ψευδεῖς, καὶ γελοίας, ἀπέναντι τοῦ μεγαλείου τοῦ ὑψίστου Θείου, καὶ τῶν ἀφάτων αὐτοῦ τελειοτήτων. Τὴν αὐτὴν μέθοδον ἀκολουθεῖ καὶ περὶ ἀρετῆς· « Ἐπειδὴ, ὁ κόσμος οὗτος, κλίνει ἐκ φύσεως εἰς κτῆσιν τοῦ πλούτου, καὶ εἰς ἀπόλαυσιν τῆς ἡδονῆς· ἀμφότεραι δ' εἰσὶ θυμήρεις παντὶ ἀνθρώπῳ, ὁ Βεάσας, λέγει ὁ ποιητὴς, φαίνεται, ὅτι παραδέχεται αὐτὰς, καί περ οὔσας ἀξιοκατηγορήτους, ὅπως ἐφελκύσῃ εὐκολώτερον εἰς ἑαυτὸν τὰς καρδίας· ἀλλὰ πάλιν κατακρίνει, καὶ παντάπασι καταστρέφει αὐτὰς, ὁμιλῶν περὶ ἀρετῆς, περὶ λυτρώσεως καὶ σωτηρίας, περὶ ματαιότητος τῶν τοῦ Κόσμου, καὶ περὶ ἀϊδίου ὀλβιότητος (1).

Τὸ ὕψιστον Θεῖον ἢ Βράχμα, εἰς τὸ πλήρωμα τοῦ χρόνου δημιουργῆσαι θέλων τὸν σύμπαντα Κόσμον, παράγει ἐξ ἑαυτοῦ τὴν Βαρβανὴν ἢ Μαΐαν (ἀρχαίγονον ὕλην)· καὶ ὡς ἀπαύγασμα αὐτοῦ ἀγεννήτως, τοὺς τρεῖς μεγάλους θεοὺς, ἤγουν τὸν Βραχμᾶν, τὸν Βισνοῦν, καὶ τὸν Σίβαν, ἥτις ἐστὶν ἡ ἐν τρισὶ δυνάμεσι κοσμικὴ μονὰς, δι' ἧς δημιουργεῖ, συνέχει, καὶ φθείρει τὰ πάντα. Οἱ τρεῖς οὗτοι θεοὶ ἔχουσι θείας καὶ ἀνθρωπίνους ἰδιότητας (2).

Ἀλλ' ἐξ αὐτῶν τῶν τριῶν θεῶν ὁ δημιουργὸς Βραχμᾶς ἐστιν ἀτελής; ὁπωσοῦν Θεός· ὁ δὲ ὀλλύων Σίβας, σκληρὸς καὶ

---

(1) Ἰτιχάσα-Σαμουτσαΐκ προοίμιον δίστ. 11 ἕως 15 κεφ. ιά. ιστ' καὶ ιθ'.
(2) Polier Mythologie des Indous, Ch I. p. 156—157.

αἱμοχαρής· μόνος ὁ Βισνοῦς ἐστιν ἡ αὐταγαθότης καὶ ἡ τελειότης. Ὅθεν καὶ τὸ ὕψιστον Θεῖον εἶπεν εἰς τὸν Βραχμᾶν, ὅτι ἐγὼ, ὢν ἀόρατος καὶ ἀκατάληπτος, ὁρατὸς καὶ καταληπτὸς γίνομαι ἐν τῇ οὐσίᾳ τοῦ Βισνοῦ (1).

Τούτων οὕτως ἐχόντων, εἰς τρία διαιρεῖται ἡ τῶν Ἰνδῶν θεολατρεία·

ά. Οἱ τὸ ἀπόλυτον καὶ ὕψιστον Θεῖον (Βράχμα) λατρεύοντες, οἵτινες Σίκκες (Sicks) καλοῦνται (2). Οὗτοι, ὡς καθαροὶ μονοθεϊσταὶ καὶ πνευματισταὶ, δέχονται μὲν τὰ περὶ τοῦ *ἑνιαίου Θεοῦ* δόγματα τῶν Βεδῶν, οὐδόλως δὲ τὴν ὕπαρξιν τῶν τριῶν μεγάλων θεῶν, οὐδὲ τοὺς μετὰ τούτους κατωτέρους θεοὺς λατρεύουσιν.

β´. Οἱ μετὰ τοῦ ὑψίστου Βράχμα, καὶ τοὺς τρεῖς πρώτους θεοὺς πρεσβεύοντες· ἤγουν Βραχμᾶν, Βισνοῦν, καὶ Σίβαν· ἀλλ᾽ ἐξ αὐτῶν, τοὺς δύο μόνον τελευταίους προσκυνοῦσι. Οἱ δὲ πλειότεροι καὶ σοφώτεροι, μόνον τὸν μέγαν Βισ-

(1) Ἕνεκα τούτου φαίνεται, ὅτι οἱ Ῥίσχοι, οἱ προφητάνακτες, καὶ πάντες οἱ θεῖοι παρ᾽ Ἰνδοῖς πατέρες, θεολόγοι, καὶ Βραχμᾶνες, τὸν μὲν Βραχμᾶν θεωροῦσιν ὡς θεὸν ἐμπαθῆ, ἀτέλειάν τινα ἔχοντα· τὸν δὲ Σίβαν ὡς σκληρὸν, καὶ φθοροποιὸν, ὅτι καὶ ἡ κοσμικὴ ὕπαρξις, καὶ ἡ κοσμικὴ φθορὰ εἰσὶν ἐπίσης ἀτελεῖς. Μόνος ἄρα ὁ Βισνοῦς, ὁ διὰ τῆς ἀπείρου αὐτοῦ ἀγαθότητος συνέχων, διακοσμῶν, καὶ περιέχων τὰ σύμπατα, ἐστι τέλειος Θεὸς καὶ τέλειος ἄνθρωπος. Οὗτος ὑπέστη ἐννέα ἐπιπόνους ἐνσαρκώσεις πρὸς καταστροφὴν τῆς κακίας, καὶ πρὸς σωτηρίαν τῶν καταπιεζομένων ὑποδεεστέρων θεῶν τε καὶ ἀνθρώπων. Ὁ δὲ Ὕψιστος εἶπε ῥητῶς· « Ὅτι ἡ οὐσία τοῦ Βισνοῦ ἐστιν ἡνωμένη μετὰ τῆς ἰδικῆς μου. Δι᾽ αὐτοῦ γίνομαι ὁρατὸς καὶ καταληπτός. Ὁ λατρεύων αὐτὸν, λατρεύει ἐμέ· καὶ ὁ μετ᾽ αὐτοῦ ἑνωθεὶς ἑνοῦται ἀϊδίως μετ᾽ ἐμοῦ κτλ. »

Ἴδε Πολιέρον Μυθολ. Ἰνδῶν κεφ. I. σελ. 173 καὶ κεφ. II. σελ. 231—232. 233.

(2) Polier. Αὐτόθι ch. I. p. 151.

νοῦν λατρεύουσιν, ὃν ὁμοούσιον τῷ ὑψίστῳ Βράχμα πρεσβεύουσι, Θεὸν τῶν θεῶν ἀποκαλοῦσι, καὶ ὑπέρτατον πάντων δοξάζουσι (1).

γ΄. Εἰσὶ δὲ ἄλλοι, οἵτινες ὅλως ἀρνούμενοι τὴν ὕπαρξιν τοῦ Θεοῦ καὶ τῶν θεῶν· ἀγέννητον δὲ καὶ ἄφθαρτον, αὐτόματον καὶ ἄνευ προνοίας τὸ πᾶν κυβερνώμενον φρονοῦσι.

Ἐκ τούτων καὶ αἱ δοξασίαι τῶν θεοσόφων εἰς τρεῖς διαιροῦνται κυριωτέρας τάξεις· εἰς τὰς τῶν Μονοθεϊστῶν, Πολυθεϊστῶν, καὶ Ἀθέων· ἢ ὀρθοδόξων, ἑτεροδόξων, καὶ ἀσεβῶν. Εἰς τὰ συγγράμματα τῶν δύο πρώτων εὑρίσκεται, ἐναντιῤῥήτως, πᾶσα ἡ μεταφυσικὴ θεολογία, οὐ μόνον τῶν Πυθαγορείων,' ἀλλὰ καὶ τῆς Ἀκαδημίας, τοῦ Λυκείου, καὶ τῆς Στοᾶς. Εἰς δὲ τὰ τῶν δευτέρων παρατηροῦνται αἱ ἀρχαὶ τῆς Ἰωνικῆς φιλοσοφίας, αἱ δοξασίαι τῶν ἀτομιστῶν, καὶ ὑλιστῶν, ἀρχαίωντε καὶ νεωτέρων, προσπαθούντων ἵν' ἐξηγήσωσι διὰ καθολικῆς τινος δυνάμεως, ἤ, ὡς ἄλλοι λέγουσι, διὰ παγκοσμίου τινὸς ψυχῆς, τὴν δημιουργίαν, τὴν παγκόσμιον τάξιν, τὴν ψυχὴν τοῦ ἀνθρώπου, καὶ τὰς δυνάμεις καὶ ἐνεργείας αὐτῆς. Οἱ τοιοῦτοι, ὡς καινοφανῆ ἰδέαν ἐκλαμβάνοντες τὴν ἄρνησιν τῶν παραδεδεγμένων, πίπτουσιν εἰς μυρίας ἀντιφάσεις, ὡς συνέβη καὶ εἴς τινας τῶν νεωτέρων σοφῶν, οἵτινες τὰ ἀρχαῖα φιλοσοφήματα ἀναμασῶντες, παρουσιάζουσιν ὡς καινοφανεῖς, μετά τινος ἠθικοῦ μανδύα περιβεβλημένας, τὰς ἀπηρχαιομένας δοξασίας τῶν παλαιῶν φιλοσόφων.

---

(1) Polier Αὐτόθι.

Ἄξιον δὲ περιεργείας, ὡς ἐῤῥέθη, ἐστὶν, ὅτι ἡ πηγὴ τῶν πολυειδῶν θεοσοφημάτων εἰσὶν αἱ Βέδαι, ὧν τὸ κῦρος πάντες παραδέχονται· ἀλλ' ἔχουσαι ὕφος σκοτεινὸν καὶ ἀλληγορικὸν, ἀπαιτοῦσιν ἑρμηνείας καὶ ἐξηγήσεις, εἰς ἃς ἐνασχολούμενος ἕκαστος τῶν φιλοσόφων ἐβυθίσθη εἰς τὰ πελάγη τῆς εἰκασίας, καὶ ἀπομακρυνθεὶς τῆς ὁδοῦ, εἰς παντοδαπὰς δοξασίας ἐξώκειλε (1).

Τινὲς, π. χ. φρονοῦσιν, ὅτι τὸ *ἄκρον ἐφετόν* ἐστιν ἡ ἀρετή. Ἄλλοι, ὁ πλοῦτος· Οὗτοι ἡ τρυφή· ἐκεῖνοι, ἡ ἀθανασία, καί τινες τὰ τέσσαρα ταῦτα ὁμοῦ. Τινὲς πάλιν δοξάζουσιν, ὅτι τὸ ἄκρον ἐφετόν ἐστιν ἡ θεογνωσία. Τινὲς ἡ ἐλεημοσύνη· ἄλλοι, ὁ πρὸς πᾶν ἔμψυχον οἶκτος· οὗτοι ἡ εὐθύτης, ἐκεῖνοι ἡ ἱλαρότης· ἕτεροι ἡ γνῶσις τῶν ὄντων κτλ.

Ἡ αὐτὴ ἀμφιβολία ἐστὶ καὶ περὶ τῆς γνώσεως καὶ τῆς λατρείας τοῦ ἀληθοῦς Θεοῦ. Καθότι, οἱ μὲν φρονοῦσιν, ὅτι εἷς ἐστιν ὁ Θεὸς, ἄϋλος, ἄναρχος, ἀκατάληπτος, καὶ πανσθενής. Οἱ δὲ, ὅτι, ἐκτὸς τούτου, εἰσὶ καὶ ἕτεροι τρεῖς μεγάλοι θεοὶ ἐξ αὐτῆς τῆς θελήσεως τοῦ ὑψίστου ἐκπορευθέντες. Ἄλλοι ἐκτὸς αὐτῶν, καὶ πλῆθος ἄλλων θεῶν ὑποδεεστέρων λατρεύουσιν.

---

(1) Κεφ. λγ'. δίστ. 56.

Οἱ σχολιασταὶ ἀναφέρουσιν, ὅτι ὁ Βεάσας μεταῤῥυθμίσας τὰς τέσσαρας Βέδας ἐδίδαξεν ἀνὰ μίαν εἰς ἕνα ἕκαστον μαθητήν· ἤγουν τὴν μὲν Ῥίτχη-Βέδαν πρὸς τὸν Πείλην· Τὴν Ὑαδιοὺχ-Βέδαν εἰς τὸν Οὐαϊσάμπα-Ὑάναν· τὴν Σάμαν Βέδαν εἰς τὸν Ἰδιαμινήν· τὴν δὲ Ἀθαρβάνα Βέδαν εἰς τὸν Σουμαντοῦ. Οὕτω καὶ τὰς Πουράνας εἰς τὸν Σοῦταν. Ἕκαστος τούτων ἐδίδαξε τὴν Βέδαν αὐτοῦ εἰς ἄλλους μαθητὰς, καὶ οὗτοι πάλιν εἰς ἄλλους· ὥστε προϊόντος τοῦ χρόνου ἐκ τῆς ἐξηγήσεως τῶν διαφόρων τευχῶν ἀνεφάνησαν 1100 θεολογικαὶ σχολαὶ διαφοροτρόπως ἐξηγοῦσαι τὰ σκοτεινὰ τῶν γραφῶν χωρία. Ῥαμμοχούνμ Ῥόη. Αὐτόθι. — Φιλολ. Πάνθ. σελ. 329.

Ἕτεροι δὲ ὅτι μόνος ὁ Βισνοῦς ὁμοούσιός ἐστι τῷ Ὑψίστῳ, καὶ αὐτὸν ὡς τὸν ἐν ὕλει Θεὸν προσκυνοῦντες, τὸν νοῦν εἰς τὸ ἄϋλον ἀναβιβάζουσιν. Ἄλλοι ὅμως, ἀρνούμενοι τὴν ὕπαρξιν τοῦ Θεοῦ καὶ τῶν θεῶν, φρονοῦσιν, ὅτι τὸ πᾶν τοῦτό ἐστιν αὐτόματον καὶ ἄνευ προνοίας· αὐτὸ δὲ καὶ ἡμᾶς καθαρὰν ὕλην φρονοῦσι (1). Τινὲς δὲ πάλιν ἀρνούμενοι Θεὸν ἅμα καὶ ὕλην, δοξάζουσιν, ὅτι τὸ πᾶν ἐστιν ἀνείδεον καὶ ἀνύπαρκτον· πάντα δὲ τὰ γιγνόμενα καθαρὰ φαντάσματα, καὶ ὡς οἱ ἐν ὕπνῳ ὄνειροί εἰσιν (2).

Ἡ αὐτὴ σύγχυσις ὑπάρχει καὶ περὶ ψυχῆς. Οἱ μὲν φρονοῦσιν, ὅτι ὑπάρχει μία καθολικὴ ψυχὴ, τὰ πάντα ζωογονοῦσα· οἱ δὲ πολλὰς, καὶ ἐν πᾶσι τοῖς ἐμψύχοις (3). Τινὲς, ὅτι ἡ ψυχὴ εἶναι ἀνώλεθρος καὶ ἀϊδία· οἱ δὲ, ὅτι ὑπάρχει καθ᾽ ὅσον καὶ τὸ σῶμα· τούτου δὲ διαλυομένου, διαλύεται καὶ ἐκείνη (4). Ὥστε κατ᾽ αὐτοὺς ἡ ψυχὴ οὐκ ἔστιν οὐσία αὐθύπαρκτος, συνείδησιν ἑαυτῆς ἔχουσα· ἀλλ᾽ ἁρμονία τις τῶν διαφόρων μερῶν τοῦ ὀργανισμοῦ, ὡς ἡ ἁρμονία τῆς λύρας καὶ τῶν χορδῶν (5). Ἄλλοι δοξάζουσιν, ὅτι τὸ πᾶν τοῦτο καὶ ἡμεῖς πάντες ἐσμὲν ὡς ῥεῦμα ἀεννάως ῥέον. Γένεσις, ἑπομένως, ἀλλοίωσις, φθορὰ, καὶ παλιγγενεσία τῶν

(1) Ἄλλοι δὲ λίαν κακόφρονες, καὶ ἄθεοι λέγουσιν, ὅτι τὸ πᾶν ἀδέσποτόν ἐστι καὶ ἀπροστάτευτον. (Ἰτιχ. δίστ. 51—58.)

(2) Τοιαύτην τινὰ ἰδέαν ὁ θεῖος Πλάτων ἐξηγεῖ ὡς πρὸς τὰς ἐπὶ τοῦ τειχίου σκιὰς « κινδυνεύει γὰρ ἡμῶν ἕκαστος, οἷον ὄναρ εἰδὼς ἅπαντα πάντ᾽ ἀν πάλιν ὥσπερ ὕπαρ ἀγνοεῖν. (Πλάτ. πολιτεία βιβλ. ζ΄. στ΄).

(3) Ἰτιχάσα δίστ. 59.

(4) Αὐτόθι δίστ. 60.

(5) Ὅτι τοιοῦτόν τι μάλιστα ὑπολαμβάνομεν τὴν ψυχὴν εἶναι, ὥσπερ ἐντεταμένου τοῦ σώματος ἡμῶν, καὶ ξυνεχομένου ὑπὸ θερμοῦ καὶ ψυχροῦ, καὶ

ὄντων ἐστὶ παγκόσμιός τις χείμαῤῥος, ῥέων ἀδιακόπως εἰς αἰῶνας αἰώνων (1).

Πολυειδῶν οὖν οὐσῶν τῶν τε δοξασιῶν, καὶ τῶν συστημάτων, οἱ ἄνθρωποι ἐν ἀπορίᾳ εἰσὶ περὶ τῆς γνώσεως τοῦ ἀληθινοῦ Θεοῦ, περὶ τοῦ Κόσμου, καὶ περὶ Ψυχῆς (2). Ταῦτα πάντα γινώσκων ὁ θεῖος Βεάσας, λέγει ὁ Βραχμὰν Ῥαμμοχοῦν-Ῥόης ἐν τῷ προῤῥηθέντι συγγράμματι, πρὸ δύο χιλιάδων ἐτῶν, ἀφ' οὗ ἔθετο ἐν τάξει τὰς Βέδας, καὶ εἰς βιβλία καὶ Κεφάλαια διήρεσεν, οὗ ἕνεκα καὶ Βεδα-Βεάσας ἐκλήθη, συνέταξε καὶ ἐπιτομὴν αὐτῶν, εἰς ἣν τὰς διαφόρους τῶν Βεδῶν ῥήσεις ἐν ἁρμονίᾳ ἀπέδειξε, τὸ γράμμα καὶ τὸ πνεῦμα αὐτῶν ἑρμηνεύσας. Τὸ σύγγραμμα τοῦτο καλεῖται Βεδάντα (Vedant), ἐπίθετον συγκείμενον ἐκ δύο Σανκριτικῶν λέξεων, αἵτινες σκοπὸν καὶ ἑρμηνείαν τῶν Βεδῶν φανερώνουσιν. Αὐτὸ μετ' εὐλαβείας ἀναγινώσκουσιν οἱ πανδῖται ἢ λόγιοι, καὶ οἱ Βραχμᾶνες· τὸ δὲ κῦρος αὐτοῦ ὅμοιόν ἐστι τῷ τῶν ἱερῶν γραφῶν (3). Τὸ πνεῦμα οὖν τῶν Βεδῶν

ξηροῦ καὶ ὑγροῦ, καὶ τοιούτων τινῶν κρᾶσιν εἶναι καὶ ἁρμονίαν αὐτῶν τούτων τὴν ψυχὴν ἡμῶν, ἐπειδὰν ταῦτα καλῶς κραθῇ πρὸς ἄλληλα. Εἰ οὖν ψυχὴ τυγχάνει οὖσα ἁρμονία τις, δῆλον, ὅτι ὅταν χαλασθῇ τὸ σῶμα ἡμῶν ἐμμέτρως, ἢ ἐπιταθῇ ὑπὸ νόσων καὶ ἄλλων κακῶν, τὴν μὲν ψυχὴν ἀνάγκη εὐθὺς ὑπάρχει ἀπολωλέναι, καί περ οὖσαν θειοτάτην, ὥσπερ καὶ αἱ ἄλλαι ἁρμονίαι . . . Τὰ δὲ λείψανα τοῦ σώματος ἑκάστου πολὺν χρόνον παραμένειν, ἕως ἂν ἢ κατακαυθῇ, ἢ κατασαπῇ. (Πλάτων Φαίδων §. 80).

(1) Ἰτιχ. δίστ. 61. Τοιοῦτός ἐστιν ὁ ἀένναος ῥοῦς τῶν ὄντων τοῦ Ἡρακλείτου, ἀπεικάζοντος τὰ ὄντα ποταμοῦ ῥοῇ, καὶ δι' αὐτῆς τὴν ὄντως τῶν ὄντων ἁπάντων μεταβολὴν καὶ κίνησιν ἐξηγοῦντος κατὰ τὸν θεῖον Πλάτωνα. (Ἴδε Κρατύλον).

(2) Ἰτιχ. Κεφαλ. λγ'. δίστ. 56 καὶ Πολιέρος αὐτόθι.

(3) Ῥαμμοχοῦν εἰσαγωγὴ εἰς τὴν ἀνάλυσιν τῆς Βεδάντας σελ. 3—22. Ἀλλ' ἐξ ὅσων ἐῤῥέθησαν μέχρι τοῦδε παρατηρεῖ ὁ ἀναγνώστης, ὅτι αἱ φι-

ἐξηγήσας ἐν τῇ Βεδάντᾳ, ἡρμήνευσε καὶ ἐν τῷ ἐπεισοδίῳ τῆς Μαχαβαράτας, ἤτοι τὴν Γιτὰν, ἐξ ἧς ὁ ἀνώνυμος ἡμῶν ποιητὴς συνέλεξε κατ᾽ ἐκλογὴν, καὶ ἐν τῇ παρούσῃ πραγματείᾳ

λοσοφικαὶ αἱρέσεις καὶ τὰ συστήματα τῶν σοφῶν Ἰνδῶν εἰσὶν ἄξια σπουδαίας, τῷόντι καὶ σεβαρᾶς προσοχῆς, διά τε τὴν ποικιλίαν, καὶ τὸ ὕψος. Καθότι ἡ μεγαλοφυΐα αὐτῶν προσεγγίσασα τὰ δυσκολώτερα προβλήματα τῆς ἀνθρωπίνου διανοίας ἐπλησίασεν εἰς τὴν πρώτην αἰτίαν, καὶ ἐζήτησε τὴν λύσιν τῶν περὶ Θεοῦ, περὶ Κόσμου καὶ περὶ ψυχῆς ζητημάτων, ὡς ἔπραξαν καὶ οἱ ἀρχαῖοι σοφοὶ τῆς Ἑλλάδος, ἀπὸ τῆς ἐποχῆς τῶν ὁποίων ἤρχιζε, μέχρι τοῦδε, ἡ ἱστορία τῆς φιλοσοφίας, καὶ τοῦ ἀνθρωπίνου πνεύματος. Πλὴν καθὼς αὐτὰ, οὕτω καὶ ἐκεῖνα ἀπαιτοῦσι τὴν αὐτὴν μελέτην. Ἡ δὲ καθολικὴ ἱστορία τῆς φιλοσοφίας ἀτελὴς λογισθήσεται σήμερον, ἄνευ τῆς ἐκθέσεως καὶ τούτων, ὡς παρατηρεῖται εἰς τὴν ἱστορίαν τῆς φιλοσοφίας τοῦ Τενεμάννου, καί τινων ἄλλων.

Δὲν ἐξετάζομεν ἐπὶ τοῦ παρόντος ποῖα ποίων εἰσὶν ἀρχαιότερα, κατὰ πόσον συμφωνοῦσι, καὶ τίνες οἱ ἰδιάζοντες χαρακτῆρες μεταξὺ αὐτῶν, ὅπερ ἐστὶ ζήτημα ζωτικὸν, ἐμπεριέχον ἐν ἑαυτῷ τὴν ἀρχὴν, τὴν πρόοδον, καὶ πᾶσαν τὴν διανοητικὴν ἀνάπτυξιν τοῦ ἀνθρωπίνου νοός. Περὶ τούτου ἄλλοτε. Ἐπὶ δὲ τοῦ παρόντος, ἐπαναλαμβάνοντες τὰς ἐν τοῖς προλεγομένοις τῆς Γιτᾶς σκέψεις ἡμῶν (σελ. ξς΄. καὶ ἐφεξῆς), λέγομεν, ὅτι καλῶς μὲν ὁ φιλόσοφος Κουζῖνος (μαθημ· τοῦ 1829. ἔτους) εἰς ἕξ, τὰ κυριώτερα συστήματα, διήρεσε πᾶσαν τὴν Ἰνδικὴν φιλοσοφίαν· κακῶς ὅμως ἐτοποθέτησεν αὐτά. Καθότι τὸ σύστημα τῆς Βεδάντας, εἰς ὃ ἀνήκει ἥτε Γιτὰ, ἡ παροῦσα πραγματεία καὶ ἄλλα τοιαῦτα, ἔπρεπε νὰ τεθῇ τελευταῖον καὶ οὐχὶ πρῶτον.

Τὸ χειρόγραφον τῶν ἀφορισμῶν τῆς Βεδάντας, βάσις τοῦ Βεδαντικοῦ συστήματος, ἐδημοσιεύθη εἰς Καλκοῦταν κατὰ τὸ 1818 ἔτος. Ἐν αὐτῷ ὁ συγγραφεὺς ἀναφέρει καὶ ἀναιρεῖ ἓν κατόπι τοῦ ἄλλου ὅλα τὰ φιλοσοφικὰ συστήματα τῶν σοφῶν Ἰνδῶν, ἐννοεῖται τὰ ἀκμάσαντα πρὸ αὐτοῦ. Καθάπτεται τοῦ Καπήλα, τοῦ θεοποιήσαντος τὴν φύσιν. Προσβάλλει τὸ ἀτομολογικὸν σύστημα τοῦ Κανάδα, ἀποδίδοντος ἐξαίσιόν τινα δύναμιν εἰς τὰ ἄτομα· καταπολεμεῖ τὴν ἡδονὴν, βάσιν τοῦ Μιμάνσα, τοῦ Ζαϊμινῆ καὶ τῶν ἀρχαίων καὶ νεωτέρων ἐπικουρείων· ἀναιρεῖ τὰς περὶ ψυχῆς δοξασίας τοῦ Γαουτάμα, καὶ τὰς θεωρίας ὅλων συλλήβδην τῶν Βουδιστῶν παλαιῶν καὶ νέων. Ἐκ τούτου συμπεραίνει τις συμπέρασμα ἀναμφιλόγητον, ὅτι ἡ Βεδάντα ἐστὶ τὸ μεταγενέστερον φιλοσοφικὸν σύστημα, ὅλων τῶν ἄλλων, καὶ οὐχὶ ἀρχαιότερον πολλὺ τοῦ χριστιανισμοῦ. Ὁ συλλογισμὸς οὗτος ἀναιρεῖ τὴν δοξασίαν τοῦ Ῥαγιὰ Ῥαμμοχοῦν Ῥόη εἰπόντος, ὅτι πρὸ δύο χιλιάδων ἐτῶν ὁ Βεάσας ἐσύνθεσε τὴν Βεδάνταν, καὶ ἐξηγεῖ τὴν φαινομένην

κατεχώρησε. Διὰ τοῦτο καὶ ἀνεκτίμητος, εἶπον κατ' ἀρχὰς, ἐστὶν ἡ ἀξία τοῦ παρόντος ποιήματος, συγκεφαλαιοῦντος ἐν ὀλίγοις τὴν οὐσίαν, οὕτως εἰπεῖν, τῆς ἐπισημοτέρας Ἰνδικῆς θεοδιδασκαλίας, καὶ θεοσοφίας.

Καθὼς δὲ ἐν τῇ Γιτᾷ αὐτὸς ὁ Θεὸς Κρισνᾶς ἐξηγεῖ τὸ περὶ τῆς ὑπερουσίου αὐτοῦ οὐσίας μυστήριον, οὕτω καὶ ἐνταῦθα. Διότι ὁ ὅσιος Πουνδαρήκας, γινώσκων, λέγει, τὰ διάφορα δόγματα τῶν θεολόγων, καὶ τὰ τῶν φιλοσόφων συστήματα, καὶ τὴν ἔννοιαν τῶν γραφῶν μὴ δυνάμενος ἐννοῆσαι, ἐγκατέλιπε τὸν πατρικὸν οἶκον, πλήρη ὄντα ἀγαθῶν, καὶ περιήρχετο τοὺς ἁγίους τόπους, συμβουλευόμενος τοὺς ἐκεῖ διατρίβοντας σοφωτέρους τῶν Βραχμάνων καὶ ἀσκητῶν. Φθάσας δὲ εἰς τὴν ἱερὰν Σαλαγράμαν, διέτριβε μονάζων, καὶ θεωρίαν ἀτενῆ ποιῶν εἰς Θεὸν, ἐγκρατείᾳ καὶ σκληραγωγίᾳ, προσευχῇ καὶ ἀπαθείᾳ χρώμενος (1).

Ἐν μιᾷ δὲ τῶν ἡμερῶν προσευχόμενος εἶδεν αἴφνης τὸν Θεὸν Ναράδαν, ἐλθόντα πρὸς αὐτόν. Τοῦτον προσκυνήσας, ὡς τὸ εἰκὸς, ἠρώτησε περὶ τοῦ *ὑψίστου Θείου*. Ὁ δὲ ὑπολαβὼν εἶπεν·

« Πολυειδῆ εἰσι, τφόντι, τὰ περὶ Θεοῦ καὶ τῶν θεῶν θεολογούμενα· πολυάριθμα δὲ καὶ τὰ τῶν σοφῶν φιλοσοφή-

---

ὁμοιότητα πολλῶν χριστιανικῶν ἐννοιῶν. Διότι φιλοσοφία, ὡς ἡ τῆς Βεδάντας, ἀναφέρουσα καὶ πολεμῶσα, ὅλα τὰ ἀρχαῖα φιλοσοφήματα, ἐστὶ μεταγενεστέρα τούτων, καὶ ὡς ἡ τῶν Νεοπλατονιστῶν, ἀναμιγνύουσα τὸ ἀρχαιότερον μετὰ τοῦ νεωτέρου, δεικνύει ὅτι καὶ μεταγενεστέρα ἐστὶ, καὶ συνέπεια μακρᾶς καὶ πεισματώδους θεολογικῆς ἔριδος.

(1) Ἰτιχ. Κεφ. λγ'. δίστ. 20—40.

ματα, τά τε ἠθικὰ παραγγέλματα, αἱ ἱεροπράξίαι, καὶ τὰ νόμιμα. Ἐκ τούτων μεγίστη ἐπακολουθεῖ ἀπορία καὶ δυσταγμὸς τοῖς ἀνθρώποις, καὶ οὐκ ἔστιν εἷς φιλόσοφος, ὅστις διὰ νέων ἐπιχειρημάτων τὴν ἑαυτοῦ δοξασίαν δὲν ὑπεστήριξεν (1). Ἐν τοιαύτῃ συγχύσει μία ἐστὶν ἡ ἀσφαλὴς ὁδὸς πρὸς εὕρεσιν τῆς ἀληθείας, ὡς ἐγὼ ἐπληροφορήθην μετὰ τὴν μελέτην ὅλων τῶν θεολογικῶν βιβλίων, καὶ τὴν ἔρευναν ὅλων τῶν φιλοσοφικῶν συστημάτων· ἐκείνη δηλονότι, ἣν ὥδευσαν οἱ ὅσιοι ἡμῶν προπάτορες, καὶ ἣν ἀκολουθοῦσι σήμερον οἱ ἔμφρονες καὶ ἐνάρετοι ἄνδρες (2). Ἄκουσον οὖν μετὰ προσοχῆς· λόγον γὰρ λέξωσοι σύντομον μὲν, ὑψηλὸν δὲ καὶ σοβαρὸν σφόδρα. Ἡ ὅρασις ἡμῶν οὐ βλέπει τὰ πόῤῥω ὄντα, τὰ παρελθόντα, καὶ τὰ μέλλοντα· ἀλλ' ἐκ τῶν ὁρωμένων καὶ τῶν παρόντων εἰκάζει καὶ ταῦτα, κἀκεῖνα. Οἱ ἄνθρωποι οὖν βλέποντες τὴν τοῦ παντὸς δημιουργίαν, πῶς οὐχ ὁρῶσι καὶ τὸν πάνσοφον Δημιουργόν (3); Ὁ θεῖος λόγος ὁ ἐρχόμενος ἐκ τῆς παραδόσεως τῶν πρώην ἁγίων πατέρων καὶ τῶν γραφῶν, καὶ ὃν πιστεύουσιν οἱ ἱεροὶ ἄνδρες, καὶ ὁ συλλογισμὸς παραδέχεται, ἐστὶν ὡς ἡ ἠθικὴ, τρόπον τινα, καὶ δευτέρα ἐμφάνισις τοῦ ὑψίστου Θείου. Ἐκ τῆς μελέτης τοῦ θείου τούτου λόγου ἐπιγίνεται ἡ θεία γνῶσις, δι' ἧς γινώσκεται ἀκριβέστερον τὸ Θεῖον, τὸ ἀειχαρὲς, τὸ ἄϋλον, τὸ ἄφθαρτον, τὸ μονοειδὲς καὶ ἀνείδεον· καθ' ἑαυτὸ μὲν ἀόρατον καὶ ἀκατάληπτον, ὁρατὸν δὲ καὶ καταληπτὸν ἐκ τῶν

(1) ἸτιχασαΣαμουτσ. σ̓ίστ. 65.
(2) Αὐτόθι δίστ. 69.
(3) Αὐτόθι δίστ. 68.

ἔργων, καὶ τῆς ὁρατῆς κτίσεως, τὸ καλούμενον *Βισνοῦ*· διότι πανταχοῦ πάρεστι· τὸ ὂν μὲν ἀδιαίρετον, ὂν δὲ, ὡς διῃρημένον· ὅτι τὸ μὴ ὂν, διὰ τῆς δυνάμεως αὐτοῦ γίνεται Ὄν. Οὗτός ἐστιν ὁ ἀληθὴς Θεὸς, γνωστὸς μὲν τοῖς θεόφροσι καὶ θεοσεβέσιν, ἄγνωστος δὲ τοῖς ἀθέοις, τοῖς ἀσεβέσι καὶ καὶ ἄφροσι. Τοιοῦτον δὲ ὂν τὸ Θεῖον, θεωρεῖται δ' ὅμως ὑπὸ τῶν ἀνοήτων ἐν διαφόροις ὀνόμασι καὶ μορφώμασι (1). Σὺ δὲ ἄκουσον μετὰ προσοχῆς τοῦ λόγου, ὃν ἔμαθον παρὰ τοῦ προπάτορος Βραχμᾶ, ἐρωτήσας αὐτὸν ποία ἐστὶν ἡ ἀνωτάτη γνῶσις καὶ θεωρία. »

Οὕτως προχωρῶν ὁ Ναράδας ἐκ τοῦ γνωστοῦ πρὸς τὸ ἄγνωστον, ἐκ τοῦ συγκεκριμένου πρὸς τὸ ἀφῃρημένον, καὶ ἐκ τῆς κτίσεως πρὸς τὸν Κτίστην λέγει· « Τὰ μὲν ὁρατὰ ὄντα, ὡς παρά τινος γεγονότα, ὀνομάζονται *Ναρά*· ὁ δὲ Θεὸς, ὑπέρτερος ὢν τῆς ὕλης καὶ τῶν δυνάμεων, αἰτία δὲ τῶν ὄντων, καλεῖται *Νάρας*· ὥστε Νάρας μὲν ὁ Θεὸς, Ναρὰ δὲ τὰ παρ' αὐτοῦ δημιουργηθέντα ὄντα. Καὶ ἐπειδὴ τὸ μὴ ὂν διὰ τῆς θελήσεως αὐτοῦ γίνεται ὄν, καὶ τὸ ὂν οἴκημα, οὕτως εἰπεῖν, τῆς δυνάμεως αὐτοῦ ἐστι, διὰ τοῦτο καλεῖται *Ναραϊάνας*, ἤγουν ὀντοποιὸς, ποιητὴς τοῦ ὄντος, πλάστης, καὶ δημιουργὸς αὐτοῦ καὶ τοῦ σύμπαντος. Τὸ ὂν οὖν περιέχει τὴν δύναμιν τοῦ Θεοῦ οὐχὶ ὡς ἡ ἔννοια τοῦ κεραμέως εἰς τὸ κατασκευασθὲν ἀγγεῖον, ἀλλ' ὡς δύναμις ὑπαρκτικὴ καὶ οὐσιώδης. Ἐκ τούτου τὸ πολυθρύλλητον ἀξίωμα, ὅτι ὁ Θεὸς ἐστὶν ἐν τοῖς οὖσιν· οὐχὶ δηλονότι ὡς ὕλη, ἀλλ ὡς

(1) Ἰτιχασα-Σαμουτσ, Αὐτόθι δίστ. 74.

δύναμις. Αὐτός ἐστιν ὁ μέγας Θεὸς, φανερωθεὶς ἐν αὐτῇ τῇ δημιουργίᾳ, καὶ τῇ διατηρήσει τοῦ ὄντος. Αὐτός ἐστι τὸ ὕψιστον Θεῖον, τὸ ὑπέρτατον φῶς, ἡ ὑπερτάτη ψυχὴ, ὁ ὑπέρτερος παντὸς ὑπερτέρου, καὶ πανυπέρτερος (1). Καὶ ἐπειδὴ τὰ ὄντα, πᾶν αἰσθητὸν καὶ νοητὸν, ὁρατὸν καὶ ἀόρατον παρ' αὐτοῦ ἐδημιουργήθησαν καὶ συνέχονται ἐν καιρῷ τῆς κοσμογονίας· εἰς αὐτὸν ἐπιστρέψουσιν ἐν καιρῷ τῆς πανωλεθρίας, καὶ ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ ἐν καιρῷ ἄλλης κοσμογονίας παλιγγεννηθήσονται. Ὁ Ναραϊάνας ἑπομένως ἐστὶν ὁ Κύριος τῶν ὅλων, ὁ Θεὸς τῶν θεῶν καὶ ἀνθρώπων, ὁ Βισνοῦς, καὶ τὸ Βράχμα, τὸ ἓν, καὶ ἡ τριὰς, καὶ τὸ μυστηριῶδες Ὄμ (Hom)!

Πιστεύων οὖν εἰς τοῦτον τὸν λόγον, ὃν κηρύττουσι τὰ ἱερὰ βιβλία, καὶ ὃν ἐπίστευσαν οἱ ἅγιοι πατέρες, καὶ πρεσβεύουσι σήμερον οἱ ἔμφρονες καὶ εὐσεβεῖς, λέγε· *Πιστεύω ἐξ ὅλης ψυχῆς καὶ διανοίας καὶ προσκυνῶ τὸν Ναραϊάναν*, ἤτοι τὸν Δημιουργὸν τοῦ παντός· αὐτὸν δοξολογῶν λάτρευε καὶ ἀτενεῖ τῇ διανοίᾳ θεώρει.

Αὕτη ἐστὶν, ὦ ἀγαθὲ, ἡ ὑπερτάτη γνῶσις καὶ θεωρία, ἡ ἀπόκρυφος θεοδιδασκαλία καὶ ἡ τῶν ἐπιστημῶν ἐπιστήμη. Ἄφες οὖν πάντας τοὺς δογματικοὺς λόγους, τὰ συστήματα τῶν φιλοσόφων, τὰς αἱρέσεις τῶν θεολόγων, καὶ τοὺς ἄλλους θεούς· αὐτὸν δὲ μόνον ἐν πίστει καὶ εὐλαβείᾳ ὑμνολόγει, καὶ μετ' αὐτοῦ ἑνωθήσῃ. Ἡ ἕνωσις αὕτη ἐστὶ τὸ πάνυ ἀγαθὸν, τὸ ἄκρον ἐφετὸν, καὶ τῶν ἀγώνων ἁπάντων τὸ κάλλιστον τέρμα.

(1) Ἰτιχασα. *δίστ.* 82—87.

«Οὗτος ὁ Θεὸς, ὡς τῶν ὄντων δημιουργὸς, καλεῖται Ναραϊάνας· ὡς συνέχων τὰ ὄντα, Βισνοῦς· ὡς συντηρῶν αὐτά, Βασσαδέβας. Καλεῖται δ' ἅμα καὶ Βραχμαπάρας, ἤτοι ὕψιστον Θεῖον· ὥστε εἷς ἐστιν ὁ Θεὸς, καί τοι πολυώνυμος, Ναραϊάνας, Βισνοῦς, ὕψιστος καὶ προαιώνιος Θεὸς, ὃν ὕμνησαν οἱ πατέρες ἡμῶν, καὶ ὃν ὑμνοῦσιν οἱ νῦν τῇ θεωρίᾳ προσκείμενοι, καὶ τὴν ἀρετὴν ἀσκοῦντες θεόφρονες. Οἱ ὑλόφρονες ἑπομένως, οἱ τὸ πᾶν αὐτόματον δοξάζοντες, καὶ οἱ ὅλως πνευματισταὶ, οἱ μὴ προσκυνοῦννες αὐτὸν, ἐπειδὴ ἔγκεινται τοῖς ὑλικοῖς οὖσιν, οὗτοι, λέγω, ὑπὸ ψευδῶν σοφισμάτων ἀπατώμενοι πλανῶνται (1). Ἐγὼ, ἀκολουθεῖ, ἐρευνήσας κατὰ βάθος πάντα τὰ ἱερὰ βιβλία, καὶ τὰς διαφόρους δοξασίας τῶν φιλοσόφων μελετήσας, τοῦτο μόνον εὕρηκα τὸ κύριον, ὅτι ὁ Ναραϊάνας, ἤγουν ὁ δημιουργὸς Βισνοῦς, ἐστὶν ἀεὶ θεωρητέος καὶ λατρευτέος (2). Τοῦτον οὖν θεωρῶν καὶ λατρεύων ὁ ἐνάρετος τυγχάνει τοῦ οὐρανοῦ. Ταῦτα δ' ἀκολουθῶν τις ἐν πολλαῖς γενέσεσι καθαρίζεται· καθαριζόμενος δὲ γίνεται θεόφρων, καὶ ἐπὶ τέλους ἑνοῦται ἡ ψυχὴ αὐτοῦ ἀϊδίως μετὰ τοῦ Θεοῦ, καὶ ἀποθεοῦται.»

Ταῦτα εἰπὼν ὁ μὲν Ναράδας ἐγένετο ἄφαντος· ὁ δὲ Πουνδαρήκας, ἔχων τὸν Ναραϊάναν ἐν τῇ καρδίᾳ καὶ τῇ διανοίᾳ, ἐλάτρευεν αὐτὸν ἐν ὁσιότητι καὶ ἀπαθείᾳ. Καί ποτε ὁ Βισνοῦς ἐπεφάνη αὐτῷ σωματικῶς· ὁ δὲ δοξολογήσας τὸν Θεὸν ἐθεώρει ἐν ἐκστάσει αὐτόν. Καὶ ὁ μὲν Βισνοῦς εἶπεν· « Ἥσθην ἐπὶ τῇ σῇ πίστει· αἴτησον οἵαν θέλεις χάριν·»

(1) Ἰτιχασ. διστ. 113.
(2) Αὐτόθι διστ. 99. Πολιέρου Μυθ. Ἰνδ. Κεφ. IV.

ὁ δὲ « Ποίησον, ἀπήντησεν, ὅ,τι ἐστιν εἰς ἐμὴν ὠφέλειαν. » «Ἐλθὲ οὖν μετ᾽ ἐμοῦ· » καὶ ἐκ τῆς χειρὸς λαβὼν ὁ θεὸς ἐκάθισεν αὐτὸν ἐπὶ τοῦ Γαρούδα (ἀετοῦ καὶ συμβόλου τοῦ Βισνοῦ· τούτου γὰρ ἱερὸς εἶναι λέγεται), καὶ ἀνῆλθεν εἰς τὸν οὐρανὸν, ὑμνούμενος παρὰ πάντων τῶν θεῶν.

Ἀνακεφαλαιοῦντες πᾶσαν τὴν σοβαρὰν πραγματείαν τοῦ παρόντος Ποιήματος, εὑρίσκομεν αὐτὴν εἰς δύο διῃρημένην· ἠθικὴν, λέγω, καὶ θεολογικήν. Εἰς τὸ πρῶτον δεικνύει ὁ ποιητὴς ἅπαν τὸ κάλλος τῆς ἀρετῆς δι᾽ ἰσχυρῶν λόγων, τερπνῶν ἀφηγήσεων, καὶ κομψῶν μύθων. Ἐκθέτει ἔπειτα πίνακα ἀρετῶν τε καὶ κακιῶν· παρίστησιν ἀφ᾽ ἑνὸς τὴν ἐπίγειον καὶ οὐράνιον εἰρήνην τῶν πρώτων, καὶ τὴν μετὰ τοῦ ἀϊδίου Θείου ἄφατον ἐπὶ τέλους ἕνωσιν· ἀφ᾽ ἑτέρου φαίνεται τὸ δυσειδὲς αἶσχος τῆς κακίας, καὶ ἡ τῶν φαύλων αἰώνιος τιμωρία.

Ἡ ἠθικὴ, παρ᾽ Ἰνδοῖς, εἰς δύο διαιρεθῆναι δύναται· ά. εἰς θρησκευτικήν· β΄. εἰς φιλοσοφικήν.

Ἡ μὲν πρώτη, πηγάζουσα ἐξ αὐτῶν τῶν θρησκευτικῶν δογμάτων, ὑποδιαιρεῖται εἰς δύο κλάδους. Ὁ μὲν διαλαμβάνει τὰ καθήκοντα τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν, πρὸς ἑαυτὸν, καὶ πρὸς τοὺς ὁμοίους αὐτοῦ· ὁ δὲ ἕτερος τὰ τῆς ἰδίας τάξεως καθήκοντα πρός τε τοὺς συναδέλφους, καὶ πρὸς ἑαυτὸν, ὡς μέλος τῆς ἧς ἀνήκει φυλῆς.

Ἡ δὲ δευτέρα, ἤτοι ἡ φιλοσοφικὴ, ἀναπτυσσομένη ἀποχρώντως ἐν τῇ χιτοπαδάσσᾳ, καὶ τῇ Γιτᾷ, ἐστὶν ἕνωσις τῶν φιλοσοφικῶν αἱρέσεων, καὶ τῶν θεολογικῶν δογμάτων, τῆς μυστηριώδους θεοδιδασκαλίας καὶ τῆς μεταφυσικῆς, ὡς ἐκθέτει αὐτὴν ὁ Κρισνᾶς (ὁ ἐνανθρωπήσας Βισνοῦς) ἐν αὐτῇ

τῇ Γιτᾷ, καὶ ὁ Ναράδας ἐν τῷ τριακοστῷ τρίτῳ Κεφαλαίῳ τοῦ παρόντος ποιήματος.

Πρωτίστη πασῶν τῶν ἀρετῶν ἐστιν ἡ εὐσπλαγχνία, ἐξ ἧς ἀμέσως παρέπεται ἡ φιλανθρωπία, ὁ πρὸς πάντα τὰ ἔμψυχα οἶκτος, τὸ ἔλεος καὶ ἡ φιλοξενία, ἡ τοῦ κινδυνεύοντος σωτηρία, καὶ ἡ πρὸς πάντας ἀνεξαιρέτως, καὶ πρὸς αὐτὸν τὸν κακοποιὸν εὐποιΐα, δι' ἧς ἡ ἠθικὴ ἀξία τοῦ ἀνθρώπου, καὶ ἡ τελειότης αὐτοῦ δείκνυται. Ὁποῖος δὲ βαθμὸς πολιτισμοῦ, ἠθικῆς τε καὶ διανοητικῆς ἀναπτύξεως διακρίνεται ἐν τῇ Ἰνδίᾳ εἴς τε τὴν ἔκθεσιν τῶν ἀναριθμήτων φιλοσοφημάτων, καὶ τοὺς προτρεπτικοὺς λόγους πρὸς ἐκπλήρωσιν τῶν ἀρετῶν τούτων καὶ τοῦ καθήκοντος !

Καθότι ἡ ἐλεημοσύνη, λέγει, δὲν συνίσταται εἰς τὴν μεγαλοδωρίαν· ἀλλ' ἐν τῇ δόσει τοῦ οὗ ἔχει ὀλίγου, πλὴν μετὰ καθαρᾶς καρδίας, μεθ' ἱλαροῦ προσώπου, μεθ' ἡδέων καὶ συμπαθητικῶν λόγων προσφερομένου. Ἡ αὐτὴ τελειότης παρατηρεῖται καὶ εἰς τὴν φιλοξενίαν, τὴν σωτηρίαν τοῦ κινδυνεύοντος, καὶ τὴν εὐποιΐαν, αἵτινες οὐκ ἔχουσι, τῳόντι, ὅριον παρ' Ἰνδοῖς.

Μετὰ τὰς ἀρετὰς ταύτας, αἵτινες ὡς προπαρασκευὴ εἰσι τελειοτέρων ἄλλων, ἕπονται ὅσαι συντελοῦσιν εἰς τὴν καθ' ἡμῶν αὐτῶν νίκην. Τοιαῦταί εἰσιν ἡ ἀπάθεια, ἡ ἐγκράτεια, ἡ χαλιναγωγία τῶν παθῶν καὶ τῶν αἰσθήσεων, ἡ περιφρόνησις τῶν τοῦ κόσμου, ἤγουν πλούτου, ἡδονῆς, φιλοδοξίας, χαρᾶς, ἀλγηδόνος, κτλ.

Μετὰ ταῦτα ὁ ποιητὴς χειραγωγεῖ ἡμᾶς εἰς τὴν θεοσέβειαν. Ἐνταῦθα ἀναιρεῖ πάσας τὰς πρὸ αὐτοῦ δοξασίας καὶ

πεποιθήσεις τῶν φιλοσόφων καὶ θεολόγων. Ἐγείρει θαῤῥαλέως τὸ κάλυμμα τοῦ συμβολισμοῦ, ὄπισθεν τοῦ ὁποίου κεῖται ἡ ἀλληγορία, καὶ ὁ θρησκευτικὸς μῦθος, καὶ μετ᾽ αὐτὸν αὐτὴ ἡ κυρίως ἔννοια τοῦ Ὁσίου. Διορίζει καθαρῶς τὸ σκοτεινὸν τοῦτο ἀντικείμενον, ἀναφέρων μὲν περὶ τοῦ ἀοράτου καὶ ἀκαταλήπτου, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ, καὶ ὁμοούσιον αὐτῷ δεικνύει τὸν ὁρατὸν καὶ καταληπτὸν Θεὸν Ναραϊάναν, ἤτοι τὸν δημιουργὸν τοῦ ὄντος, ὃν Βισνοῦν, Θεὸν τῶν θεῶν ὀνομάζει, καὶ ἐμφάνισιν αὐτοῦ τοῦ Ὑψίστου. Οὕτως καταπολεμήσας τὴν ὑλοφροσύνην, τὴν ἀθεΐαν, τὴν πολυθεΐαν, καὶ αὐτὸν τὸν καθαρὸν πνευματικὸν μονοθεϊσμὸν τῶν Σίκκων, παρουσιάζει νέον, οὕτως εἰπεῖν, μονοθεϊσμόν· οὐχὶ τὸν ἐκ τοῦ ἀκαταλήπτου· ἀλλὰ τὸν ἐκ τοῦ καταληπτοῦ· Θεὸν ἑνιαῖον, ἀπαύγασμα μὲν τοῦ ἀκαταλήπτου, καταληπτὸν δὲ καὶ παντοδύναμον δημιουργὸν, τὸν ἐνανθρωπήσαντα λέγω Βισνοῦν, πρὸς ὃν ἀπαιτεῖται πᾶσα ἡ τοῦ ἀνθρώπου ὑλικὴ καὶ νοερὰ λατρεία. Τὸ δὲ χαρακτηριστικὸν τοῦ θεοῦ τούτου ἐστὶν ἡ ἄπειρος ἀγαθότης (1).

Πῶς δὲ φθάνει ὁ ἄνθρωπος εἰς ταύτην τὴν θεογνωσίαν; Ἡ ἔρευνα, λέγει, τῶν θείων γραφῶν, αἵτινες ἐξηρεύθησαν ἐξ αὐτοῦ τοῦ στόματος τοῦ Θεοῦ, εἰσὶν ὁ θεῖος λόγος, καὶ ἡ ἠθικὴ αὐτοῦ θεοφάνεια. Ἡ μελέτη, οὖν τοῦ θείου λόγου, καὶ ἡ τῶν αἰσθήσεων χαλιναγωγία καθαρίζουσι τὸν νοῦν, καὶ καθεκτὴν ἀποκαθιστῶσι τὴν διάνοιαν, ἥτις φθάνει ἐπὶ τέλους εἰς τὴν θεογνωσίαν. Καθότι ἡ διάνοια ἡμῶν ἄλλα μὲν νομίζει ἀληθῆ, ἄλλα δὲ ψευδῆ. Καὶ ἄλλοτε μὲν ἔχει ἀμφιβολίαν ἢ δισταγμὸν, ἄλλοτε δὲ ἄγνοιαν καὶ ἀπά-

(1) Πολιέρου μυθολ. Ἰνδῶν τόμ. 1 κεφ. 11 σελ. 230—231.

την. Ἀπομακρυνθήτω οὖν ἡ διάνοια ἐκ τῆς τοιαύτης πλάνης διὰ τῆς ἀποστροφῆς παντὸς εἴδους φιλοϋλίας, καὶ ἐνασχοληθήτω τῇ μελέτῃ τοῦ θείου λόγου, δι' ἐγκρατείας καὶ ἀπαθείας. Οὕτω προσεγγίζει ὁ ἄνθρωπος εἰς τὸν Θεὸν ἀτάραχος. Ὁ δ' ἐγκαθείρξας τὸν νοῦν αὐτοῦ ἐν τῷ Θεῷ, γινώσκει τὸν Θεὸν, καὶ ἑαυτὸν, καὶ τὸν Κόσμον γινώσκει (1). Εἰς τοιοῦτον ὕψος εὑρισκόμενος ἐννοήσει εὐκολώτερον τὴν λύσιν τῶν περὶ Θεοῦ, περὶ Κόσμου, καὶ περὶ ἀνθρώπου σοβαροτέρων ζητημάτων. Καὶ καθὼς μωρὸς λογίζεται ὁ βλέπων τὴν δημιουργίαν καὶ τὸν Δημιουργὸν μὴ πιστεύων· οὕτω καὶ τὸ ὕψιστον Θεῖον ἄνευ δημιουργίας, ἐστὶν ἀκατάληπτον, καὶ ἰδέα καταπιέζουσα πᾶσαν τὴν διάνοιαν τοῦ ἀνθρώπου. Ὁ Θεὸς ἑπομένως, λέγουσιν οἱ τὸν Βισνοῦν λατρεύοντες Βραχμᾶνες, οὔτε γινώσκεται, οὔτε ἐννοεῖται, οὔτε δοξάζεται, εἰμὴ ἐν τῇ ἐνεργείᾳ καὶ ἐν τῇ ἐμφανίσει αὐτοῦ, ἤτοι ἐν αὐτῇ τῇ δημιουργίᾳ, καὶ ἕνεκα τούτου λατρευτέος ἐστὶ παρὰ πάντων τῶν δημιουργημάτων. Καὶ ἡ μὲν ὕλη τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου ὑπόκειται εἰς ἀλλοίωσιν καὶ φθορὰν, ἐξ ἧς ὁ παγκόσμιος ῥοῦς τῶν ὄντων, γένεσις, φθορὰ, καὶ παλλιγγενεσία. Οὕτως καὶ οἱ ποταμοὶ ἐπαναφέρουσιν ἀεννάως εἰς τὴν θάλασσαν τὰ ὕδατα, ἅπερ αὐτὴ ἀενάως δίδει εἰς τὴν ἀτμοσφαῖραν, καὶ λαμβάνει παρ' αὐτῶν, καὶ δίδει εἰς ἐκείνην ἀδιακόπως. Ἡ μὲν ἐν τοῖς οὖσι δύναμις οὐκ ἀπόλλυται· ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου καθαρὰ καὶ ἀμόλυντος ἐπιστρέφει πάλιν εἰς τοὺς κόλπους τοῦ ἀχράντου Θείου. Ἕνεκα τούτου ὁ ἄνθρωπος, ὡς λογικὸς, ὀφείλει ἵνα ἐκλέξῃ τὴν διὰ

(1) Ἰτιχασα. δίστ. 106 -111.

τῆς ἐγκρατείας καὶ θεοφροσύνης ἄγουσαν πρὸς τὸν Θεόν, καὶ οὐχὶ τὴν διὰ τῆς ἀδικίας καὶ ἡδυπαθείας ὁδὸν, ἥτις τὸν ἀπομακρύνει ἀπ' αὐτοῦ.

Μὴ δεχόμενοι οὖν οὔτε Κόσμον ἄνευ Θεοῦ, οὔτε Θεὸν ἄνευ Κόσμου, ἕπεται, ὅτι ὁ μόνος καταληπτὸς καὶ λατρευτέος Θεός ἐστιν ὁ Ναραϊάνας (δημιουργὸς) ὁ τὰ Ναρὰ (ὄντα) δημιουργήσας. Καὶ ἐπειδὴ ἡ δύναμις αὐτοῦ δημιουργήσασα τὰ ὄντα συνέχει καὶ περιέχει αὐτά, ὁ Θεὸς, λέγεται, ἐστὶν ἐν τοῖς οὖσι. « Ὁ Σύμπας κόσμος, λέγει ὁ ἴδιος, συνέχεται ἐμοὶ τῷ ἀκαταλήπτῳ. Ἐγὼ δὲ οὐκ εἰμι ἐν τοῖς οὖσι· διότι αὐτά εἰσιν ὑλικά· ἐγὼ δ' ἄϋλος. Ἡ ἐμοὶ δύναμις συνέχει καὶ κυβερνᾷ τὰ ὄντα (1). Οἱ ἄφρονες, ἀγνοοῦντες τὴν ὑπερούσιον φύσιν μου, παραβλέπουσιν ἐμὲ, ὡς λαβόντα δῆθεν μορφὴν καὶ σῶμα ἀνθρώπειον πρὸς δημιουργίαν, ἢ σωτηρίαν τοῦ κόσμου. Ἀλλ' ἐγώ εἰμι ὁ ποιητὴς καὶ Κύριος πάντων τῶν αἰσθητῶν καὶ νοητῶν, ὁρατῶν τε καὶ ἀοράτων· ἐγώ εἰμι ἡ ἀρχὴ καὶ τὸ τέλος τῶν ὄντων· ἐγώ εἰμι τὸ Βράχμα, τὸ ὕψιστον Θεῖον, καὶ ἐνταυτῷ ὁ Βραχμᾶς, ὁ Βισνοῦς, καὶ ὁ Σίβας· ὅτι τὸ πᾶν, καὶ πάντες, καὶ τὰ πάντα εἰμὶ ἐγὼ εἷς ὁ Θεὸς, ἡ προαιώνιος μονὰς, καὶ τὸ ἐκ τῶν τριῶν γραμμάτων μονοσύλλαβον Ὅμ (Hom). Οἱ μὲν ἐκλεκτοὶ, οἱ τὰ ὑλικὰ περιφρονοῦντες, θεωροῦσιν ἐμὲ ὡς ἄϋλον. Οἱ δὲ τὴν ἀρετὴν ἀσκοῦντες, προσκυνοῦσιν ἐμὲ, ὡς τὸν ἐν τοῖς οὖσι καὶ τὸν ἐν ὕλῃ Θεόν (2). Οὗτοι πορεύονται εἰς τὸν οὐρανὸν τοῦ Ἴνδρα, καὶ παλιγγεννῶνται ἐκεῖνοι ἑνοῦνται μετ'

(2) Γιτὰ κεφάλ 9.

ἐμοῦ ἀϊδίως· οἱ δὲ ἀσεβεῖς καὶ φαῦλοι καταδικάζονται εἰς τὸν φοβερὸν ᾅδην. Ἡ μετ᾽ ἐμοῦ ἕνωσίς ἐστι τὸ ἄκρον ἐφετὸν καὶ τῶν ἀγώνων ἁπάντων τὸ πάγκαλλον πέρας. »

Θαυμάζων δέ τις τὰς ὑψηλὰς τῶν θεοσόφων δοξασίας, ἐκπλήττεται θεωρῶν τὸ μεγαλεῖον τοῦ τρομεροῦ τούτου θεϊσμοῦ, τῆς ἀπολύτου ταυτότητος, καὶ τοῦ πανθεϊσμοῦ, καὶ Ἰλιγγιᾷ παρατηρῶν τὴν κτίσιν, τὰ πάντα, καὶ τοὺς πάντας μηδενιζομένους, οὕτως εἰπεῖν, ἀπέναντι αὐτοῦ. Καταβαίνων δὲ ἐκ τοῦ ὕψους τούτου ἐπὶ τῆς Ἰνδικῆς γῆς, εὑρίσκει ἐν αὐτῇ τῇ κοινωνίᾳ τῶν Ἰνδῶν τὴν εἰκόνα καὶ ὁμοίωσιν τοῦ παντοδυνάμου θεϊσμοῦ, εἰς τὴν παντοδύναμον Βραχμανοκρατίαν· Εἰς τὴν ἀκαταμάχητον ἰσχὺν τῶν Βραχμάνων, γεννηθέντων ἀπὸ τῆς κεφαλῆς τοῦ δημιουργοῦ, ὡς ἡ ἔνοπλος Ἀθηνᾶ, ἀπὸ τῆς κεφαλῆς τοῦ Διός, τὰ πάντα ὑποτάσσονται. Πάντες οἱ λαοὶ καὶ οἱ Βασιλεῖς, τὰ στοιχεῖα, καὶ αὐτὰ τὰ ἐναέρια πνεύματα ὑπόκεινται εἰς αὐτούς. Αὐτοί εἰσι νομοθέται, καὶ διδάσκαλοι τοῦ ἔθνους· ἐξηγηταὶ τῆς ἐννοίας τῶν γραφῶν, καὶ τῆς θελήσεως τῶν Θεῶν· αὐτοί εἰσι καὶ οἱ μεσῖται μεταξὺ Θεοῦ καὶ ἀνθρώπων. Ἐκ τούτου ἐξηγεῖται ἡ πρὸς αὐτὴν τὴν τάξιν ἀπεριόριστος εὐλάβεια τῶν Ἰνδῶν, τὸ σέβας αὐτῶν πρὸς πάντα τόπον, ὃν ἡ παρουσία αὐτῶν ἁγιάζει· τὰ μεγαλοπρεπῆ μνημεῖα τῆς θρησκείας· ἡ στασιμότης τοῦ Ἰνδικοῦ ἔθνους ἐν τῷ μέσῳ τοιαύτης ἐξαισίου διανοητικῆς ἀναπτύξεως· ἡ ὑλικὴ δουλοσύνη τοῦ λαοῦ, καὶ ἡ ἀπεριόριστος ἐλευθερία τοῦ πνεύματος τῶν σοφῶν Βραχμάνων.

---

(3) Γιτὰ αὐτόθι.

ΓΕΩΡΓΙΟΣ Κ. ΤΥΠΑΛΔΟΣ·

ΙΤΙΧΑΣΑΣΑΜΟΥΤΣΑΪΑ,

ΤΟΥΤΕΣΤΙΝ

ΑΡΧΑΙΟΛΟΓΙΑΣ ΣΥΛΛΟΓΗ.

ΠΡΟΟΙΜΙΟΝ.

1. ΝΙΚΑ πάντας ὁ Βεάσας, ὁ υἱὸς τοῦ Παρασσάρα καὶ τῆς Σατεβατῆς, οὗ ἐκ τοῦ στόματος τὸν ῥέοντα ἀγαθὸν λόγον, ὡς μέλι γλυκὺ ἐκ τοῦ ἄνθους λωτοῦ, πίνει ὁ κόσμος.

2. Ἡ Βαράτα, ἡ ἀναφυεῖσα ἐκ τῆς τοῦ Βεάσα γλώττης, ὡς ὁ λωτὸς ἐκ τῆς λίμνης, καὶ ἔχουσα ὡς μεγάλην εὐωδίαν τὴν Γητὰν, καὶ ὡς κόνιν τοῦ ἄνθους τὰς πολυειδεῖς ἀφηγήσεις, καὶ διεκπεταννυμένη εἰς ἀνακάλυψιν καὶ ἑρμηνείαν τῶν τοῦ Θεοῦ κατορθωμάτων, καὶ ποθουμένη πίνεσθαι ὑπὸ τῶν ἀγαθῶν, ὡς ὁ λωτὸς ὑπὸ τῶν μελισσῶν, καὶ ἐκπλύνουσα τὰς κηλίδας τοῦ Καλῆ αἰῶνος, ἔστω ὑμῖν εἰς ἀγαθόν.

3. Ἡ Μαχαβαράτα, ἥ ἐστιν, ὡς βακτηρία, πεποιημένη ὑπὸ τοῦ Βεάσα, βασταζέσθω ἐν ταῖς χερσὶν ὑμῶν τῶν ὑποσκαζόντων καὶ προσπταιόντων ἐν τῇ τρίβῳ τούτου τοῦ βίου.

4. Γίνωσκε τὸν Βεάσαν μέγαν Θεόν· τίς γὰρ ἄλλος ἠδύνατο ποιῆσαι τὴν Μαχαβαράταν, εἰ μὴ ὁ Θεός;

5. Ἡ Μαχαβαράτα ἐγεννήθη εἰς ὠφέλειαν τοῦ κόσμου ὑπὸ

τοῦ Βεάσα, συστρέψαντος, τὸν νοῦν ἑαυτοῦ, καθὼς ἡ σελήνη ἐκ τῆς συστραφείσης θαλάσσης ὑπὸ τοῦ Βισνοῦ.

6. Ὡς ἐπὶ τὸ πλεῖστον πάντες οἱ σοφοὶ καὶ ἅγιοι ἄνδρες ἐπόνησαν εἰς ὠφέλειαν μόνον ἑαυτῶν· ὁ δὲ θεῖος Βεάσας ἐπόνησεν εἰς ὠφέλειαν πάντων.

7. Ἀμέλει τίς ἂν ἄλλος εἴη μᾶλλον ἀξιέπαινος, ἢ ὁ Βεάσας; οὗτος γὰρ καὶ τὴν Βέδαν ἐν τάξει ἔθετο, καὶ τὴν θαυμαστὴν Μαχαβαράταν συνεγράψατο, ἀγαπῶν τὴν ὠφέλειαν πάντων.

8. Πάντα δὲ τὰ τῆς Βέδας ἐν τῇ Μαχαβαράτᾳ δεικνύονται καὶ ἑρμηνεύονται ὑπὸ τοῦ Βεάσα, λέγοντος οὕτω· « Φευγέτω πᾶς τις τὰ κακὰ, καὶ ζητείτω τὰ » ἀγαθά. »

9. Ἀκουσθήτω ἡ μεγάλη φωνὴ τοῦ μεγαλόφρονος τούτου καὶ ὁσίου ἀνδρὸς, ὅς τις ἑρμηνεύει καὶ δεικνύει πάντα τὰ τῆς Βέδας ἐν τῇ Μαχαβαράτᾳ.

10. Ὅ,τι περὶ ἀρετῆς, περὶ κτήσεως, περὶ τρυφῆς, καὶ περὶ λυτρώσεως ἐν τῇ Μαχαβαράτᾳ ἐστίν, ἔστι καὶ ἐν τῇ Βέδᾳ· ὅ,τι δὲ πλέον περὶ τούτων ἐν τῇ Μαχαβαράτᾳ οὐκ ἔστιν, οὐδ' ἐν τῇ Βέδᾳ οὐκ ἔστιν.

11. Ἐπειδὴ δ' οὗτος ὁ κόσμος κλίνει ἐκ φύσεως εἰς κτῆσιν καὶ τρυφὴν, διὰ τοῦτο ἐγὼ συλλογὴν ποιοῦμαι τῶν ὧν λέγει ὁ Βεάσας περὶ ἀρετῆς καὶ λυτρώσεως.

12. Τίνα γὰρ μισθὸν λαμβάνει ὁ ἄνθρωπος, λέγων περὶ τρυφῆς πρὸς τὸν τρυφηλὸν, καὶ περὶ κτήσεως πρὸς τὸν φιλοκτήμονα, καὶ ῥίπτων τὸν τυφλὸν εἰς τὸν βόθρον;

13. Ὁ δὲ Βεάσας, εἰδὼς, ὡς ἡ κτῆσις καὶ ἡ τρυφὴ θυμήρεις εἰσὶ τῷ ἀνθρώπῳ, ἐπῄνεσεν αὐτὰς, καίπερ οὔσας ἀξιοκατηγορήτους.

14. Ἄλλως γὰρ, πῶς ἂν ἔλεγεν ὁ Βεάσας, πάνσοφος ὢν, καὶ πανοικτίρμων, περὶ κτήσεως καὶ τρυφῆς, αἵ εἰσιν αἴτιαι τοῦ δεσμοῦ ἐν τῷ δεινῷ τούτῳ κόσμῳ;

15. Εἰπὼν δ' ὁ Βεάσας ἐν πολυειδέσιν ἀφηγήσεσι περὶ κτήσεως καὶ τρυφῆς εἰς ἕλκυσιν τῆς καρδίας τῶν ἀνθρώπων, πάλιν ἐν τῇ αὐτῇ Μαχαβαράτᾳ κατηγορεῖ αὐτῶν, ὅτε λέγει περὶ ἀρετῆς καὶ λυτρώσεως.

16. Εἰ μὴ ἦσαν τὰ τρία ταῦτα· ἡ Βαράτα, ὁ ἥλιος, καὶ ἡ σελήνη, ὁποία ἂν ἦν ἡ κατάστασις τοῦ κόσμου, τυφλοῦ ὄντος ἐξ ἀγνοίας καὶ σκότους;

17. Ἐκ τῆς ἀναγνώτεως καὶ ἁγνότητος τῆς Βέδας πάντα τὰ ἁμαρτήματα ἐξαλείφονται τοῦ ἀναγινώσκοντος βραχύ τι, ἔχοντος σέβας καὶ εὐλάβειαν.

18. Ὅς τις ἀκούει ἀναγινωσκομένης τῆς Βαράτας, τῆς ἐκρευσάσης ἐκ τῶν χειλέων τοῦ Βεάσα, τῆς ἀσυγκρίτου, τῆς ἁγίας, τῆς καθαρτικῆς, τῆς ἀλεξικάκου καὶ μακαρίας, τούτῳ τί δεῖ λουτροῦ ἐν τοῖς ἁγίοις ὕδασι τῆς Πουσχάρας;

19. Ὅστις ἑκατὸν δαμάλεις χρυσοκεράτους καθ' ἑκάστην δίδωσι Βραχμᾶνι εἰδήμονι τῶν Βεδῶν, καὶ πολλῶν ἐπιστημῶν, καὶ ὅστις ἀκούει ἀεὶ τῆς ἁγίας ἀναγνώσεως τῆς Βαράτας, τούτοις ἀμφοτέροις ἐξ ἴσου ἐστὶν ὁ μισθός.

20. Ὅτε τοίνυν οὕτω φρονοῦσιν οἱ φρόνιμοι, ἀναγνωστέα ἐστὶν ἀεὶ μετ' εὐλαβείας αὕτη ἡ συλλογὴ καὶ ἐκλογὴ τῆς ἐν τῇ Βαράτᾳ ἀρχαιολογίας.

21. Στίχους δέ τινας τῆς Βαράτας, οἵ εἰσι διεσπαρμένοι τῇδε κἀκεῖσε, συνέλεξα, καὶ συνήρμοσα τῇ παρούσῃ πραγματείᾳ, μηδαμῶς παραλλάξας αὐτοὺς κατὰ τὴν λέξιν καὶ κατὰ τὸ νόημα.

22. Τίς γὰρ δύναται ἐξαγαγεῖν πάντας τοὺς ἐκλεκτοὺς στίχους ἐξ ὅλης τῆς Βαράτας; τίς δύναται ἐξαγαγεῖν

πάντα τὰ πολύτιμα πράγματα ἐκ τῆς μεγάλης θαλάσσης;

23. Οὐκ εἰς ἐπίδειξιν ἀγχινοίας ἐπεβαλόμην ποιῆσαι τοῦτο τὸ πόνημα, ἀλλ' ἡ πρὸς τὴν Βαράταν κλίσις, ἣν ἔχω, ἠρέθισέ με εἰς τοῦτο, καὶ μὴ θέλοντα.

24. Ὅθεν ἀνεχόμενοι οἱ ἀγαθοὶ, τιμάτωσαν τοῦτο μὲν τὸ ἀνάξιον πόνημα, ὅπερ ἐγένετο διὰ τὴν ἣν εἶχεν ἡ ἐμὴ ψυχὴ κλίσιν καὶ ἀγάπην πρὸς τὴν Μαχαβαράταν.

25. Μηδὲ ζητείτω ὁ ἀγαθὸς ἀναγνώστης ἐν τῇ παρούσῃ πραγματείᾳ τάξιν τῶν ἐν τῇ Βαράτᾳ ἀφηγήσεων· καὶ γὰρ κατὰ τὸ ὃ ἔχει ὄνομα, συλλογὴ καὶ ἐκλογή ἐστι τῆς ἐν τῇ Βαράτᾳ ἀρχαιολογίας.

26. Θεωρεῖται δ' ἐν ταύτῃ τῇ ἀρχαιολογικῇ συλλογῇ, ἥτις καὶ διαιρεῖται εἰς τριάκοντα καὶ δύω κεφάλαια, εἷς μόνος σκοπὸς καὶ μία μόνη φροντὶς, τῆς λυτρώσεως ἀπὸ τοῦ ματαίου κόσμου.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ Παραμυθίας.

ΖΑΝΑΜΕΖΑΪΑΣ.

1. Χοὰς ποιήσαντες τοῖς οἰκείοις καὶ ἑταίροις οἱ υἱοὶ τοῦ Πανδοῦ, καὶ ὁ Θεὸς Κρισνᾶς, ὦ ὅσιε Βραχμὰν, τί ἐποίησαν μετὰ ταῦτα;

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

2. Ἀφ' οὗ ἐποίησε χοὰς ὁ Βασιλεὺς Ἰνδδιστίρας, ὁ υἱὸς τοῦ Νόμου, καθήμενος μετὰ τῶν ἑαυτοῦ ἀδελφῶν ἐπὶ τῆς ἱερᾶς ὄχθης τοῦ Γάγγου ποταμοῦ,

3. Ἀναστενάζων, καὶ κατακεκλιμένον τὸ πρόσωπον ἔχων,

ἦλθον πρὸς αὐτὸν μεγαλοφυεῖς, εὐαγεῖς, καὶ δεινοὶ Βραχμᾶνες,

4. Ὅ,τε Ναράδας, ὁ Δεβάλας, ὁ Βεάσας, ὁ Κάτσας, ὁ Κάνβας, ὁ Κασσέπας, ὁ Ῥαϊββέας, ὁ Βριχασπατὴς, ὁ Δαουμέας, ὁ Σαβάνας, ὁ Γαλάβας, ὁ Βριγοῦς,

5. Ὁ Βασίστας, ὁ Ζαμαδαγνὴς, ὁ Δουρβάσας, ὁ Λομάσσας, καὶ ἄλλοι πολλοὶ ὁμοῦ ἅγιοι καὶ ἐγκρατεῖς ἄνδρες μετὰ τῶν ἑαυτῶν μαθητῶν.

6. Προσκυνήσας δ' αὐτὸς πάντας, ὡς εἰκὸς, ὁ βασιλεὺς Ἰνδδιστίρας, καὶ εὐλογηθεὶς ὑπ' αὐτῶν, ἔλεξεν οὕτω, πεπληρωμένος δακρύων τοὺς ὀφθαλμούς.

ΙΝΔΔΙΣΤΙΡΑΣ·

7. Ἀνελόντι φίλους, συγγενεῖς, υἱοὺς, ἀδελφοὺς, καὶ ἄλλους ὁμοῦ, ἧττα καὶ καταστροφὴ φαίνεταί μοι αὕτη ἡ νίκη, ἅγιοι πατέρες.

8. Ἀναιρεθέντων, τοῦ τε νεανίσκου Ἀββιμανιοῦ, καὶ τῶν πέντε παίδων τῆς Δραουπαδῆς, καὶ ἄλλων ὁμοῦ βασιλέων, φίλων, οἰκείων, καὶ συγγενῶν,

9. Οὐκ ἀφίησιν ἡ λύπη ἐμὲ τὸν ἀναιρέτην τοῦ οἰκείου γένους, τὸν καθαιρέτην τῆς οἰκείας φυλῆς, τὸν ἐραστὴν βασιλείας, τὸν φαυλότατον τῷ ἤθει καὶ τῇ προαιρέσει.

10. Οὗτινος ἐν ταῖς ἀγκάλαις ἐπαίζομεν καὶ ηὐξήθημεν ἡμεῖς οἱ πέντε ἀδελφοὶ ἐν παιδικῇ ἡλικίᾳ, οὗτος, ὁ υἱὸς τοῦ Γάγγου ποταμοῦ, ὁ Βήσμας, ἀνῃρέθη ἐν πολέμῳ ὑπ' ἐμοῦ, τοῦ διψῶντος βασιλείαν.

11. Ὑφ' οὗ ἡμεῖς οἱ πέντε ἀδελφοὶ ἀνετράφημεν ἐν παιδικῇ ἡλικίᾳ, καὶ ηὐξήθημεν, οὗτος ἀνῃρέθη ὑπ' ἐμοῦ δι' ὀλιγοχρόνιον βασιλείαν.

12. Ἐκεῖνο δὲ μάλιστα κατακαίει τὰ μέλη μου, ὅπερ εἶπον

τῷ διδασκάλῳ Δρόνᾳ, ἐρωτήσαντί με· « Εἰπέ μοι ἀληθῶς, ὦ βασιλεῦ, εἰ ζῇ ὁ υἱός μου Ἀσβαττάμας. »

13. Αὐτὸς ὁ διδάσκαλος ἀνῃρέθη ἀπάτῃ ὑπ' ἐμοῦ, τοῦ διψῶντος βασιλείαν, τοῦ κακούργου, τοῦ διδασκαλοκτόνου, τοῦ ἐκδυθέντος τὴν ἀλήθειαν, ἣν εἶχον, ὡς θώρακα.

14. Ἀναιρεθέντος γὰρ τοῦ ἐλέφαντος, ὃς ὠνομάζετο Ἀσβαττάμας, εἶπον δολίως τῷ Δρόνᾳ, ὡς ἀληθῶς ἀνῃρέθη ὁ Ἀσβαττάμας, μὴ προσθεὶς, ὡς ὁ ἐλέφας ἐστὶν οὗτος, καὶ οὐχὶ ὁ υἱὸς αὐτοῦ· ποίας ἄρα χώρας τεύξομαι, τοιοῦτον ἀνοσιούργημα πράξας;

15. Ἐγὼ ὁ κάκιστος ἀπέκτεινα τὸν Καρνᾶν, τὸν ἄριστον πάντων τῶν πολεμικῶν, τὸν πρεσβύτερον ἀδελφόν· τίς ἄλλος ἂν εἴη κακουργότερος ἐμοῦ;

16. Ἐγὼ ὁ πλεονέκτης, ὡς σκύμνον λέοντος, κοιμώμενον ὑπ' ὄρος, παρεισήγαγον τὸν νεανίσκον Ἀββιμανιοῦν εἰς τὸ μέσον τῆς παρατεταγμένης φάλαγγος, ἧς ἄρχων ἦν ὁ Δρόνας.

17. Ἐξ ἐκείνου δὲ τοῦ χρόνου οὐ δύναμαι ἀντιβλέψαι τὸν Ἀρζούναν, οὐδὲ τὸν Κρισνᾶν, ὡς ἐμβρυοκτόνος.

18. Καίεται ἡ ἐμὴ καρδία, βλέποντος τὴν Δραουπαδὴν, πέντε υἱῶν στερουμένην, καὶ ἐπὶ λύπῃ λύπην κεκτημένην.

19. Ἐγώ εἰμι αὐτὸς ὁ θανατοποιὸς καὶ φθοροποιὸς τῶν συγγενῶν, καὶ μένω ἐνταῦθα, εἰς τὸ ἐκπνεῦσαι τὰ ὀλοίσθια, ἅγιοι πατέρες.

20. Δότε μοι τοίνυν ἄδειαν πάντες, ἐγκαταλιπεῖν τοῦτο τὸ σῶμα, ἵνα μὴ γένωμαι καὶ ἄλλοις συγγενέσι παγγενὴς φθορὰ καὶ ἀφανισμός.

ΒΑΪΣΑΜΠΑΪΑΝΑΣ.

21. Τοιαῦτα εἰπόντος τοῦ Ἰνδδιστίρα λίαν ἐλεεινῶς καὶ λυπηρῶς, ἀμειβόμενος ἔλεξεν οὕτω πρὸς αὐτὸν ὁ Βεάσας, ὁ γνώστης τῶν παρελθόντων καὶ τῶν μελλόντων·

ΒΕΑΣΑΣ.

22. Μὴ ἔχε λύπην, ὦ βασιλεῦ, τὴν κατατήκουσαν τὸ σῶμα· οἱ γὰρ ἀποιχόμενοι ἐν τῷ σταδίῳ τοῦ πολέμου (ἐν τῇ αὐλῇ τοῦ πολέμου) οὐκ ἐπανέρχονται.
23. Οἱ φρόνησιν ἔχοντες, καὶ κρατοῦντες ἑαυτῶν, καθὼς σὺ, οὔτε ἐν ταῖς ἀτυχίαις λυποῦνται, οὔτε ἐν ταῖς εὐτυχίαις χαίρουσιν.
24. Ὅτε οἱ πεπαιδευμένοι ἄνδρες, οἷος εἶ σὺ, κυριεύονται καὶ κατατήκονται ὑπὸ τῆς λύπης, ἡ παιδεία καὶ ἡ μάθησις αὐτῶν διὰ πόνον καὶ μόχθον μόνον ἐγένετο.
25. Τὰ λυπηρὰ καὶ τὰ χαρμόσυνα καθ' ἑκάστην καταπονοῦσι καὶ καταβάλλουσι τὸν ἄφρονα καὶ ἀπαίδευτον, ἀλλ' οὐ τὸν εὔφρονα καὶ εὐπαίδευτον.
26. Καθὼς βέβαιός ἐστιν ὁ θάνατος τοῦ γεννηθέντος, οὕτω καὶ ἡ γέννησις τοῦ θανόντος· ὅθεν οὐκ ἄξιος εἶ λυπεῖσθαι.
27. Ὅσα ἀναγκαίως γίνεσθαι μέλλουσιν ἐξ αἰτίας τῆς Εἱμαρμένης, ἐπὶ τούτοις οὐδαμῶς λυποῦνται οἱ σπουδαῖοι ἄνδρες, καὶ γνῶσιν τῶν ὄντων ἔχοντες.
28. Ὅστις λυπεῖται διὰ τὸ ἀπελθὸν, ἤτοι τεθνηκὸς, ἢ ἀπολωλὸς, οὗτος ἐπὶ λύπῃ λύπην λαμβάνει, καὶ δύω δεινὰ πάσχει.
29. Τὰ ὄντα συνίστανται ἐκ τῶν πέντε στοιχείων· ἐκ τῆς γῆς, ἐκ τοῦ ἀέρος, ἐκ τοῦ αἰθέρος, ἐκ τοῦ ὕδατος, καὶ

ἐκ τοῦ πυρὸς, καὶ εἰς αὐτὰ πάλιν διαλύονται· ἐνταῦθα τίς λύπη;

30. Οὐδεὶς τρόπος ἐστὶ θεῖος ἢ ἀνθρώπειος, δι᾽ οὗ ἀναστρέψειεν ἂν ὁ ἄνθρωπος ἐν τῷ αὐτῷ σώματι, ἀφ᾽ οὗ ἔλθῃ εἰς τὴν ἐξουσίαν τοῦ θανάτου.

31. Ἡ καρτερία μέγα καταφύγιόν ἐστι τῷ στερηθέντι συγγενῶν, υἱῶν, γυναικὸς, ἢ πλούτου, καὶ ἐμβυθισθέντι εἰς δεινὸν πάθος.

32. Ἡ λύπη συλαγωγεῖ πάντα ταῦτα· τὴν μάθησιν, τὴν ἀρετὴν, τὴν δύναμιν, τὴν καρτερίαν, τὴν ἄνεσιν, καὶ τὴν γενναιοψυχίαν τῶν ἀνθρώπων.

33. Ὅτε ἡ λύπη οὐκ ἀπαλλάττει τὸ πάθος τῶν λυπουμένων, οὐδεμία θεραπεία καὶ ὠφέλειά ἐστι τῷ λυπουμένῳ· ἄφες οὖν ταύτην τὴν λύπην.

34. Πάντας ὁ θάνατος ἐπέρχεται, καὶ τοὺς παῖδας, καὶ τοὺς νέους, καὶ τοὺς γέροντας, καὶ τοὺς ἐν γαστρὶ ἔτι ὄντας· τοιοῦτος οὗτός ἐστιν ὁ κόσμος!

35. Τοιούτων δ᾽ ὄντων τῶν ὄντων, ἐν ἁπάσῃ ἡλικίᾳ διαφθειρομένων, τίς ἂν χαρείη γεννωμένων, ἢ λυπηθείη, ἀποιχομένων;

36. Ὥστε οἱ ἔχοντες γνῶσιν τῶν ὄντων, οὔτε λυποῦνται διὰ τὸν ἀπελθόντα, ἢ ἀποθανόντα, οὔτε κλίσιν καὶ προσπάθειαν ἔχουσι πρὸς τὸν ἀπωλωλότα, ἢ ἀπόντα, οὔτε στοργὴν καὶ ἀγάπην πρὸς τὸν ζῶντα, ἢ παρόντα.

37. Ποῦ λύπη; καὶ ποῦ σὺ ὁ βασιλεὺς, ὁ ὢν ἀπόῤῥοια τῶν (ὀκτὼ) θεῶν τῶν ἐφόρων τοῦ κόσμου; ἄφες τοιγαροῦν ταύτην τὴν λύπην, τὴν γινομένην ἐκ μεγάλης ἀγνοίας.

38. Ἐπὶ τούτου ἐπάγουσι παραδειγματικῶς τοῦτον τὸν παλαιὸν λόγον, ὃν εἶπε Βραχμάν τις ἐπιστήμων πρὸς τὸν Σεναζίταν βασιλέα.

39. Ἰδὼν γὰρ τὸν βασιλέα ὁ Βραχμὰν, κατώδυνον, ἄθυμον,

καὶ σκυθρωπὸν ὄντα διὰ τὸν θάνατον τοῦ ἑαυτοῦ υἱοῦ, ἔλεξεν ὧδε·

ΒΡΑΧΜΑΝ.

40. Τί μωραίνεις, μωρὸς ὤν; τί λύπην ἔχεις; ταλανίσουσί σε γὰρ οἱ ἄλλοι ἄνθρωποι, οὕτω λυπούμενον.

41. Καὶ ἐγὼ, καὶ σὺ, καὶ ὅσοι ἄλλοι περὶ σέ εἰσιν, πάντες τεθνηξόμεθα. Ἐνταῦθα τίς λύπη;

42. Ὁ υἱός σου ἐκ τοῦ ἀφανοῦς ἐνθάδε ἦλθε, καὶ εἰς τὸ ἀφανὲς πάλιν ἀπῆλθεν· οὔτ᾽ ἐκεῖνος σός ἐστιν, οὔτε σὺ ἐκείνου. Τί ἆρα τηνάλλως λυπῇ;

43. Ἡ ὁμιλία τινος μετά τινος ἄλλου οὐκ ἔστι διηνεκής. Τί λέγω, μετ᾽ ἄλλων, ὅτε οὐδὲ μετὰ τοῦ ἰδίου σώματος οὐκ ἔστι διηνεκής;

44. Τὸ μὲν σῶμά σου ἐγένετο ἐκ τοῦ πατρὸς, ἡ δὲ γέννησις ἐκ τῆς μητρός· σὺ δὲ λύπτην ἔχεις καὶ φροντίδα τοῦ σώματος, ἀλλ᾽ οὐ τῆς ψυχῆς. Μὴ λύπην ἔχε καὶ φροντίδα τοῦ φθαρτοῦ σώματος, ἀλλὰ τῆς ἀφθάρτου ψυχῆς.

45. Τὰ ὄντα, ὄντα ἀφανῆ ἐν ἀρχῇ, φαίνονται εἰς τὸ μέσον, καὶ πάλιν ἀφανῆ γίνονται, τελευτῶντα. Ἐνταῦθα τίς λύπη;

46. Ποῦ νῦν, ὦ βασιλεῦ, ὁ πατήρ σου; ποῦ νῦν ὁ πάππος σου; οὔτε σὺ νῦν βλέπεις ἐκείνους, οὔτε σὲ ἐκεῖνοι.

47. Οὐκ ἄρα δεῖ ἔχειν κλίσιν καὶ προσπάθειαν πρὸς υἱοὺς, υἱϊδεῖς, συγγενεῖς καὶ ἀγχιστεῖς· ἡ γὰρ διάζευξις τούτων, βεβαία ἐστίν.

48. Ὡς σύζευξις, οὕτω καὶ διάζευξίς ἐστι τῶν συγγενῶν, τῶν οἰκείων, καὶ ἀγχιστέων· οὔκουν πρὸς τούτους (οὐ) δεῖ ἔχειν κλίσιν καὶ προσπάθειαν· ἡ γὰρ διάζευξις τούτων βεβαία ἐστίν.

49. Ἡ σύνθεσις (σύζευξις) ἔχει εἰς τέλος βεβαίαν τὴν διάλυσιν (διάζευξιν) τῶν γινομένων, καθὼς οἱ ἐν ὕδατι πομφόλυγες, οἳ γίνονται, καὶ ἀπογίνονται.

50. Ἡ μὲν σύναξις διασκέδασιν ἔχει εἰς τέλος· ἡ δ' ὕψωσις πτῶσιν ἔχει εἰς τέλος· ἡ δὲ σύζευξις διάζευξιν ἔχει εἰς τέλος· ἡ δὲ ζωὴ θάνατον ἔχει εἰς τέλος.

51. Πρόσκαιρά εἰσι ταῦτα· ἡ ζωὴ, ἡ εὐμορφία, ἡ νεότης, ἡ κτηματολογία, ἡ ὑγιεία, καὶ ἡ μετὰ τῶν ἐφετῶν ὁμιλία· οὔκουν εἰς ταῦτα μωραίνουσιν οἱ πεπαιδευμένοι.

52. Ἰσοζυγία ἐστὶ τοῦ θανάτου πρὸς πάντας, καὶ πρὸς σοφὸν, καὶ ἄσοφον, καὶ πρὸς δυνατὸν, καὶ ἀδύνατον, καὶ πρὸς πλούσιον, καὶ πτωχόν.

53. Ἐκ χιλίων ἀνθρώπων, ἐν μιᾷ καὶ τῇ αὐτῇ ὥρᾳ γεννηθέντων, πέντε ἑκατονταετεῖς γίνονται, ἢ οὐ γίνονται.

54. Τὸ πρόσκαιρον τῶν ἀφροντίστων ἀνθρώπων, ἀεὶ φροντίζει, καὶ γρηγορεῖ, πάντας αὐτοὺς ἀναστρέφον, καὶ πάντα τὰ αὐτῶν καταστρέφον.

55. Ὅςτις οὖν ἐννοεῖ τοῦτο τὸ πρόσκαιρον καὶ μάταιον πάντων, οὗτος, τοιοῦτον νοῦν ἔχων κριτικὸν, οὐδαμῶς λυπεῖται, δυσθυμῶν (δυσθυμεῖ ἢ θρηνεῖ).

56. Εἰς τοῦτον τὸν κόσμον, ἐν ᾧ ἐστιν ἡμέρα καὶ νὺξ, περιερχόμενος ὁ θάνατος ἐν γηραλαίᾳ καὶ κατεσκληκυίᾳ μορφῇ, καταβιβρώσκει πάντας, καθὼς ὁ ὄφις τοὺς ἀνέμους.

57. Τὰ ἀδιάῤῥηκτα φίλτρα, καὶ τὰς θυμήρεις ἡδονὰς ἐν ἀκαρεῖ ἐκκόπτει ὁ θάνατος, καθὼς οἱ ἐγκρατεῖς τὴν ὀργὴν καὶ τὸ μῖσος.

58. Καθὼς ὁδοιπόρος τις, καθήσας ὑπὸ σκιὰν, ἀναπαύεται, καὶ μετὰ τὸ ἀναπαυθῆναι πάλιν πορεύεται, οὕτω καὶ ἡ ἔλευσις πάντων εἰς τοῦτον τὸν κόσμον.

59. Ἡ ἔλευσις ἔχει καὶ τὴν ἀπέλευσιν· ἡ εὐτυχία ἔχει καὶ

τὴν δυστυχίαν· τὸ σῶμα ἔχει καὶ τὴν διάλυσιν· πᾶν τὸ ἔχον γένεσιν, ἔχει καὶ φθοράν.

60. Τὰ ἀγαθὰ τῶν ἀνθρώπων ὅμοιά ἐστι τῇ ἐν αἰθέρι φαινομένῃ πόλει, Γανδδαρβαναγάρᾳ· ἅπερ φαινόμενα βραχύ τι, καὶ ἔστι, καὶ οὐκ ἔστι.

61. Τοῦτο ἴασις καὶ θεραπεία ἐστὶ τοῦ πάθους, εἰ οὐκ ἀναπολεῖται· ἀναπολούμενον γὰρ, οὐκ ἀπαλλάττεται, ἐπὶ πλέον δ' αὐξάνει.

62. Οἱ βαθὺν ἔχοντες νοῦν, οὐ λυποῦνται τὸ ἀπελθὸν, οὐδ' ἔφεσιν ἔχουσι τοῦ μέλλοντος, ἢ παρόντος· ἐκ δὲ τούτου οὐ κατατήκονται, οὐδὲ ξηραίνονται, καθὼς οὐδὲ οἱ βαθέα ἔχοντες ὕδατα λάκκοι.

63. Ἡ λύπη, ἡ γινομένη ἐξ ἀγνοίας, κατατήκει τὸ σῶμα· ὅθεν ἄφες ταύτην τὴν λύπην, ἧς ἀπρὶξ ἔχονται οἱ μικροπρεπεῖς καὶ μικρόψυχοι.

ΒΕΑΣΑΣ.

64. Οὕτω παρηγορηθεὶς ὁ Σεναζίτας βασιλεὺς ὑπὸ τοῦ Βραχμᾶνος, ἀφεὶς τὴν ἐπὶ τῷ υἱῷ λύπην, ἄνεσιν ἔσχεν ἐν τῇ ἑαυτοῦ ψυχῇ.

65. Καὶ σὺ τοίνυν, ὦ μέγα βασιλεῦ, κρίσιν ὀρθὴν σχὼν, ἄφες τὴν ἐπὶ τοῖς συγγενέσι λύπην, καὶ τρόφα βασιλείας ἀταράχου.

ΒΑΪΣΑΜΠΑΪΑΝΑΣ.

66. Τοιούτων πολυειδῶν λόγων παρὰ τοῦ Βεάσα ἀκούσας ὁ Ἰνδδιστίρας, οὗ ἡ ψυχὴ ἦν κατεχομένη τῇ ἐπὶ τοῖς συγγενέσι λύπῃ, ἀμειβόμενος ἔφη·

ΙΝΔΑΙΣΤΙΡΑΣ.

67. Ἀμετάθετος καὶ ἀκλινής ἐστιν ἡ γνώμη μου εἰς τὸν λόγον σοῦ τοῦ παντογνώστου. Πῶς οἴει; ἡ ἐκ τοῦ θανάτου τῶν συγγενῶν λύπη σφόδρα με πιέζει.

68. Φίλοι, υἱοὶ, υἱϊδεῖς, πατέρες, πάπποι, υἱοὶ ἀδελφῶν, ἀδελφοὶ, συγγενεῖς, καὶ ἀγχιστεῖς,

69. Καὶ ἄλλοι πρὸς τούτοις βασιλεῖς πολλοὶ, ἐκ πολλῶν τόπων συνελθόντες, ἀνῃρέθησαν ὑπ' ἐμοῦ τοῦ στυγεροῦ, τοῦ διψῶντος βασιλείαν.

70. Τοιούτους βασιλεῖς ἐν πολέμῳ ἐγὼ ἀνελὼν, τοῖς νομίμοις προσκαρτεροῦντας, καὶ μεγάλας θυσίας τελοῦντας, ποίας στάσεως τεύξομαι;

71. Καίομαι ἀεὶ, ἀναλογιζόμενος πολλάκις ταύτην τὴν γῆν, χηρεύουσαν τοσούτων βασιλέων, γενναίων καὶ ἐνδόξων.

72. Ὁποία ἔσεται ἡ κατάστασις ἐκείνων τῶν καλῶν γυναικῶν, αἵτινες ἐστερήθησαν ἀνδρῶν, υἱῶν, πατέρων, καὶ ἀδελφῶν;

73. Τίς ζῆν ἀνέξεται, ἀκούων τοῦ στεναγμοῦ ἐκείνων τῶν γυναικῶν, θλιβομένων, καὶ ὀδυρομένων ἡμέρας τε καὶ νυκτός;

74. Οὐδὲ ἡ κτῆσις τῆς βασιλείας τοῦ τριττοῦ κόσμου οὐκ ἂν χαροποιήσειεν ἐμὲ τὸν κακοποιὸν, τὸν τοῦ γένους ὀλετῆρα, καὶ τληπαθῆ.

ΒΑΪΣΑΜΠΑΪΑΝΑΣ.

75. Πολυεύσπλαγχνος δ' ὢν ὁ Βεάσας, ἔφη πρὸς αὐτὸν, οὕτω θλιβόμενον τῇ ἐκ τοῦ πάθους λύπῃ, καὶ ὀδυρόμενον·

ΒΕΑΣΑΣ.

76. Οὐκ ἄξιος εἶ λυπεῖσθαι, ὦ μέγα βασιλεῦ, ἐπὶ τοῖς ἀποιχομένοις· παλιλλογίᾳ χρήσομαι, ὡς δοκεῖ μοι.

77. Καθὼς τὰ ἐν ὀνείρῳ ἐλθόντα εἰς κτῆσιν, μάταια φαίνονται ἐν τῇ ἐγέρσει ἐξ ὕπνου, οὕτω καὶ οὗτοι οἱ βασιλεῖς, οἳ ἀνῃρέθησαν ἐν τῷ σταδίῳ τούτου τοῦ πολέμου.

78. Αὐτοὶ οἱ ἄριστοι βασιλεῖς οὐκ ἐπίκτητοί εἰσιν, οὔτε δι' ὅλης τῆς γῆς, οὔτε διὰ σωρῶν χρυσίου, οὔτε διὰ πάντων τῶν ἐλεφάντων καὶ ἵππων.

79. Οὔτε δὲ σὺ εἶ ὁ ἀναιρέτης αὐτῶν, οὔτε ὁ Βήμας, οὔτε ὁ Ἀρζούνας· ἀνῃρέθησαν δὲ ὑπὸ τοῦ χρόνου, καὶ τοῦ εἱμαρμένου ἑκάστῳ ἐκ τῶν ἰδίων ἔργων.

80. Σὺ μόνον τὸ ὄργανον ἐγένου ἐκείνου τοῦ χρόνου, οὗ ἴδιον καὶ δύναμίς ἐστι, τὸ ἐκπολεμοῦν ἀνθρώπους ἀνθρώποις.

81. Γίνωσκε τὸν χρόνον διὰ παντὸς θέοντα, τὰ ἀγαθὰ καὶ φαῦλα ἔργα τῶν ἀνθρώπων γινώσκοντα, καὶ ἀνταποδιδόντα τὸν καρπὸν τῶν ἔργων, δηλονότι ἀνταμειβόμενον τοὺς ἀνθρώπους ἤτοι εὐπαθείαις ἢ κακοπαθείαις.

82. Αὐτοὶ ἄρα ἀνῃρέθησαν ὑπὸ τοῦ χρόνου, ᾧ οὐδείς ἐστιν οὔτε ἀγαπητὸς (εὐμενής), οὔτε μισητὸς (δυσμενής), ὃς αὐτόπτης ἐστι τῶν ἔργων τῶν ἀνθρώπων.

83. Φρόνησον ὅτι τὰ ἔργα ἐκείνων, οἳ ἀπέθανον ἐν πολέμῳ, ἦσαν τὰ αἴτια τῆς ἀπωλείας καὶ τοῦ θανάτου αὐτῶν.

84. Σκέψαι τὴν ἣν ἔχεις κλίσιν αὐτὸς πρὸς τὰ νόμιμα καὶ τὰ τῆς ἀρετῆς ἔργα· ἀνοίκειον ἄρα αὕτη ἡ ἄγνοια σοὶ τῷ κορυφαίῳ τῶν τοῦ νόμου καὶ τῶν τῆς ἀρετῆς.

85. Σὺ ὑπὸ τῆς Εἱμαρμένης ἐβιάσθης εἰς τὸ ποιῆσαι τοιοῦτον ἔργον· τί γὰρ ἂν ποιήσειεν ὁ φρόνιμος ἄνθρωπος, ἐρεθιζόμενος ὑπὸ τῆς τῶν οἰκείων ἔργων ἰδίας Εἱμαρμένης;

86. Ὡς ἐπὶ τὸ πολὺ γὰρ ὁ νοῦς τῶν ἀνθρώπων ἐπακολουθεῖ τῷ εἱμαρμένῳ· διὸ ὁ νοῦς αὐτῶν οὕτως ἐνεργεῖ, ὡς ἐστὶ πεπρωμένον καὶ μέλλον γενήσεσθαι.

87. Τοῦτο τὸ πᾶν ἐμβεβυθισμένον ἐστὶν ἐν τῷ χρόνῳ, ὡς ἐν πελάγει βαθεῖ, ἐν ᾧ ἐστι θάνατος, νόσος, γῆρας, καὶ ἄλλα πάθη· οὐδεὶς δ' οὕτως ἐννοεῖ.

88. Κάμινός ἐστιν οὗτος ὁ κόσμος, κεράμια δὲ τὰ ὄντα, κεραμεὺς δὲ καὶ πλαστουργὸς ὁ Βραχμᾶς, ξύλα δὲ τὰ ἔργα ἑκάστου, πῦρ δὲ ὁ χρόνος.

89. Ἐν τῷ κόσμῳ τούτῳ σπόρος μέν ἐστιν ὁ πατὴρ, γῆ δὲ ἡ μήτηρ, βροχὴ δὲ τὰ ἀγαθὰ ἢ φαῦλα ἔργα, καρποὶ δὲ ὡραῖοι ἢ ἄωροι οἱ ἄνθρωποι, θεριστὴς δὲ ὁ χρόνος.

90. Ἐννοήσας οὖν, ὦ βασιλεῦ, ὡς αὕτη ἡ φθορὰ τῶν βασιλέων τῆς γῆς ἐγένετο ὑπὸ τοῦ χρόνου, ἄφες τὴν ἐκ τοῦ θανάτου τῶν συγγενῶν λύπην.

ΚΡΙΣΝΑΣ.

91. Ποίησον, ὦ ἄριστε βασιλεῦ, ὅ,τι εἴρηκεν οὗτος ὁ ὅσιος καὶ θεῖος Βεάσας, ὁ γνώστης τῶν τριῶν χρόνων, καὶ φίλα σοι φρονῶν.

92. Οἱ ἄφρονες λυποῦνται ἐπὶ πολὺ, κατεχόμενοι πάθεσιν· οἱ δὲ μεγαλόφρονες καὶ σπουδαῖοι ἄνδρες βραχύ τι λυποῦνται.

ΒΑΪΣΑΜΠΑΪΑΝΑΣ.

93. Οὕτω παραινεθεὶς καὶ παρηγορηθεὶς ὁ βασιλεὺς Ἰνδδιστίρας ὑπὸ τοῦ Βεάσα καὶ τοῦ Κρισνᾶ, περικυκλούμενος τοῖς ἀδελφοῖς καὶ τοῖς λοιποῖς πᾶσιν, ὡς ἡ σελήνη τοῖς ἄστρασιν, ἐπορεύθη πρὸς τὸν γηραιὸν Βήσμαν, πάθει κατεχόμενος.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ πεπρωμένου, ἢ προωρισμένου.

ΖΑΝΑΜΕΖΑΪΑΣ.

1. Εἰπέ μοι, ὦ Βραχμὰν, τί ἐποίησεν ὁ Ἰνδδιστίρας, προσελθὼν μετὰ τῶν ἑαυτοῦ ἀδελφῶν τῷ Βήσμᾳ, τῷ υἱῷ τοῦ Γάγγου;

ΒΑΪΣΑΜΠΑΪΑΝΑΣ.

2. Παραινεθείς τε καὶ παρηγορηθεὶς ὑπὸ τοῦ Βεάσα καὶ τοῦ Κρισνᾶ, προσελθὼν τῷ Βήσμᾳ, εἶπε, κατεσχημένος τὴν ψυχὴν τῇ ἐκ τῶν συγγενῶν λύπῃ.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

3. Πολυειδὴς παραίνεσις καὶ παραμυθία ἐγένετό μοι ὑπὸ τοῦ Βεάσα, ὦ σεβάσμιε· ἀλλ᾽ οὐδεμία ἄνεσίς ἐστι τῇ ἐμῇ ψυχῇ, ἅτε πράξαντα χαλεπὸν ἀμπλάκημα.
4. Ἐγὼ γάρ εἰμι ὁ σὸς φονεὺς, καὶ ὁ τοῦ ὅλου γένους ἅμα φθορεύς· ὅθεν οὐδαμῶς ἄνεσιν ἔχω, ἀναπολῶν τὰ κακῶς πεπραγμένα.
5. Βλέπων σου τὸ σῶμα κατάβροχον καὶ περιῤῥεόμενον αἵματι, ὡς τὸ ὄρος ὕδατι, καὶ καταπεπαρμένον καὶ κατεστιγμένον τοῖς βέλεσιν, ὡς τὸν λωτὸν τοῖς κρουναῖς τοῦ ὑετοῦ, ταράττομαι, καὶ θλίβομαι.
6. Ἀνελὼν δόλῳ σὲ τὸν μεγαλόθυμον, τὸν φιλόθεον, τὸν φιλαλήθη καὶ φιλάρετον, ποίας ἆρά γε χώρας τεύξομαι;
7. Εἰ ἀγάπη σοί ἐστι πρὸς ἐμὲ, ὦ βασιλεῦ, συμβούλευσόν μοι, ὅπως ἀπαλλαγῶ τοῦ μεγάλου τούτου καὶ φοβεροῦ ἀμπλακήματος.

ΒΗΣΜΑΣ.

8. Σὺ ὢν ὑπεξούσιος, πῶς νομίζεις σεαυτὸν ὑπαίτιον; τὸ αἴτιον ταύτης σου τῆς πράξεως ἀόρατόν ἐστι καὶ ἀκατάληπτον, ὦ μέγα βασιλεῦ.

9. Οἱ σοφοὶ δοξάζουσιν, ὡς ἡ διάνοια πάντων τῶν ἀνθρώπων ὑπὸ τὴν ἐξουσίαν ἐστὶ τοῦ πεπρωμένου· διὸ καὶ ἐνεργεῖ οὕτως, ὡς ἐστὶ πεπρωμένον, καὶ μέλλον γενήσεσθαι.

10. Ὅ,τι οὐκ ἔστι πεπρωμένον, οὐδαμῶς τοῦτο γενήσεται· εἰδ' ἔστι πεπρωμένον, οὐκ ἄλλως πως ἔσεται· διὰ τί ἆρα οὐ πίνεις τοῦτο τὸ ἀντίδοτον τοῦ οὗ ἔχεις φαρμακεροῦ λογισμοῦ;

11. Ἐπὶ τούτου ἐπάγουσι παραδειγματικῶς τοῦτον τὸν παλαιὸν μῦθον, τὸν διάλογον τοῦ Θηρευτοῦ, τῆς Γανταμῆς, τοῦ Ὄφεως, τοῦ Θανάτου, καὶ τοῦ Χρόνου.

12. Γραῦς Βραχμανὴ, Γαουταμὴ τοὔνομα, ἐν ἐρημικῇ καλύβῃ, εἶδε τὸν ἑαυτῆς υἱὸν ἄπνουν, δακέντα ὑπ' ὄφεως.

13. Τοῦτον δὲ τὸν ὄφιν δήσας βρόχῳ ἐκ θυμοῦ Θηρευτὴς, Ἀρζούνας ὀνόματι, προσήνεγκε τῇ Γανταμῇ εἰπών·

ΘΗΡΕΥΤΗΣ.

14. Οὗτος ὁ κακὸς ὄφις ἐστὶν ὁ σὸς παιδοκτόνος· εἰπὲ εὐθέως, ὦ ἀγαθὴ, εἰ θέλεις, ἵν' ἀναιρεθῇ ὑπ' ἐμοῦ.

ΓΑΟΥΤΑΜΗ.

15. Τούτου ἀναιρεθέντος, ὦ Θηρευτὰ, οὐδαμῶς τὸ ζῆν ὁ ἐμὸς υἱὸς ἀναλήψεται, οὐδ' ἄλλο τι ὄφελος ἐκ τοῦ θανάτου τούτου λήψεται· ἀπόλυσον οὖν αὐτὸν τὸν ταλαίπωρον ὄφιν.

16. Ὅ,τι ἐστὶν εἱμαρμένον καὶ προωρισμένον, ἐκ τούτου οἱ ἄνθρωποι θανάτου τυγχάνουσιν ἢ διὰ νόσου, ἢ πυρὸς, ἢ φαρμάκου, ἢ ὅπλου, ἢ πείνης, ἢ ὄφεως, ἢ θηρίου, ἢ ὕδατος.

17. Οὐ δεῖ κακὸν ἀντὶ κακοῦ ποιεῖν, ἀλλ' ἀγαθὸν μάλιστα· αὐτὸς γὰρ ἑαυτὸν κακοποιεῖ, ὃς κακὸς ὢν, κακὸν ποιεῖν ἐπιθυμεῖ.

18. Ὅς τις κακὸν τῷ κακῷ ποιεῖ, οὗτος τὸν κεκαυμένον πάλιν κατακαίει, καὶ τὸν ἀνῃρημένον πάλιν ἀναιρεῖ, καὶ τὸν νενεκρωμένον πάλιν νεκροῖ.

19. Ὅςτις νηλεὴς ὢν, ἀναιρεῖ τοὺς προαναιρεθέντας ἐκ τῆς ἑαυτῶν ἀγνοίας, οὗτος θανὼν, τοῦ ᾄδου τυγχάνει, ἀνθρωποκτόνος, καὶ νεκροκτόνος ὤν.

ΘΗΡΕΥΤΗΣ.

20. Οὐ γίνεται κακὸν ἐκ τῆς τῶν κακῶν ἀναιρέσεως, ὦ ἀγαθή· ὅθεν ἀναιρετέος ἐστὶν οὗτος ὁ ἀνθρωποκτόνος, καὶ παιδοκτόνος.

ΓΑΟΥΤΑΜΗ.

21. Εὐπόριστοί εἰσι καὶ πολλοὶ, οἱ ποιοῦντες ἀγαθὸν τοῖς ἀγαθοποιοῖς· οἱ δὲ ποιοῦντες ἀγαθὸν τοῖς κακοῖς, δυσεύρετοι καὶ σπάνιοι.

22. Ἐκεῖνοί εἰσιν ἀγαθοὶ, καὶ ἐπ' ἀγαθῷ γεγεννημένοι, καὶ ὑπ' ἐκείνων ἡ γῆ ἀγλαΐζεται, οἳ ἀγαθοποιοῦσι τοὺς κακοποιοῦντας.

23. Τίς εὔσπλαγχνος ὤν, κρίνει καὶ ἕτερον διδόναι κακὸν τοῖς κακὸν μέλλουσι παθεῖν, ἢ διὰ νόσου, ἢ δι' ὕδατος, ἢ ἄλλου του συναντήματος;

24. Ὅςτις κακὸν δίδωσιν ἄλλῳ, οὗτος κακὸν ἀντιλαμβάνει· μηδεὶς οὖν ἄλλῳ τινι διδότω κακὸν, ὃς φοβεῖται τὸ κακόν.

25. Ὅτε οὐ γίνεται ὃ θέλεις καὶ ἀγαπᾷς, τί δεῖ ποιεῖν μέγα ἀμπλάκημα; πῶς κόπτεται τὸ μέλος τοῦ ἐμψύχου, ὃ οὐκ ἀναφύεται;

ΒΗΣΜΑΣ.

26. Καίπερ ἐρεθιζομένη πολλάκις ἡ ἀγαθὴ Βραχμανὴ ὑπὸ τοῦ Θηρευτοῦ εἰς ἀναίρεσιν τοῦ Ὄφεως, οὐκ ἐποίησε γνώμην εἰς τὸ κακόν.
27. Ὅς ἐστι γνήσιος ἐκ μητρὸς καὶ πατρὸς, καὶ ἄμωμος τοῖς ἔργοις, καὶ καθάριος τοῖς βρώμασιν, τούτου καὶ ἐν δεινοῖς ὄντος, ὁ νοῦς οὐχ ἥδεται τῷ κακῷ.
28. Καὶ παρακινούμενος ὁ ἀγαθοφυὴς, οὐκ ἔρχεται εἰς τὸ κακόν· ὁ δὲ κακοφυὴς, καὶ κωλυόμενος ἀπὸ τοῦ κακοῦ, κακοῦ ἐπιθυμεῖ.
29. Ὅστις καὶ νουθετούμενος ὑπὸ τῶν φρονίμων ἐπιθυμεῖ κακουργίας, οὗτος οὐ προσδέχεται καθαρότητα, καθὼς ὁ ἄνθραξ, τριβόμενος, καὶ σμηχόμενος.
30. Ὃς νοῦς μεμολυσμένος ἐστὶν ἐν πολλαῖς προτέραις γεννήσεσι, τοῦτον ὁ ἄνθρωπος ἀσπάζεται, καὶ προτιμᾷ· ἡ δὲ παραίνεσις ἀνωφελής.
31. Μόλις δ' ὁ Ὄφις ἀναπνέων, ἅτε θλιβόμενος τῷ βρόχῳ, θαῤῥήσας, ἐξηρεύξατο φωνὴν ἀνθρώπου χθαμαλήν.

ΟΦΙΣ.

32. Τί ἔγκλημά ἐστιν ἐμοὶ, ὦ νήπιε Ἀρζούνα, ἐπὶ τούτου; ἐμὲ γὰρ, ὑπεξούσιον ὄντα, ἠρέθισεν εἰς τοῦτο ὁ Θάνατος.
33. Ἐκ τοῦ Θανάτου τῆς προσταγῆς ἐδάκη ὑπ' ἐμοῦ ὁ παῖς, καὶ οὐχὶ ἐκ θυμοῦ, ἢ δι' ἄλλο τι τέλος· εἰς ἐκεῖνον οὖν ἀνάγεται τοῦτο τὸ κακὸν, εἰ κακόν ἐστιν ἐνταῦθα.

ΒΗΣΜΑΣ.

34. Οὕτω λέγοντος τούτου τοῦ Ὄφεως, ὡς ὑπὸ τοῦ Θανάτου

ἠρεθίσθη, παρέστη ἐξαίφνης ὁ Θάνατος, καὶ τάδε εἶπε τῷ Ὄφει·

ΘΑΝΑΤΟΣ.

35. Ἐγὼ ὑπὸ τοῦ Χρόνου ἐρεθισθεὶς, προσηρέθισα σὲ τὸν Ὄφιν· ὁ αἴτιος ἄρα τῆς ἀπωλείας τούτου τοῦ παιδὸς, ὁ Χρόνος ἐστιν, ἀλλ' οὐχὶ ἐγὼ, ἢ σύ.

36. Πάντα κινητὰ καὶ ἀκίνητα ἐν οὐρανῷ, ἢ ἐν γῇ, ὑποκείμενά εἰσι τῷ Χρόνῳ· ἐκ γὰρ τοῦ Χρόνου τὸ εἶναι ἔχει τοῦτο τὸ πᾶν.

37. Ὁ Χρόνος, ὁ ὢν ἄναρχος, καὶ ἀτελεύτητος, πρωταίτιός ἐστι τοῦ παντὸς, καὶ πάντα τὰ ἐν τῷ παντὶ πέπειρα ποιεῖ, ὡς τὸν ἐπὶ τοῦ δένδρου καρπόν.

38. Οὔτ' ἐπῳδὴ, οὔτ' ἐγκράτεια, οὔτε δόσις χρημάτων, οὔτε φίλοι, ἢ οἰκεῖνι, σῶσαι δύνανται τὸν ἄνθρωπον, τὸν καταπονούμενον ὑπὸ τοῦ Χρόνου.

39. Τρεῖς βρόχοι ἀπαραίτητοί εἰσι, πεποιημένοι ὑπὸ τοῦ Χρόνου· ἡ γέννησις, ὁ γάμος, καὶ ὁ θάνατος, καὶ οὐδεὶς οἶδε, πότε, ἢ ποῦ, ἢ ἐκ ποίας φύσεως ἢ φυλῆς γεννηθήσεται, καὶ πότε, ἢ ποῦ, ἢ τίνι συζευχθήσεται, καὶ πότε, ἢ ποῦ, ἢ πῶς τεθνήξεται.

40. Καθὼς ἐν αἰθέρι βιαζόμενον τὸ νέφος φέρεται ὑπὸ τοῦ ἀνέμου, οὕτω καὶ τὸ πᾶν τοῦτο ὑπὸ τοῦ Χρόνου, τοῦ συνημμένου τῷ ἔργῳ τῷ πεπρωμένῳ.

ΒΗΣΜΑΣ.

41. Παραστὰς δ' ὁ Χρόνος ἐν ταύτῃ τῇ ἀμφιβολίᾳ τοῦ ἀληθοῦς καὶ τοῦ ὀρθοῦ, ἔλεξε πρὸς τὸν Ὄφιν, πρὸς τὸν Θάνατον, καὶ πρὸς τὸν Θηρευτὴν Ἀρζούναν·

ΧΡΟΝΟΣ.

42. Οὔτ' ἐγὼ, οὔτε ὁ Θάνατος, οὐδ' οὗτος ὁ Ὄφις, ὦ Θηρευτὰ, αἴτιοί ἐσμεν τοῦ θανάτου τούτου τοῦ παιδός· ἀλλ' οὔτ' ὁ Θάνατός ἐστιν, ὦ Ὄφι, οὔτ' ἐγώ εἰμι, ὦ Θάνατε, ὁ ἐρεθίσας.

43. Ὅ,τι πεπραγμένον ἐστιν ὑπὸ τούτου τοῦ παιδὸς, τοῦτό ἐστι τὸ προτρεπτικὸν καὶ αἴτιον τοῦ θανάτου αὐτοῦ· ἅπαντες δ' ἡμεῖς ἐσμὲν ὑπεξούσιοι τῷ πεπραγμένῳ ἔργῳ.

44. Ἐκ τῶν πράξεων ὁ ἄνθρωπος κέκτηται υἱοὺς καὶ κληρονόμους καὶ ἀγχιστεῖς, καὶ συγγενεῖς· αἱ πράξεις ἐρεθίζουσι τὸν ἄνθρωπον ἤτοι εἰς τὸ ἀγαθὸν, ἢ εἰς τὸ κακόν.

45. Πέντε ταῦτα προώρισται τῷ ἀνθρώπῳ, ὄντι ἔτι ἐν γαστρί· πόσον ζήσεται, τί ἐργάσεται, πόσην περιουσίαν κτήσεται, ὁποίαν τέχνην μαθήσεται, καὶ πότε ἢ ποῦ ἢ πῶς τεθνήξεται.

46. Καθὼς ὁ χρυσὸς ἢ ὁ ἄργυρος ἐγχεόμενος τυποῦται κατὰ τὸ πρωτότυπον, οὕτω καὶ ὁ ἄνθρωπος ἀναγκαζόμενος, πράττει κατὰ τὸ προπεπραγμένον ἔργον.

47. Καθὼς ὁ πηλὸς ὑλικόν ἐστιν αἴτιον τῷ κεραμεῖ, ἐξ οὗ πλαστουργεῖ πᾶν ὅ,τι ἂν ἐθέλῃ, οὕτω καὶ τὸ προπεπραγμένον ἔργον ποιητικόν ἐστιν αἴτιον τῷ ἀνθρώπῳ.

48. Ἐκ τῶν οἰκείων ἔργων πᾶσα ψυχὴ ζῶσα τυγχάνει φύσεως θεῶν, ἢ ἀνθρώπων, ἢ θηρίων, ἢ ὀρνέων, ἢ ζωϋφίων, ἢ ἀψύχων καὶ ἀκινήτων.

49. Καθὼς τὰ ἄνθη καὶ οἱ καρποὶ οἴκοθεν ἀναδίδονται, καὶ τὸν οἰκεῖον καιρὸν οὐχ ὑπερβαίνουσιν, οὕτω καὶ τὰ προπεπραγμένα ἔργα.

50. Ὅστις ὅ,τι πρότερον ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακὸν, οὗτος τοῦτο ἀπολαμβάνει μετέπειτα ἀφεύκτως.

51. Τὸ ἐν τῷ προτέρῳ σώματι πεπραγμένον ὑπὸ τοῦ ἀνθρώπου, εἴτε ἀγαθὸν, εἴτε κακὸν, ἔρχεται εἰς ἀπόλαυσιν ἅμα τῇ γεννήσει.

52. Οὐδεὶς ἐπὶ γῆς δυνατός ἐστι μετατρέψαι βίᾳ ἢ μηχανῇ τὸ ἐν τῷ προτέρῳ σώματι πεπραγμένον.

53. Κατ' ἄλλον μὲν τρόπον ὁ ἄνθρωπος τῇ οἰκείᾳ ἀγχινοίᾳ καὶ σοφίᾳ θέλει ποιῆσαι τὸ πρᾶγμα, κατ' ἄλλον δὲ τρόπον τοῦτο ποιεῖ τὸ προπεπραγμένον ἔργον, ὡς αὐτεξούσιον.

54. Ὅσα ἔπραξαν οἱ ἄνθρωποι, ἤτοι ἀγαθὰ ἢ κακὰ, ταῦτα σύνεισιν αὐτοῖς εἰς ἀπόλαυσιν· ὅστις δὲ οἴεται, ὡς αὐτός ἐστιν ὁ αἴτιος τῶν πρὸς τοὺς ἄλλους ἀγαθῶν ἢ κακῶν, οὗτος οἰηματίας ἐστὶ καὶ φρονηματίας.

55. Καθὼς ἐν χιλίαις δαμάλεσιν ὁ μόσχος γινώσκων εὑρίσκει τὴν ἑαυτοῦ μητέρα, οὕτω καὶ τὸ προπεπραγμένον ἔργον τὸν πράξαντα.

56. Τὸ προπεπραγμένον ἔργον οὐκ ἐξαλείφεται, ὡς δυσεξάλειπτον, ἐὰν μὴ ἔλθῃ εἰς ἀπόλαυσιν. Τίς μετατρέψαι τοῦτο δύναται;

57. Τὸ προπεπραγμένον ἔργον καὶ ὀξέως θέοντι τῷ ἀνθρώπῳ ἐπιθέει, καὶ καθημένῳ συγκάθηται.

58. Τὸ ἔργον καὶ ἱσαμένῳ τῷ ἀνθρώπῳ παρίσαται (συνίσαται), καὶ πορευομένῳ συμπορεύεται, καὶ πράττοντι συμπράττει, καὶ ἐπακολουθεῖ αὐτῷ, καθὼς ἡ σκιὰ τῷ σώματι.

59. Καθὼς ὁ ἥλιος καὶ ἡ σκιὰ ἀδιαλείπτως σύνεισιν ἀλλήλοις, οὕτω καὶ ἡ πρᾶξις καὶ ὁ πράξας. Ἐνταῦθα οὐδεμία ἀμφιβολία.

60. Ὁ πλανήτης, ἡ νόσος, τὸ φάρμακον, ὁ κλέπτης, ὁ τύραννος, ὁ ὄφις, ταῦτα πάντα μετέπειτα καταθλίβουσι τὸν ἄνθρωπον, τὸν κατεχόμενον ὑπὸ τοῦ προπεπραγμένου ἔργου.

61. Ὅπου ἀνάγκη ἐστὶν ἀπολαῦσαι τοῦ ἀγαθοῦ, ἢ τοῦ κακοῦ, ἐκεῖσε ἑλκόμενος φέρεται βιαίως ὁ ἄνθρωπος, δεδεμένος τῷ πεπρωμένῳ, ὥσπερ σχοινίῳ.

62. Τὸ εἱμαρμένον ἐστὶ τὸ κυρίως αἴτιον, ὃ δίδωσι τῷ ἀνθρώπῳ καὶ εὐπάθειαν καὶ κακοπάθειαν, καὶ σύνεσιν αὐτῷ καὶ γρηγοροῦντι καὶ ὑπνοῦντι. Οὐ δεῖ διςάζειν εἰς τοῦτο.

63. Τὸν μὲν φυλαττόμενον τὸ εἱμαρμένον ἀπόλλυσιν, ὡς ἄξιον ὄντα ἀπωλείας· τὸν δὲ μὴ φυλαττόμενον διαφυλάττει ἐξ ὅπλου, πυρὸς, φαρμάκου, καὶ ἄλλου δεινοῦ, ὡς ἄξιον ὄντα διαφυλάξεως.

64. Τὸ μὲν ἀφύλακτον διασώζεται, ὡς φυλαττόμενον ὑπὸ τοῦ εἱμαρμένου· τὸ δ' εὐφύλακτον διόλλυται, ὡς ἐλαυνόμενον ὑπὸ τοῦ πεπρωμένου. Ὁ ἀτιμέλητος (ἀπροστάτευτος), καὶ ἐν ἐρήμῳ ἐγκαταλελειμμένος, ζῇ· ὁ δ' ἐπιμελείας ἀξιούμενος, καὶ ἐν οἴκῳ ὢν, οὐ ζῇ.

65. Καθὼς οἱ κόκκοι, καὶ οἱ σπόροι, καὶ οἱ θησαυροὶ ἐν τῇ γῇ ἵστανται, καὶ ἐξανίστανται, οὕτω καὶ αἱ πράξεις ἐν τῷ ἀνθρώπῳ.

66. Καθὼς ὁ λύχνος σβέννυται μετὰ τὴν ἀνάλωσιν τοῦ ἐλαίου, οὕτω καὶ τὸ σῶμα τοῦ ἀνθρώπου θνήσκει μετὰ τὴν ἀνάλωσιν τοῦ προπεπραγμένου ἔργου.

67. Μετὰ τὴν ἀνάλωσιν τῶν ἔργων ἔρχεται ὁ θάνατος· οὕτω λέγουσιν οἱ σοφοί· τὰ δὲ διάφορα πάθη τῶν ἀνθρώπων ὄργανά εἰσιν ἐκείνων τῶν ἔργων.

68. Ταῦτ' ἄρα, ὦ Θηρευτὰ, οὔτ' ἐγώ εἰμι ὁ αἴτιος, οὔθ' ὁ Θάνατος, οὐδ' οὗτος ὁ Ὄφις, οὐδὲ μὴν αὕτη ἡ γραῦς Βραχμανὴ, ἀλλ' αὐτὸς ὁ παῖς.

69. Αὐτὸς γὰρ ὁ ἄνθρωπός ἐστιν αἴτιος τῶν τε κακοπαθειῶν, καὶ εὐπαθειῶν ἑαυτοῦ, καὶ τῆς γεννήσεως, καὶ τοῦ θανάτου, καθὼς τὸ προστριβόμενον ξύλον ὄργανόν ἐστι τῆς ἐξάψεως τοῦ πυρός.

ΒΗΣΜΑΣ.

70. Οὕτως ἀκούσασα παρὰ τοῦ Χρόνου ἡ Βραχμανὴ Γαουταμὴ, καὶ πεισθεῖσα, ὡς οἱ ἄνθρωποι ἀπολαμβάνουσιν ἀνθ' ὧν ἔπραξαν, ἔλεξε πρὸς τὸν Θηρευτὴν Ἀρζούναν·

ΓΑΟΥΤΑΜΗ.

71. Οὔτε ὁ Χρόνος, οὔτε ὁ Θάνατος, οὔτε ὁ Ὄφις ἐστὶν αἴτιος ἐνταῦθα· ὁ παῖς οὗτος ἐξ οἰκείων ἔργων θανάτου ἔτυχε κατὰ τὸν ὡρισμένον χρόνον.

72. Ὑπ' ἐμοῦ δ' ἴσως πέπρακται τὸ ἔργον, ἐξ οὗ ὁ ἐμὸς υἱὸς οὗτος ἐτεθνήκει· ἄπελθε, ὦ Χρόνε, καὶ σὺ, ὦ Θάνατε· σὺ δὲ, ὦ Ἀρζούνα, ἀπόλυσον τὸν Ὄφιν.

ΒΗΣΜΑΣ.

73. Ὁ μὲν δὴ Χρόνος, καὶ ὁ Θάνατος, καὶ ὁ Ὄφις, ἀπῆλθον, ὅθεν ἦλθον· ὁ δ' Ἀρζούνας ἐγένετο ἀόργητος, καὶ ἡ Γαουταμὴ ἄλυπος.

74. Οὕτως εἰδὼς, ὦ βασιλεῦ, ἄνεσιν ἔχε· μηδ' ἔσο σύννους καὶ ἐμμέριμνος· ἴσθι δὲ, ὡς ἅπαντες οἱ ἐν τῷ τριττῷ κόσμῳ ἀπολαμβάνουσιν ἀνθ' ὧν ἔπραξαν.

75. Τὰ τοῦ πολέμου οὐκ ἐγένετο οὔτ' ἐκ σοῦ, οὔτ' ἐκ τοῦ Δουριοδδάνα, ἢ ἐξ ἄλλων, ἀλλ' ἐκ τοῦ πεπρωμένου ἀνῃρέθησαν τοσοῦτοι βασιλεῖς καὶ ἡγεμόνες.

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

76. Ἀκούσας τοῦ λόγου τοῦ Βήσμα ὁ υἱὸς τοῦ Νόμου Ἰνδδιστίρας, ἀφεὶς τὴν ἐκ τῶν συγγενῶν λύπην, ἄνεσιν ἔσχεν ἐν τῇ ἑαυτοῦ ψυχῇ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ἐγκρατείας.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

1. Νῦν δὲ μυσταγωγήσας με, ὦ σεβάσμιε, εἰπέ μοι, τίς ἐστιν ἡ μεγίστη καὶ ἀρίστη ἀρετή;

ΒΗΣΜΑΣ.

2. Οἱ μεγάλοι καὶ ὀρθόδοξοι ἄνδρες, τὴν ἐγκράτειαν λέγουσιν ἀρίστην· ἡ γὰρ ἐγκράτεια ἀρετή ἐστιν· ἀρχαία καὶ αἰώνιος (ἀΐδιος), καὶ ἰδία κατ' ἐξοχὴν τοῦ Βραχμᾶνος.
3. Ἡ ἐγκράτεια αὐξάνει τὸ φῶς τοῦ νοός· ἡ ἐγκράτεια λέγεται ἁγνότης· ὁ δ' ἁγνὸς καὶ φωτεινὸς κατὰ τὸν νοῦν, τελευτήσας, τυγχάνει τοῦ ὑψίστου φωτός.
4. Ἡ ἐγκράτεια κρείττων ἐστὶ τῆς τελεσιουργίας τῶν νομιζομένων θυσιῶν, τῆς προσευχῆς καὶ τῆς νηστείας, καὶ πάσης ἄλλης ἀρετῆς ἐπωφελοῦς.
5. Τοῦ δ' ἀκρατοῦς τὸ ἔργον, οἷον, ἡ σκληραγωγία, ἡ θυσία, ἡ δόσις, καὶ ἡ πρὸς τοὺς ξένους μεγάλη ξενία οὐ τελεσιουργεῖται, οὐδὲ τελεσφορεῖται, ὡς εἰκός.
6. Τί δεῖ ἐρήμου τῷ ἐγκρατεῖ; τί δεῖ ἐρημικῆς διατριβῆς τῷ ἐγκρατεῖ; ὅπου γὰρ διατρίβει ὁ ἐγκρατὴς, ἐκείνη ἐστὶν ἡ ἔρημος, ἐκείνη ἐστὶν ἡ ἐρημικὴ διατριβή.
7. Τίς ἀνάγκη καὶ ὠφέλεια ἐρημικῆς διαγωγῆς τῷ ἀμοίρῳ ὄντι ἀγαθῆς γνώμης, τῷ μὴ κρατοῦντι τῶν αἰσθήσεων, μηδὲ ζῶντι ἐν εὐθύτητι;
8. Καὶ ἐν ἐρήμῳ πάθη τοῖς ἐμπαθέσιν ἐξανίστανται, καὶ ἐν κόσμῳ ἡ χαλιναγωγία τῶν πέντε αἰσθήσεων ἐρημικὴ σκληραγωγία καθίσταται. Ὅστις γὰρ ἐνασχολεῖται ἔργοις

ἀγαθοῖς, καὶ κρατεῖ τῶν παθῶν, τούτῳ ἡ κοσμικὴ διατριβὴ ἐρημική ἐστι σκληραγωγία.

9. Καὶ ἐν κόσμῳ λύτρωσις γίνεται τοῖς ἐγκρατέσι, τοῖς φιλοξένοις, καὶ φιλαρέτοις, καί τοι ἐντρυφῶσι ταῖς ἑαυτῶν γυναιξὶ, καὶ ἐσθίουσι καὶ πίνουσι, πονοῦντες, καὶ ἐργαζόμενοι κατὰ τὸν οἰκεῖον νόμον.

10. Λύτρωσις οὐ γίνεται τῷ φιλολόγῳ, οὔτε τῷ ἀγαπῶντι οἴκους ἡδονικοὺς, καὶ φορέματα, καὶ βρώματα, οὔτε τῷ θελξίνοϊ, καὶ ἀνθρωπαρέσκῳ.

11. Λύτρωσις δὲ γίνεται βεβαία τῷ φιλησύχῳ, τῷ μὴ ποιοῦντι τὰ ἀρεστὰ ταῖς πέντε αἰσθήσεσι, τῷ προσκειμένῳ στερεῶς καὶ ἐγκαρδίως τῇ θεοφροσύνῃ, καὶ τοῖς νενομισμένοις, καὶ τῷ ἀπέχοντι ζωοκτονίας.

12. Ὁ ἐγκρατὴς ἡδέως ὑπνώττει, καὶ ἡδέως ἐγείρεται· καὶ πάσχων ἐν ἀνέσει ἐστὶ, καὶ εὐφραίνεται τὴν καρδίαν.

13. Ὁ ἐγκρατὴς, μεγαλόφρων ὢν, οὐ λαμβάνει τοσαύτην ἡδονὴν ἐφ' ἅρματι, ἐφ' ἵππῳ, ἢ ἐπ' ἐλέφαντι, ὅσην ἐφ' ἑαυτῷ, δαμασθέντι, καὶ χαλιναγωγηθέντι.

14. Τὴν ἐγκράτειαν ἁπλῶς οὐ λέγουσιν ἐγκράτειαν· ἐγκράτεια δὲ λέγεται τὸ κρατεῖν ἑαυτοῦ. Ὅςτις τοιγαροῦν δαμάζων, κρατεῖ ἑαυτοῦ, οὗτος λέγεται κυρίως ἐγκρατής.

15. Ἀεὶ φόβος γίνεται ἐκ τῶν ἀκρατῶν ἀνθρώπων, καθὼς ἐκ τῶν σαρκοφάγων θηρίων, ὧν εἰς ἀπαγόρευσιν καὶ διακώλυσιν ποινὴ καὶ παιδεία ὡρίσθη ὑπὸ τοῦ ποιητοῦ Βραχμᾶ.

16. Ἡ ποινὴ διασώζει τὰ ὄντα, καὶ διαφυλάττει τοὺς ἀνθρώπους, καὶ κωλύει τὰ κακά· ἡ ποινὴ κραταιά ἐστιν.

17. Ἡ πρὸς τοὺς ἀνθρώπους ποινὴ, ἐν ᾗ ἵσταται ὁ νόμος, εἰκονίζεται μέλαινα, νέα, ἐρυθρόφθαλμος, καὶ πάντῃ φρικώδης.

18. Οἱ ὅσιοι καὶ πραεῖς τῷ πνεύματι λέγουσιν, ὡς ἡ ἐγ-

κράτεια, ἐξ ἧς ἐπίκτητός ἐστιν ἡ θεοφροσύνη, ἡ λύτρωσις, καὶ ὁ οὐρανὸς, ἓξ παρεπόμενα ἔχει τὰ ἑξῆς·

19. Τὸ μὴ καταφρονεῖν, τὸ μὴ ὑπερφρονεῖν, τὸ μὴ ἔχειν ἔχθραν, τὸ παραβλέπειν, τὸ μὴ μισεῖν (φθονεῖν), καὶ τὸ μὴ ὀργίζεσθαι.

20. Ὁ ἐγκρατὴς, καταφρονούμενος ἡδέως ἀναπαύεται· ὁ δ' ἀκρατὴς, καταφρονῶν, διόλλυται· ὁ ἐγκρατὴς, καταφρονούμενος, οὐδαμῶς λογίζεται κακὸν κατὰ τοῦ καταφρονήσαντος.

21. Ὁ ἐγκρατὴς, βλέπων εἰς τὰ οἰκεῖα ἔργα, οὐ κατακρίνει τὰ ἀλλότρια, οὐδὲ καυχᾶται ἐν ἑαυτῷ, οὐδὲ ῥίπτει αἴσχη καὶ σφάλματα κατ' ἄλλων.

22. Ἡ ἐγκράτεια καλύπτει τὸν Βραχμᾶνα, τὸν ὄντα ἄμοιρον μαθήσεως καὶ λαμπρῶν γονέων, καὶ μὴ ποιοῦντα τὰ νενομισμένα ἔργα, καθὼς τὸ φόρεμα καλύπτει τὸ ἐλλιπομελὲς καὶ ἀνάπηρον σῶμα.

23. Οἳ οὐκ ἀσπάζονται τὴν ἐγκράτειαν, οὗτοι ανωφελῶς ἐνασχολοῦνται τῇ μαθήσει· ἡ γὰρ ἐγκράτεια ῥίζα τῆς μαθήσεώς ἐστιν. Ἡ ἐγκράτεια ἀρετή ἐστιν ἀΐδιος (ἀρχαία καὶ αἰώνιος).

24. Ὁ ἐγκρατὴς, ἐμβεβυθισμένος τῇ ἐκ τῆς οἰκείας ἐγκρατείας ἡδονῇ, οὔτε ἐὰν τιμᾶται, καὶ ζυγοστατῆται μετὰ χρυσίου, οὔτε, ἐὰν ἀτιμάζηται, καὶ νύττηται, αἰσθάνεται, ὡς ὁ ἀσκός.

25. Μόνη ἡ ἐγκράτεια, ὅτε καλῶς πράττεται, ὁ κυρίως ἐςὶ σκοπὸς (τὸ σκοπιμώτατόν ἐστι τέλος) τῷ ἐγκρατεῖ, τουτέστιν, ἡ λύτρωσις· ἥκιστα δὲ αἱ τέσσαρες Βέδαι, καὶ αἱ ἐπιστῆμαι πᾶσαι τῷ ἀκρατεῖ.

26. Οὐκ ἔστιν ἄξιον τιμὴν προσφέρειν τῷ Βραχμᾶνι, τῷ ὄντι ἀμοίρῳ ἐγκρατείας, εἰ καὶ οἶδε τὰς τέσσαρας Βέδας, καὶ τὰς λοιπὰς ἐπιστήμας.

27. Οὔτε αἱ Βέδαι καὶ ἐπιστῆμαι σὺν αὐτῇ τῇ θεωρίᾳ καὶ θεολογίᾳ, οὔτε τὸ μέγα γένος, θεραπεία καὶ ὠφέλειά ἐστι τῷ δυστήνῳ ἀνθρώπῳ, τῷ ὄντι ἀμοίρῳ ἐγκρατείας.

28. Τὸν ὄντα ἄνευ ἐγκρατείας οὐ καθαίρουσιν αἱ Βέδαι, εἰ καὶ ἅπασαι γινώσκονται· αἱ Βέδαι ἐγκαταλείπουσιν αὐτὸν ἐν ὥρᾳ θανάτου, καθὼς οἱ ὄρνεις τὴν καλιὰν, πτερωτοὶ γενόμενοι.

29. Ἡ ἐγκράτεια λογίζεται (κρίνεται) τὸ κύριον πάντων· οὐδέν τι γὰρ κρεῖττόν ἐστι τῆς ἐγκρατείας· αἵτε γὰρ Βέδαι καὶ ἅπασαι αἱ ἐπιστῆμαι ἀνωφελεῖς εἰσι τῷ ἀμοίρῳ ἐγκρατείας.

30. Ὁ ἐγκρατὴς Βραχμὰν ἐκ μὲν τῆς ἀτιμίας ἀεὶ τέρπεται, ὡς ἐκ πόσεως ἀμβροσίας· ἐκ δὲ τῆς τιμῆς δυσανασχετεῖ, ὡς ἐκ πόσεως φαρμάκου.

31. Ἐκ μὲν τῆς ἀτιμίας ἡ ἐγκράτεια αὐξάνει· ἐκ δὲ τῆς τιμῆς φθίνει. Ὁ ἐγκρατὴς, τιμηθεὶς καὶ δοξασθεὶς, ὡς ἡ ἀμελχθεῖσα δάμαλις καθίσταται.

32. Καθὼς δὲ ἡ ἀμελχθεῖσα δάμαλις, πάλιν πιαίνεται τοὺς μαστοὺς τῇ ἡδείᾳ χλόῃ, οὕτω καὶ ὁ τιμηθεὶς ἐγκρατὴς, πάλιν ἐντελὴς γίνεται ταῖς προσευχαῖς καὶ ταῖς σπονδαῖς.

33. Οὐκ ἔστιν ἄλλος οὕτως εὐμενὴς, ὡς ὁ λοίδορος καὶ ὑβριστής· ἐπειδὴ αὐτὸς τὰ μὲν ἁμαρτήματα ἐκείνου τοῦ ὑβριζομένου εἰς ἑαυτὸν ἀναλαμβάνει, τὰς δ' ἀρετὰς ἑαυτοῦ ἐκείνῳ δίδωσιν.

34. Ὅστις ὑβρίζει, τοῦτον ὁ θάνατος κατακαίει, καὶ τὰς ἀρετὰς αὐτοῦ ἀφαρπάζει. Ὅστις ἔχει τρυβλίον τμῆμα πιθάκνης, καὶ οἶκον τὴν ῥίζαν τοῦ δένδρου, καὶ ῥάκια φορεῖ, καὶ μονάζει ἐν ἐρήμῳ,

35. Καὶ οὐδενὸς ἐφίεται, καὶ τὴν σωφροσύνην ἀσπάζεται, οὗτος τυγχάνει τῆς ὑψίστης χώρας, ἐὰν ἔχῃ ἐγκράτειαν.

μὴ νικῶν δὲ τὴν ἐπιθυμίαν καὶ τὸν θυμὸν, τί ποιήσει ἐν ἐρήμῳ;

36. Ὅστις, καρτερικὸς ὢν, ἀποβάλλει τῇ ἀνοχῇ τὸν ἐγειρόμενον θυμὸν, ὡς ὁ ὄφις τὸ γηραλέον δέρμα, οὗτός ἐστιν ὁ ἄριστος πάντων.

37. Ἡ μὲν μάθησις στερεοῦται ἐκ τῆς γυμνάσεως καὶ μελέτης, τὸ δὲ γένος τῶν πατέρων ἐκ τῆς ἀρετῆς τῶν υἱῶν, οἱ δὲ φίλοι ἐκ τῆς χρηστοηθείας καὶ καλοκἀγαθίας· ὁ δὲ θυμὸς στερεοῦται ὑπὸ τοῦ ἀκρατοῦς.

38. Ὅστις τὸν ἐγειρόμενον θυμὸν χαλιναγωγεῖ καὶ ἀναχαιτίζει, ὡς τὸν ἵππον, τοῦτον ἐγὼ κρίνω ἀγαθὸν ἡνίοχον· ὁ δὲ μὴ εἰδὼς χαλιναγωγεῖν, πίπτει ἐξ ἀρετῆς, καθὼς ὁ κακὸς ἡνίοχος ἐξ ἵππου.

39. Αὕτη ἐστὶ, τέκνον, ἡ ἡμετέρα μυσταγωγία, ἥ ἐστι θεῖος θησαυρὸς καὶ ἀΐδιος. Ὅστις οὖν μετέρχεται ἐγκράτειαν (διάγει ἐν ἐγκρατείᾳ), οὗτός ἐστιν, ὡς ὁ τεθεὶς λύχνος ἐν σκοτεινῷ τόπῳ.

40. Ἄλλαι μὲν μοναὶ, (αἵ εἰσι πρόσκαιροι) ὡρισμέναι εἰσὶ τοῖς θύουσιν, ἄλλαι δὲ τοῖς σκληραγωγίᾳ χρωμένοις, καὶ ἄλλαι τοῖς μυηθεῖσι τὰ τῆς Βέδας· ὁ δὲ ἐγκρατὴς πορεύεται εἰς τὴν ἄφθαρτον καὶ ἀΐδιον χώραν.

41. Ἓν μόνον σφάλμα καὶ ἐλάττωμά ἐστι τῶν ἀνεχομένων, ὅτι τὸν ἀνεχόμενον ἀδύνατον νομίζει ὁ κόσμος.

42. Οὐ νομιστέον ὅμως τοῦτο σφάλμα καὶ ἐλάττωμα· ἡ γὰρ ἀνοχὴ μεγάλη δύναμίς ἐστιν. Ἡ ἱλαρότης καὶ ἀνοχὴ τῶν εὐαπατήτων φθείρει τὰ εὐκταῖα καὶ τὰ λοιπὰ ἀγαθὰ ἔργα τοῦ ἀπατῶντος.

43. Ὅστις, δουλαγωγούμενος ὑπὸ τοῦ θυμοῦ, προσεύχεται, θύει, ἢ λατρεύει, τούτου τοῦ ἀκρατοῦς πᾶν ἔργον διαρρεῖ, καθὼς τὸ ὕδωρ ἐκ διερρηγμένης στάμνου.

44. Ὅστις, περὶ τὸν ὄρθρον ἀνιστάμενος, ἀναγινώσκει ὅλον

τοῦτο τὸ περὶ ἐγκρατείας κεφάλαιον, οὗτος ἀναβὰς ἐπὶ τὴν οἰκείαν ἀρετὴν, ὡς ἐπὶ ναῦν, διαπλέει τὰ δεινά.

45. Ὅστις τούτου τοῦ περὶ ἐγκρατείας κεφαλαίου ἀκούει, ἢ ἀκουτίζει, οὗτος πορεύεται εἰς τὴν θείαν χώραν.

46. Ἄκουσον τὴν καθόλου ἀρετήν· καὶ ἀκούσας, θὲς αὐτὴν ἐν καρδίᾳ. Ὃ σὺ μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς.

47. Ὅστις βλέπει τὴν μὲν ἀλλοτρίαν γυναῖκα ὡς μητέρα, τὸ δ' ἀλλότριον κτῆμα ὡς βῶλον, πᾶν δ' ἔμψυχον ὡς ἑαυτὸν, οὗτος ὀρθῶς βλέπει.

48. Ὅστις ἕψων δίδωσι μοῖραν τῷ πυρὶ (τοῖς ἀποιχομένοις), καὶ τῷ ἐνδεεῖ, καὶ ὅστις λαλεῖ τὴν ἀλήθειαν, καὶ ὅστις μίγνυται τῇ οἰκείᾳ γυναικὶ οὐχὶ δι' ἡδονὴν, ἀλλὰ διὰ τεκνοποιΐαν, οὗτος ζῇ εἰς ἀπόλαυσιν τοῦ οὐρανοῦ.

49. Ὅστις ταῦτα πάντα ἀναγινώσκει, ἅ εἰσιν ἐξαίρετα, ὡς ὁ χρυσὸς ἐν μετάλλοις, καὶ πᾶσιν ὀνησίφορα, οὗτος γεύεται τῆς θείας ἀμβροσίας.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ δόσεως.

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

1. Τοιαῦτα εἰρηκότος τοῦ Βήσμα, ἔφη πάλιν ὁ μέγας βασιλεὺς Ἰνδδιστίρας τῷ Βεάσᾳ·

ΙΝΔΔΙΣΤΙΡΑΣ.

2. Πότερόν ἐστι δύσπρακτον; ἡ δόσις, ἢ ἡ σκληραγωγία; ἢ πότερον μείζονα μισθὸν παρέχει μετὰ θάνατον; τοῦτο εἰπέ μοι, ὦ θειότατε.

ΒΕΑΣΑΣ.

3. Οὐκ ἔστιν ἄλλο ἐπὶ γῆς δυσπρακτότερον, ἢ ἡ δόσις, ὦ βασιλεῦ· τοῦτο δὲ ὀφθαλμοφανές πως ἐστὶ, μάρτυρα ἔχον τὸν κόσμον.

4. Οἱ μὲν γὰρ φιλόπλουτοι, ἐγκαταλείποντες τοὺς οἰκείους, καὶ εἰς οὐδὲν λογιζόμενοι τὰς ἑαυτῶν φίλας ψυχὰς, διαβαίνουσι καὶ τὴν θάλασσαν, καὶ τὴν ἐρημίαν ἐκ πλεονεξίας.

5. Ἄλλοι δὲ μετέρχονται οἰκετικὸν ἔργον, ὃ λέγεται κυνικὴ ζωὴ, ἄλλοι δὲ στρατιωτικὴν ζωὴν, πλήρη πολλῶν δεινῶν καὶ φόνων, καὶ ἄλλοι γεωργίαν.

6. Δύσπρακτος ἄρα ἐστὶν ἡ δόσις τῶν τοιούτων χρημάτων, τῶν μετὰ πόνου καὶ κινδύνου συναχθέντων, καὶ τιμιωτέρων ὄντων τῆς ζωῆς.

7. Ἐκ τοῦ ἐναντίου δὲ ἄπειρός ἐστιν ὁ μισθὸς τῶν συναχθέντων χρημάτων δικαίως, καὶ δοθέντων μετὰ θείας πίστεως, (μετ' εὐλαβείας) ὡς δεῖ, καὶ ὅπου δεῖ.

8. Ἡ θεία πίστις (εὐλάβεια), τῆς ἀρετῆς ἐστι θυγάτηρ· ἔςι θεὰ ἁγνιστικὴ, θεμέλιον καὶ μήτηρ τοῦ παντὸς, καὶ διαπλευστικὴ τοῦ πελάγους τοῦ κόσμου.

9. Ἡ ἀρετὴ κατορθοῦται ὑπὸ τῶν ἀγαθῶν διὰ τῆς θείας πίστεως (εὐλαβείας), καὶ οὐχὶ διὰ πολλῶν χρημάτων. Οἱ ὅσιοι ἄνδρες, καὶ μηδὲν ἔχοντες, ἀπήλαυσαν τοῦ οὐρανοῦ, ἔχοντες θείαν πίστιν (εὐλάβειαν).

10. Ἐπὶ τούτου δ' ἐπάγουσι τοῦτον τὸν παλαιὸν μῦθον, ἐξ οὗ ἀποδεικνύεται, ὁποίας ἀνταμοιβῆς ἔτυχεν ὁ Μουδγάλας διὰ τῆς δόσεως ἑνὸς χοίνικος ὀρύζης.

11. Πάλαι μέγας τις ὅσιος, καλοκἄγαθος, λίαν ἐγκρατὴς, καὶ φιλόξενος, Μουδγάλας τὸ ὄνομα, ᾤκει ἐν Κουρουξέτρᾳ, ζῶν ἀπὸ σταχυολογίας καὶ σπερμολογίας.

12. Ἦν δὲ προσκείμενος τῇ ἀναγνώσει καὶ διδάξει ! τῆς Βέδας· ἦν ἀληθοεπὴς, νικητὴς τῶν αἰσθήσεων καὶ τοῦ θυμοῦ· ἀτεχνῶς ἦν εἰκὼν τῆς ἀρετῆς.

13. Συνῆγε δ' ἐκ σπερμολογίας ἐν δεκαπενθημέρῳ ἕνα χοίνικα ὀρύζης, καὶ ἐν τῷ τέλει τοῦ δεκαπενθημέρου ἔτρωγε μετὰ τῆς ἑαυτοῦ γυναικὸς καὶ τῶν τέκνων τὰ λείψανα τῆς σιτήσεως ξένου.

14. Ἀκούσας δὲ περὶ αὐτοῦ ὁ ὅσιος Δουρβάσας, τοιαῦτα ὑπερφυῆ ποιοῦντος, ἦλθεν ὀψόμενος αὐτὸν, σχῆμα φέρων μανικὸν, ὀλόγυμνος ὢν, καὶ πολλὰ ἐρεσχελῶν.

15. Καὶ προσελθὼν, ἔφη τῷ φιλαρέτῳ Μουδγάλα·

ΔΟΥΡΒΑΣΑΣ.

Ἴσθι, ὦ ὅσιε, ὡς ἐπὶ ξενίᾳ ἐλήλυθα· πειναλέος γάρ εἰμι.

ΒΕΑΣΑΣ.

16. Ἰδὼν δ' αὐτὸν ὁ Μουδγάλας, ὑπεδέξατο φιλοφρόνως (ἄσμενος), καὶ ἔφη λόγοις ἡδέσιν, ὥσπερ καταπαύων αὐτοῦ τὴν πεῖναν·

ΜΟΥΔΓΑΛΑΣ.

17. Ὢ! πανευδαίμων ἐγώ εἰμι· σὺ γὰρ ὁ ἄριστος Βραχμὰν, ἐν καιρῷ ἧκες πρὸς ἐμὲ, κατὰ τὴν ἐπιθυμίαν τῆς ἐμῆς ψυχῆς.

18. Ἐνεπλήσθην τὴν ψυχὴν χαρᾶς, τῆς ἐκ τῆς σῆς ἀφίξεως· αὕτη ἡ ἡμέρα φαίνεταί μοι, ὡς μεγάλη ἑορτή.

ΒΕΑΣΑΣ.

19. Τοιαῦτα εἰπὼν αὐτὸς ὁ ἔννομος ἀνὴρ, τιμήσας τὸν

Δουρβάσαν ὡς εἰκὸς, ἔδωκεν αὐτῷ περιχαρῶς σιτία, τὰ συλλεγέντα ἐκ σταχυολογίας καὶ σπερμολογίας.

20. Ὁ δὲ, φαγὼν ὅλον σχεδὸν τὸ δοθὲν εὐλαβῶς, ἀλείψας τὰ ἑαυτοῦ μέλη τῷ ἐναπολειφθέντι, ἀπῆλθεν ὅθεν ἦλθεν.

21. Ἐλθὼν δὲ πάλιν κατὰ τὸ ἑξῆς ἑξάκις δεκαπενθήμερον, κατέφαγεν ὅλον τὸ παρατεθὲν βρῶμα· οὕτω δὲ ἐποίει ἐν ἓξ δεκαπενθημέροις, ἀφιεὶς νῆστιν τὸν Μουδγάλαν.

22. Οὐκ ἠδυνήθη δὲ ταραχὴν ὅλως ἐνεγκεῖν εἰς τὴν ἀγαθὴν ψυχὴν αὐτοῦ, ἢ θυμὸν, ἢ φειδὼ, ἢ ὀλιγωρίαν, ἢ μῖσος.

23. Γνοὺς δ' αὐτὸν αὐτὸς ὁ Βραχμὰν καθαρὸν κατὰ τὴν καρδίαν, ἔφη, χαίρων·

ΔΟΥΡΒΑΣΑΣ.

24. Ὁμοιοφανής σοι ἐν κόσμῳ δότης οὔτ' ἐγένετο, οὔτε γενήσεται, ὅστις καὶ τὴν πεῖναν καταβάλλει, καὶ καρτερίαν ἔχει.

25. Ὅστις νικᾷ αὐτὴν τὴν δυσνίκητον πεῖναν, ὑπὸ τούτου ὁ οὐρανὸς ἐνικήθη, τουτέστιν, ἐκυριεύθη.

26. Ἐνικήθη ὑπὸ σοῦ ὁ δυσνίκητος ἔρως, ὁ θυμὸς, ἡ πλεονεξία, ἡ οἴησις, ἡ διαβολὴ, ὁ φθόνος, ὁ δόλος, ἡ φιλοτιμία, καὶ ἡ φειδώ.

27. Πάντας ἐνίκησας (ὑπερέβης) τοῖς ἔργοις, καὶ ἔτυχες τῆς ὑψίστης δόξης· ἡ μεγάλη δόσις σου ὑμνολογεῖται ὑπὸ τῶν οἰκούντων τὸν οὐρανόν.

28. Ἐν σοί ἐστιν ἡ νίκη τῶν αἰσθήσεων (χαλιναγωγία τῶν παθῶν), ἡ καρτερία, ἡ σκληραγωγία, ἡ ἀλήθεια, ἡ ἀνοχὴ, ἡ εὐθύτης, ἡ εὐσπλαγχνία, ἡ δόσις καὶ ἡ ἐγκράτεια.

29. Πάντες οἱ κόσμοι σὺν τοῖς κινητοῖς καὶ ἀκινήτοις ὑπὸ τῆς ἀρετῆς στερεοῦνται· ἡ δ' ἀρετὴ στερεοῦται ὑπὸ τῶν ὁμοιοφανῶν σοι, ὡς ὑπὸ στύλων.

ΜΟΥΔΓΑΛΑΣ.

30. Ὄλβιός εἰμι· ἐχαριτώθην ἐκ τῆς σῆς ἐντεύξεως· ἡ γὰρ μετὰ τῶν ἀγαθῶν ἔντευξις ἀλεξίκακος λέγεται.

ΒΕΑΣΑΣ.

31. Ταῦτα τούτου λέγοντος τῷ Δουρβάσᾳ, ἐπέστη Ἄγγελος Θεοῦ ἐπὶ θείου φορείου (ὀχήματος), ἐκλάμπρου, κεκοσμημένου πολυειδέσι πολυτίμοις λίθοις, καὶ παρατεταγμένοις κωδωνίσκοις, πεπληρωμένου παντὸς ἐφετοῦ, καὶ οἴκοθεν κινουμένου, ὅποι τις ἐφίεται, καὶ εἶπε·

ΑΓΓΕΛΟΣ ΘΕΟΥ.

32. Ἀνάβηθι τοῦτο τὸ θεῖον φορεῖον· ἔτυχες γὰρ τῆς λαμπρᾶς καὶ ὑψηλῆς δόξης, τῆς κτηθείσης ἐκ τῶν σῶν ἀγαθῶν ἔργων.

33. Οἱ οὐράνιοι θεοὶ σὺν αὐτῷ τῷ Ἴνδρᾳ, καὶ οἱ ἅγιοι Βραχμᾶνες περιμένουσιν ἐν ἀδημονίᾳ, ἐφιέμενοι τῆς σῆς θέας.

ΜΟΥΔΓΑΛΑΣ.

34. Οἱ σοφοὶ ἄνδρες λέγουσι τὴν μετὰ τῶν ἀγαθῶν φιλίαν ἑπταβήματον· ὅθεν ἐρωτῶ σε μετὰ θάῤῥους, ἃ ἀφίεμαι μαθεῖν.

35. Τίνα εἰσὶ τὰ ἀγαθὰ, ἢ κακὰ τοῖς οἰκοῦσιν ἐν οὐρανῷ; τοῦτο εἰπέ μοι πρῶτον· εἶτα δ' ἔγωγε, ἀκούσας, ποιήσω τὸ δόξαν μοι.

ΑΓΓΕΛΟΣ ΘΕΟΥ.

36. Σὺ σκέψιν καὶ ἀναλογισμὸν ποιεῖς περὶ τῆς ἐπουρανίου ἡδονῆς, τῆς λίαν ἐξαιρέτου καὶ ἐξαγάστου, ὡς ἄνους· βαθύνους ὅμως εἶ.

37. Ἐν οὐρανῷ παράδεισοι πολλοὶ καὶ λειμῶνες ἡδονικοί εἰσιν, ἀγλαϊζόμενοι ἀεννάως δένδροις μετὰ καρπῶν, οἵων ἐφίεται ὁ ἄνθρωπος.

38. Οἰκήματα δὲ θεῖά εἰσιν, ἄλλα μὲν ἱστάμενα, ἄλλα δὲ κινούμενα, ὅπῃ τις ἐφίεται, δορυφορούμενα στίφεσιν Ἀψαρῶν (Νηρηΐδων, θείων νυμφῶν) πολυποίκιλα ἐκ παντοίων λίθων πολυτίμων,

39. Καὶ ἔχοντα κλίνας καὶ θρόνους, οὓς μὲν ἐκ χρυσοῦ, ἐρυθροὺς ὄντας, ὡς τὸν ἥλιον περὶ τὴν ἕω, οὓς δὲ ἐκ μαρμάρων, λευκοὺς ὄντας, ὡς τὸν δίσκον τῆς σελήνης.

40. Ἐν αὐτοῖς δὲ τοῖς οἰκήμασιν οἰκοῦσιν ἡδέως ἄνδρες ἀγαθοεργοί, παντὸς ἀγαθοῦ εὐκταίου εὐποροῦντες, καὶ παντὸς κακοῦ ἀπευκταίου ἀποροῦντες.

41. Εἰς ἐκεῖνον τὸν οὐρανὸν οὐ πορεύονται ἄθεοι, οὔτε κλέπται, οὔτε ἀκρατεῖς, οὔτε φονεῖς, οὔτε συκοφάνται, οὔτε ἀχάριστοι, οὔτε φιλότιμοι, οὔτε οἰηματίαι, οὔτε θυμώδεις, οὔτε πλεονέκται, οὔτε ὑποκριταί.

42. Πορεύονται δὲ οἱ ἀληθεῖς, οἱ ἐγκρατεῖς, οἱ ἥρωες, οἱ εὔσπλαγχνοι, οἱ ἀνεξίκακοι, οἱ θύοντες, καὶ οἱ φιλόδωροι.

43. Ἐκεῖ οὐκ ἔστι τινὶ, οὔτε νόσος, οὔτε γῆρας, οὔτε θάνατος, οὔτε λύπη, οὔτε χεῖμα, οὔτε καῦμα, οὔτε πεῖνα, οὔτε δίψα, οὔτε πόνος, καὶ ταλαιπωρία.

Ταῦτα καὶ ἄλλα τοιαῦτά εἰσι τὰ ἀγαθὰ τοῦ οὐρανοῦ, ὦ Μουδγάλα.

44. Ὅσα δὲ κακά εἰσιν ἐν τῷ οὐρανῷ, ἄκουσον καὶ ταῦτα· τῶν ἐν ταύτῃ τῇ γῇ ἀγαθῶν πράξεων ὁ καρπὸς ὅλος ἐκεῖ ἀπολαμβάνεται, τουτέστι μετὰ χρόνον ἀναλίσκεται, καὶ τελειοῦται.

45. Ἄλλη δὲ πρᾶξις ἀρετῆς ἐκεῖ οὐ γίνεται. Τοῦτό ἐστι τὸ μέγα κακὸν ἐκεῖ· πρὸς δὲ δυσαρέστησιν γίνεται τῷ ἀνθρώπῳ, βλέποντι τὴν τῶν ἄλλων δόξαν μείζονα.

46. Αὕτη ἡ γῆ χώρα ἐστὶ τῆς πράξεως τῆς ἀρετῆς, τουτέστι τῆς προσόδου· ὁ δ' οὐρανὸς χώρα ἐστὶ τῆς ἀπολαύσεως, τουτέστι τῆς ἀναλώσεως.

ΜΟΥΔΓΑΛΑΣ.

47. Μεγάλα ἐστὶ τὰ ἐν οὐρανῷ κακὰ, ἃ εἴρηκας· ὅστις δ' ἄλλος τόπος ἐστὶν ἄψογος καὶ ἀΐδιος, τοῦτον εἰπέ.

ΑΓΓΕΛΟΣ ΘΕΟΥ.

48. Οὐ μόνον ἐν τοῖς λοιποῖς τόποις τοῦ οὐρανοῦ, ἀλλὰ καὶ ἐν τῷ τοῦ Βραχμᾶ ταῦτα τὰ κακά εἰσι· διὰ τοῦτο οἱ σοφοὶ ἄνδρες οὐκ ἐφίενται τῆς ἐπιτεύξεως τοῦ οὐρανοῦ.

49. Ἀνωτέρω δὲ τοῦ τόπου τοῦ Βραχμᾶ κεῖται ὁ ὕψιστος χῶρος τοῦ Βισνοῦ, ὁ ἄμωμος, ὁ ἀΐδιος, τὸ φῶς, ὃ λέγεται Παρὰμ Βράχμα (ὑπέρτατον Θεῖον).

50. Ἐκεῖσε οὐ πορεύονται ἄφρονες, ἡδυπαθεῖς, συμφυρόμενοι τῇ ὑποκρίσει, τῇ πλεονεξίᾳ, τῇ ὑπερηφανίᾳ, τῷ θυμῷ, τῇ ἔχθρᾳ, καὶ τῇ ὑλικῇ ἐπιθυμίᾳ.

51. Πορεύονται δὲ οἱ ἀγαθοὶ ἄνδρες, οἱ μὴ βλέποντες διαφορὰν τοῦ οἰκείου καὶ ἀλλοτρίου πράγματος, καὶ τῶν φύσει ἐναντίων, οἱ μὴ ὄντες οἰηματίαι, οἱ νικῶντες τὰς αἰσθήσεις, καὶ οἱ προσκείμενοι τῇ θεοφροσύνῃ.

52. Ταῦτα δὲ πάντα ἐῤῥέθησάν σοι ὑπ' ἐμοῦ, ἐπειδὴ ἠρώτησάς με· νῦν δ' ἀνάϐα ταχέως τὸ θεῖον φορεῖον, καὶ ἄγε πορευθῶμεν εἰς τὸν οὐρανόν.

ΜΟΥΔΓΑΛΑΣ.

53. Οὐ πορευθήσομαι ἔγωγε εἰς τὸν οὐρανόν· ἄπελθε εὐθέως, ὡς ἦλθες, καὶ προσκύνησον ἐκ τῆς ἐμῆς φωνῆς

τὸν θεὸν Ἴνδραν, καὶ τοὺς λοιποὺς θεοὺς καὶ τοὺς ἁγίους Βραχμᾶνας, καὶ εἰπὲ αὐτοῖς δοῦναί μοι συγγνώμην.

ΒΕΑΣΑΣ.

54. Τοιαῦτα εἰπὼν τῷ Ἀγγέλῳ τοῦ Θεοῦ αὐτὸς ὁ ἐνάρετος καὶ μεγαλόφρων Μουδγάλας, καὶ ἀνέραστος τῶν ἀγαθῶν τοῦ οὐρανοῦ, ἐξ οὗ πάλιν εἰς γῆν ἐπαναστροφὴ γίνεται,

55. Ἀποπέμψας τὸν Ἄγγελον, ἀφεὶς πᾶσαν ὑλικὴν ἐπιθυμίαν, ἀπρὶξ εἴχετο τῆς θεοφροσύνης.

56. Φιλήσυχος δ' ὤν, μηδεμίαν διαφορὰν βλέπων τοῦ οἰκείου καὶ ἀλλοτρίου, ἀπέχων οἰήσεως, ἐγκαρτερῶν τοῖς φύσει ἐναντίοις, ἀγαπῶν τὰ συμφέροντα πᾶσι τοῖς ἐμψύχοις,

57. Συζεύξας τῇ οἰκείᾳ ψυχῇ τὸν νοῦν, τὸν νικήσαντα τὰς αἰσθήσεις, συνέζευξε τὴν οὕτως συνεζευγμένην ψυχὴν τῷ ὑψίστῳ Θεῷ.

58. Οὕτως οὖν μεγάλην θεοφροσύνην κτησάμενος αὐτὸς ὁ ἄριστος τῶν θεοφρόνων, ἔτυχε τοῦ ὑψίστου τόπου, τοῦ δυσκτήτου καὶ τοῖς θεοῖς,

59. Δηλονότι τοῦ ὑψίστου Θείου, τοῦ φωτὸς τοῦ ἀϊδίου, τοῦ καθαροῦ τὴν οὐσίαν, οὗ ἐπιτυγχάνουσιν οἱ θεόφρονες.

60. Καὶ σὺ τοίνυν, ὦ μέγα βασιλεῦ, δὸς τὸν δικαίως κτηθέντα πλοῦτον· διὰ μὲν γὰρ τῆς δόσεως κτήσῃ τὴν φρόνησιν, διὰ δὲ τῆς φρονήσεως τὴν τελειότητα.

61. Ὅστις ἀκούει ταύτης τῆς ἐπωφελοῦς καὶ ἀρίστης διηγήσεως, οὗτος ἀπαλλαγεὶς τῶν ἁμαρτημάτων, πορεύεται εἰς τὸν τόπον τοῦ Βισνοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ σωτηρίας πάσης ψυχῆς κινδυνεύουσης.

ΒΑΪΣΑΜΠΑΪΑΝΑΣ.

1. Ὁ Ἰνδδιστίρας μετέπειτα ἠρώτησε τὸν Λομάσσαν, τὸν εἰδήμονα ὄντα τῶν τοῦ νόμου, καὶ διηγούμενον τὰς θαυμαστὰς δυνάμεις τῶν ἱερῶν τεμενῶν.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

2. Εἰπέ μοι, ὦ ὅσιε Βραχμὰν, οἷος καρπὸς ἀρετῆς ἐστι τῷ ἀνθρώπῳ, ὅστις διασώζει ψυχὴν ζῶσαν, ἐν κινδύνῳ οὖσαν, καὶ καταφυγοῦσαν;

ΛΟΜΑΣΣΑΣ.

3. Πάλαι οἱ θεοὶ ἐστάθμισαν ἁπάσας τὰς ἐντελεῖς καὶ πολυτελεῖς θυσίας, καὶ τὴν λύτρωσιν μιᾶς ψυχῆς ζώσης ἐκ κινδύνου καὶ θανάτου, καὶ ἐφάνη βαρυτέρα ἡ λύτρωσις τῆς ζώσης ψυχῆς.

4. Ἐπὶ τούτου δὲ παράδειγμα φέρουσι τοῦτον τὸν παλαιὸν μῦθον, τὸν διάλογον τοῦ Ἴνδρα, καὶ τοῦ Ἀγνῆ, καὶ τοῦ βασιλέως Σιϐῆ, υἱοῦ τοῦ Οὐσσινάρα.

5. Μεγάλης θυσίας τελουμένης, ὁ μὲν Ἴνδρας μεταμορφωθεὶς εἰς ἱέρακα, ὁ δ' Ἀγνὴς εἰς περιστερὰν, ἦλθον εἰς πεῖραν τοῦ βασιλέως Σιϐῆ, ἐπ' αὐτὴν τὴν θυσίαν.

6. Ἡ μὲν οὖν περιστερὰ, καταδιωκομένη ὑπὸ τοῦ ἱέρακος, καταπτᾶσα εἰς τὸν μηρὸν τοῦ βασιλέως Σιϐῆ, ὡς εἰς καταφύγιον, ἐκρύϐη, τεταραγμένη φόϐῳ.

7. Προσελθὼν δ' ἔπειτα ἠρέμα ὁ ἱερακόμορφος Ἴνδρας τῷ μεγαλοψύχῳ βασιλεῖ, ἔλεξεν ὧδε·

ΙΕΡΑΞ.

8. Σὲ μὲν λέγουσιν ἔννομον καὶ δίκαιον, ὦ Βασιλεῦ, καὶ τῶν Βασιλέων κολοφῶνα· νῦν δὲ πῶς σὺ αὐτὸς βούλει ἔργον ποιῆσαι ἄνομον καὶ ἄδικον;

9. Σὺ ἐνίκησας τὸν μὲν ἀχάριστον τῇ μεγαλοδωρίᾳ, τὸν δὲ ψευδολόγον τῇ ἀληθολογίᾳ, τὸν δὲ κακοῦργον τῇ ἀνεξικακίᾳ, τὸν δὲ κακὸν τῇ καλοκἀγαθίᾳ.

10. Οὔμενουν ἄλλος ἐστὶ τοσοῦτον εὐεργέτης πρὸς τὸν εὐεργέτην, ὅσον σὺ εὐεργέτης καὶ πρὸς τὸν κακεργέτην.

11. Σὺ τῷ μὲν κακόνοϊ εὔνους εἶ, τῷ δὲ κακοποιῷ ἀγαθοποιός· τῷ δὲ κακόφρονι φιλόφρων.

12. Ἀφῄρητο ὑπὸ σοῦ τοῦτο τὸ νενομισμένον βρώσιμόν μοι, ὃς θλίβομαι πείνῃ· μὴ ἀναίρει τὸ δίκαιον, ἀφιεὶς ἐκ φειδοῦς τὸ ὃ ἔχεις φιλοδίκαιον.

ΒΑΣΙΛΕΥΣ.

13. Αὕτη ἡ ὄρνις, φοβουμένη ἐκ σοῦ, καὶ σωτηρίαν ἐπιζητοῦσα, κατέφυγεν εἰς ἐμὲ, φιλόζωος οὖσα.

14. Πῶς δ' ἂν ἄνδρες τοιοῦτοι, οἷοι ἡμεῖς ἐσμεν, παράδοσιν ποιήσειαν ταύτης τῆς περιστερᾶς, τῆς σωτηρίαν ἐπιζητούσης; τοῦτο γὰρ κατηγορεῖται πρὸς τῶν ἀγαθῶν.

15. Ὅστις ἐκ φιλοκερδείας, ἢ ἐκ δυσμενείας, ἢ καὶ ἐκ δειλίας προδίδωσι τὸν καταφυγόντα, τούτου ταύτην τὴν ἁμαρτίαν ὁμοίαν οἱ σοφοὶ λέγουσι τῇ Βραχμανοκτονίᾳ.

16. Τοῖς μὲν μεγάλως ἁμαρτάνουσιν ἄφεσις θεωρεῖται ἐν ταῖς ἱεραῖς γραφαῖς· τοῖς δὲ προδιδοῦσι τὸν καταφυγόντα, οὐδέποτε.

17. Καθὼς ἡ ζωὴ ἀγαπητή σοι ἐστὶν, οὕτω καὶ πάσῃ ψυχῇ ζώσῃ· ταῦτ' ἄρα τὰ πνοὴν ἔχοντα, ἐν κινδύνῳ θανάτου ὄντα, διαφυλακτέα ἐστὶν ὑπὸ τῶν φρονίμων.

18. Ἐκ παντὸς πάθους ἐν κόσμῳ, ὡς ἐν πελάγει, πάντα τὰ πνοὴν ἔχοντα φοβοῦνται· ἐκ δὲ τοῦ θανάτου μᾶλλον φοβοῦνται, καὶ ταράττονται.
19. Οὐδεὶς ὀλιγωρῶν παρίησι τὸ ἑαυτοῦ σῶμα, καί τοι ἔχει δι' αὐτὸ καὶ θλίψιν, καὶ φόβον, καὶ θυμὸν καὶ πόνον.
20. Οἷον ἀγῶνα καὶ περισπασμὸν ἔχει ὁ ἄνθρωπος, ὢν ἐν κινδύνῳ θανάτου, τοιοῦτον δεῖ ἔχειν ἀναλόγως, ἵνα σωθῇ καὶ ἄλλος ἐκ θανάτου.
21. Καθ' ὃν τρόπον περισπούδαστόν σοι τὸ ζῆν ἐστι, κατὰ τὸν αὐτὸν δὲ καὶ ἄλλοις· καὶ καθὼς διαφυλάττεις τὴν σεαυτοῦ ζωὴν, οὕτω διαφύλαξον καὶ τὴν ζωὴν τῶν ἄλλων·
22. Οὐκ ἄρα παραδώσω ἔγωγε ταύτην τὴν κινδυνεύουσαν περιστεράν· ὅ,τι δ' ἄλλο ἀντάλλαγμα πρέπον ἐστὶ ποιῆσαι, τοῦτο εἰπὲ εὐθέως.

ΙΕΡΑΞ.

23. Ἐκ τῆς τροφῆς πάντα τὰ ἔμψυχα τὸ εἶναι ἔχουσι, καὶ διὰ τῆς τροφῆς αὐξάνουσι, καὶ ζῶσιν ἅμα.
24. Χωρὶς μὲν ἄλλων ἀναγκαίων δύναται πᾶν ἔμψυχον διάγειν ἐπὶ πολύ· χωρὶς δ' ὅμως τροφῆς οὐδαμῶς.
25. Ἡ ψυχὴ ἐμοῦ αὐτοῦ, στερηθέντος τοῦ νενομισμένου βρώματος, ἀφεῖσα τὸ σῶμα, ὁδὸν ὁδεύσει ἀνεπιστρόφως.
26. Ἀποθανόντος δ' ἐμοῦ, πάντα τὰ τέκνα μου καὶ ἡ γυνή μου τεθνήξονται· σώζων οὖν μίαν περιστερὰν, πολλὰς ψυχὰς ἀπολέσεις.
27. Ὅ,τι νόμιμον ἀναιρεῖ τὸ νόμιμον, τοῦτο οὐ κρίνεται νόμιμον παρὰ τοῖς ἀγαθοῖς· ὅ,τι δὲ νόμιμον οὐκ ἔστιν ἐναντίον τῷ νομίμῳ, τοῦτο λέγεται νόμιμον.
28. Δύω οὖν νομίμων προκειμένων, καὶ ἀντικειμένων ἀλλήλοις, κρίνας, τί ἐστι μεῖζον, καὶ τί ἔλαττον, ἐκλέξας, ποίησον τὸ μεῖζον.

ΒΑΣΙΛΕΥΣ.

29. Οὐδὲν ἄλλο νόμιμον μεῖζόν ἐστιν, ἢ τοῦτο, τὸ διδόναι ἀφοβίαν καὶ σωτηρίαν τοῖς ἐν φόβῳ οὖσι καὶ κινδύνῳ ἐμψύχοις.

30. Κρείττων ἐστὶν ἡ δοθεῖσα σωτηρία ἐνί γε ἐμψύχῳ, ἢ κεκοσμημέναι δαμάλεις χίλιαι, χιλίοις Βραχμᾶσι δοθεῖσαι.

31. Ὅςτις εὔσπλαγχνος ὢν, ἀφοβίαν καὶ σωτηρίαν δίδωσι τοῖς ἐμψύχοις, τούτῳ οὐδαμοῦ φόβος καὶ κίνδυνός ἐςιν, ἀπαλλαγέντι τοῦ σώματος.

32. Οἱ μὲν διδόντες τοῖς Βραχμᾶσι χρυσὸν, δάμαλιν, γῆν, καὶ εἴτι ἄλλο, εὐπόριστοί εἰσιν· ὁ δὲ διδοὺς ἀφοβίαν καὶ σωτηρίαν πᾶσι τοῖς ἐμψύχοις, δυσεύρετος.

33. Ὁ μὲν μισθὸς τῶν μεγάλων θυσιῶν τέλος ἔχει μετὰ χρόνον ὡρισμένον· ὁ δὲ μισθὸς τῆς δοθείσης σωτηρίας τοῖς κινδυνεύουσι, τέλος οὐκ ἔχει οὐδαμῶς.

34. Ἡ δόσις, ἡ θυσία, ἡ ἐγκράτεια, ἡ προσκύνησις ἁγίων τόπων, ἡ μάθησις τῶν Βεδῶν, ταῦτα πάντα οὐκ ἄξιά ἐστιν οὐδὲ τοῦ ἑκκαιδεκατημορίου τῆς σωτηρίας τῶν κινδυνευόντων.

35. Ὅςτις δίδωσιν ἀφοβίαν καὶ σωτηρίαν πᾶσι τοῖς ἐμψύχοις, οὗτος ὑπέρτερος ἐστὶν, ἢ ὁ δοὺς ταύτην ὅλην τὴν γῆν, τὴν ἀποπερατουμένην μέχρι τῶν τεσσάρων θαλασσῶν.

36. Καὶ τὴν βασιλείαν καὶ τοῦτο τὸ σῶμα τὸ δυσκατάλειπτον καταλείπω· οὐκ ἐγκαταλείψω δ' ὅμως ταύτην τὴν κινδυνεύουσαν ἀθλίαν περιστεράν.

37. Εἰ ἀγαθόν τι πεπραγμένον μοί ἐστιν, εὔχομαι γενέσθαι μοι ἐξ αὐτοῦ οὐκ ἀθανασίαν, ἀλλὰ πολλὰς παλιγγενεσίας, ἵν' ἀντιλήπτωρ γίνωμαι τῶν καταπονουμένων.

38. Οὔτε βασιλείας ἐφίεμαι, οὔτε οὐρανοῦ, οὔτ' ἀθανασίας·

μόνης δὲ σωτηρίας καὶ ἀπαλλαγῆς ἐφίεμαι τῶν κινδυνευόντων ἐμψύχων.

39. Εἰ μὲν ἀληθής ἐστιν οὗτός μου ὁ λόγος, εἴη μοι εὐμενὴς ὁ μέγας Κύριος καὶ Θεός· εἰ δὲ μὴ, τοὐναντίον.

40. Ἀλλ' αὕτη ἡ σὴ λογομαχία γίνεται περὶ βρώματος· ὅ,τι τοίνυν ἄλλο βρῶμά σοι ἐράσμιόν ἐστι, τοῦτό σοι ἐγὼ δίδωμι.

ΙΕΡΑΞ.

41. Αὕτη ἡ περιστερὰ ἐποιήθη ὑπὸ τοῦ Βραχμᾶ εἰς βρῶσιν ἡμῶν· ἐκτὸς οὖν ταύτης οὐ δεῖ μοι ἄλλου βρώματος.

42. Ὑπὸ πάντων λέγεται ἀεὶ, ὡς οἱ ἱέρακες καταβιβρώσκουσι τὰς περιστεράς· μὴ ἀνάβαινε τὸ στέλεχος τῆς Καδαλῆς, ἀγνοῶν τὸ ἀσφαλές.

ΒΑΣΙΛΕΥΣ.

43. Ἐγὼ οὐχ ὁδεύω ἔξω τῆς ὁδοῦ τοῦ νόμου· τοῦτό ἐστι τὸ νόμιμον, τὸ προστταττόμενον ὑπὸ τοῦ νόμου, ἡ πρὸς τὰ ἔμψυχα εὐσπλαγχνία.

44. Ἐὰν συγκρίνῃς τὴν σωτηρίαν ἑνὸς ἐμψύχου κινδυνεύοντος τῇ πρὸς πάντα τὰ ἔμψυχα τροφοδοσίᾳ, κρείττων ἐστὶν ἡ σωτηρία ἑνὸς ἐμψύχου τῆς πρὸς πάντα τροφοδοσίας.

45. Ἅπασαι αἱ Βέδαι, ἅπασαι αἱ θυσίαι, καὶ τὰ λουτρὰ ἐν ἁγίοις τόποις οὐ ποιοῦσι τοσοῦτον ἀγαθὸν, ὅσον ἡ πρὸς τὰ ἔμψυχα εὐσπλαγχνία.

46. Οἵτινες εὐνοϊκῶς ἔχουσι πρὸς πάντα τὰ ἔμψυχα λόγῳ, ἔργῳ καὶ διανοίᾳ, οὗτοι πορεύονται εἰς τὸν Βραχμαλόκαν, ὁδηγὸν ἔχοντες τὴν εὐσπλαγχνίαν.

47. Ὅστις κινούμενος, ἢ ἱστάμενος, ἢ ἐγειρόμενος, ἢ καθή-

μενος, οὐκ ἐνεργεῖ εἰς ὄφελός τινι ἐμψύχῳ, τούτου ἡ ζωὴ, ὥσπερ ἀλόγου ζώου πέφυκεν.

48. Οἵτινες διαφυλάττουσιν, ὡς ἑαυτοὺς, πάντα τὰ κινητὰ καὶ ἀκίνητα ἔμψυχα, οὗτοι τυγχάνουσι τῆς ὑψίστης στάσεως.

49. Ὅστις, δυνάμενος σῶσαι, παραβλέπει ἔμψυχον ἀναιρούμενον, οὗτος εἰς τὸν φοβερὸν ᾅδην κάτεισιν· οὕτω λέγουσιν οἱ σοφοὶ καὶ ἅγιοι ἄνδρες.

50. Ἐγὼ δίδωμί σοι τὴν μεγάλην ταύτην πατρῴαν μοι βασιλείαν, ἢ ὅ,τι ἄλλο ἀγαπᾷς, ἐκτὸς τῆς περιστερᾶς.

ΙΕΡΑΞ.

51. Εἰ τοιαύτη σφοδρὰ στοργή σοι ἐστὶ πρὸς τὴν περιστερὰν, Βασιλεῦ, δός μοι μέρη τῆς σεαυτοῦ σαρκὸς ἰσοστάσια τῇ περιστερᾷ.

ΒΑΣΙΛΕΥΣ.

52. Χάριν ταύτην νομίζω, ὅτι αἰτεῖς ἐμὲ, ὦ Ἱέραξ· δίδωμί σοι ἔγωγε τῆς ἐμαυτοῦ σαρκὸς, ὅσον ἀγαπᾷς.

53. Ὅ,τι μέντοι γε αἴτημα ἀνέραστόν ἐστι, τοῦτο οἱ ἀγαθοὶ ἄνδρες μετὰ πολὺν χρόνον προτείνουσι· τοῦτο δὲ τὸ σὸν αἴτημα ἐπέραστόν μοί ἐστι· διὰ τί ἆρα μετὰ πολὺν χρόνον τοῦτο προὔτεινας;

54. Ὅστις οὐ κερδαίνει τὴν ἀρετὴν, ἥ ἐστιν εὐσταθὴς καὶ μόνιμος, διὰ τοῦ ἀστάτου καὶ προσκαίρου σώματος, οὗτος ἐλεεινός ἐστι καὶ μωρόφρων.

55. Εἰ τὸ σῶμα τοῦτο οὐ συντείνει εἰς λυσιτέλειάν τινι ἐμψύχῳ, τί ματαίως γίνεται περὶ αὐτὸ τοσαύτη θεραπεία καὶ περιποίησις;

ΙΕΡΑΞ.

56. Ἐγὼ οὐκ αἰτῶ μέρος τῆς σαρκός σου ὑπὲρ τὸ μέτρον· δός μοι δὲ ἴσον τῷ βάρει τῆς περιστερᾶς, ζυγοστατηθέν.

ΒΑΣΙΛΕΥΣ.

57. Οὕτως ἐγὼ ποιήσω, ὡς αἰτεῖς, ὦ Ἱέραξ, ἵν᾽ ἐξ ἐμοῦ καὶ τῇ περιστερᾷ ταύτῃ σωτηρία γένηται, καὶ σοὶ αὐτῷ ὡσαύτως.

ΛΟΜΑΣΣΑΣ.

58. Οὕτως εἰπὼν ὁ Βασιλεὺς, ἐκτέμνων τεμάχια τῆς ἑαυτοῦ σαρκὸς, ἐζυγοστάτει αὐτὰ μετὰ τῆς περιστερᾶς, χαίρων.

59. Οἱ ἀγαθοὶ ἄνδρες, οἱ εὐνοϊκῶς ἔχοντες πρὸς πᾶν ἔμψυχον, ἀφιέντες τὴν ἔφεσιν τῆς ἑαυτῶν τρυφῆς καὶ ἀνέσεως, θλίβονται ἀεὶ ἐπὶ τῇ τῶν ἄλλων θλίψει.

60. Ζυγοστατουμένη μὲν οὖν ἡ περιστερὰ, βαρυτέρα ἦν· πάλιν δὲ ἐκκόπτων καὶ ἄλλα τεμάχια τῆς σαρκὸς ὁ βασιλεὺς, προσετίθη αὐτὰ τοῖς λοιποῖς.

61. Ἰσοστασίων δὲ τῇ περιστερᾷ μηδόλως γιγνομένων τῶν τεμαχίων τῆς σαρκὸς, ἀνέβη ὁ Βασιλεὺς αὐτὸς εἰς τὸν ζυγὸν, ἄσαρκος σχεδὸν ὤν.

62. Ἀναβάντος δ᾽ εἰς τὸν ζυγὸν τοῦ Βασιλέως, τύμπανα θεῶν ἐκρούοντο, καὶ βροχὴ ἀνθέων ἔπιπτεν ἐπ᾽ αὐτὸν ἐξ οὐρανοῦ.

63. Γνοὺς δ᾽ ὁ Ἴνδρας ἐκ πείρας τὴν μεγάλην καρτερίαν τοῦ Βασιλέως ἐπὶ τοῦ νομίμου καὶ δικαίου, ἀναλαβὼν τὴν οἰκείαν μορφὴν, ἔλεξεν ὧδε·

ΙΝΔΡΑΣ.

64. Εὖ σοι γένοιτο! ἐγὼ εἰμι ὁ Ἴνδρας· αὕτη δ' ἡ περιστερὰ, ὁ Ἀγνής· ἤλθομεν δ' ἐπὶ ταύτην τὴν θυσίαν, ἐφιέμενοι πειραθῆναί σου.

65. Οὔτε προγενέστεροι βασιλεῖς τοιοῦτον δύσπρακτον ἔπραξαν, οὔτε μεταγενέστεροι πράξουσιν, οἷον σὺ ἔπραξας ὁ παντελεήμων.

66. Οὐ τοιαύτη χαρὰ γίνεται ἄλλοις ἀνθρώποις μικροψύχοις καὶ φιλοζώοις, οἷα σοι ἐγένετο διδόντι τὴν σεαυτοῦ ζωὴν ὑπὲρ σωτηρίας ἄλλου.

67. Ὁ ἔλεος ἐν σοὶ μόνῳ ἐστὶν, ὦ Βασιλεῦ, ὃς εἶ τὸ κατοικητήριον τοῦ ἐλέου· τοιοῦτον δ' ἔλεον εἰς ἀλλότριον ὄφελος, δυσκόλως ἕτερος ποιεῖ εἰς ἴδιον.

68. Ἅπας οὗτος ὁ κόσμος δεδεμένος ἐστὶ τοῖς οἰκείοις ἔργοις, ὡς ἀδιαῤῥήκτοις βρόχοις· σὺ δὲ δεδεμένος εἶ τῷ ἐλέῳ εἰς λύτρωσιν τῶν δεινῶν τοῦ κόσμου.

69. Τοσοῦτον δὲ ὅλῃ ψυχῇ ἀπὸ παντὸς κακοῦ σὺ ἐξέκλινας, ὥστε οὐδὲ ψιλὸν λογισμὸν κακοῦ ἔχεις ἐν τῇ ἰδίᾳ καρδίᾳ.

70. Σὺ τὰ πρωτεῖα ἔχεις πάντων τῶν ἐν κόσμῳ, ὃς οὔτε τοῖς κρείττοσι φθονεῖς, οὔτε τῶν ἐλαττόνων καταφρονεῖς, οὔτε τοῖς ὁμοίοις ἁμιλλᾷ.

71. Τρία ταῦτα ἐποιήθησαν ὑπὸ τοῦ ποιητοῦ Βραχμᾶ, προξενοῦντα ὄνησιν ἄλλοις· τὰ ὑδατώδη νέφη, τὰ καρποφόρα δένδρα, καὶ σὺ αὐτός.

72. Ὅστις διὰ τῆς οἰκείας ψυχῆς τὰ ἔμψυχα πάντα διαφυλάττει, οὗτος ἄνεισιν εἰς τὸν ὕψιστον τόπον, ἐξ οὗ οὐκ ἀναστρέφει.

73. Διὰ τῆς σῆς ψυχῆς διεσώθη ἡ τάλαινα περιστερὰ, ὦ

Βασιλεῦ· ὅτε δὲ τὴν οἰκείαν σάρκα ἔδωκας, πολλῷ μᾶλλον ἄλλα κτήματα.

74. Τί οὐ διδόασιν οἱ μεγαλόψυχοι; ὁ μὲν Καρνᾶς ἔδωκε τὴν οἰκείαν δοράν· ὁ δὲ Σιβὴς τὴν ἰδίαν σάρκα, ὁ δὲ Ζημουταβαχάνας τὴν ζωὴν, ὁ δὲ Δαδδίσης τὰ ὀστᾶ.

75. Καὶ τὰ κτήνη ζῶσι, πληροῦντα μόνην τὴν ἑαυτῶν γαστέρα· ἐκεῖνος ὅμως ζῇ ἀξιέπαινος, ὅςτις ζῇ εἰς ὄφελος ἄλλων.

76. Τί παράδοξον, ὅτι οἱ ἀγαθοὶ πρόσκεινται τῇ πρὸς τοὺς ἄλλους καλοκἀγαθίᾳ; τὰ σάνδανα δένδρα οὐ γίνονται διὰ ψυχρότητα τοῦ ἑαυτῶν σώματος, ἀλλ' ἄλλων.

77. Ὅςτις ἀεὶ ἔγκειται ταῖς πρὸς τοὺς ἄλλους εὐποιΐαις καὶ εὐεργεσίαις, οὗτος τοιούτου τυγχάνει βαθμοῦ, ὃς καὶ τοῦ ὑπερτέρου ὑπέρτερός ἐστιν.

78. Οἱ ἀγαθοὶ ἄνδρες καὶ ὁμοιοφανεῖς σοι, οἱ φροντίζοντες μόνης τῆς πρὸς τοὺς ἄλλους εὐποιΐας, καὶ καταφρονοῦντες τῆς ἑαυτῶν ἀνέσεως, γεννῶνται ἐν γῇ ἐπὶ τῇ τοῦ κόσμου ὠφελείᾳ

79. Τοῦτο, ὅτι κατέκοψας τὴν σάρκα τοῦ οἰκείου σώματος, κλέος σοι ἀέννaον ἔσεται, καὶ εἰς πάντας τοὺς κόσμους διασπαρήσεται.

80. Ἔχων δὲ σῶμα ἀκέραιον καὶ ἀγλαὸν, καὶ διοικῶν ἐπὶ πολὺ τὴν γῆν, ὑπερβὰς πάσας τὰς ἐν οὐρανῷ στάσεις τῶν θεῶν, πορευθήσῃ εἰς τὸν Βραχμαλόκαν.

ΛΟΜΑΣΣΑΣ.

81. Οὕτως εἰπόντες πρὸς τὸν Βασιλέα, ὅ,τε Ἴνδρας καὶ ὁ Ἀγνὴς, ἀπῆλθον εἰς τὸν οὐρανόν· ὁ δὲ Βασιλεὺς, τελέσας τὴν θυσίαν, εὐφραίνετο ἐπὶ πολὺ, ὡς Θεός.

82. Ὅςτις ἀκούει ἀεὶ τούτου τοῦ μεγάλου κατορθώματος τοῦ

Σιβῆ, οὗτος ἀπαλλάττεται τῶν ἁμαρτιῶν, καὶ πορεύεται εἰς τὸν οὐρανόν.

83. Γινώσκων ὁ Βασιλεὺς τὸ μὲν οἰκεῖον σῶμα ἄστατον, τὸ δὲ κλέος μόνιμον καὶ δύσκτητον πᾶσιν ἀνθρώποις, διασώσας ἑτέραν ψυχὴν διὰ τῆς δόσεως τοῦ οἰκείου σώματος, κόσμος τῶν τριῶν κόσμων ἐγένετο.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ ἁγιότητος τοῦ Γάγγου ποταμοῦ.

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

1. Ἅπαντες οἱ Θεοὶ, ἅπαντες οἱ Δαίμονες, οἱ Γανδδάρβαι, οἱ Βιδεαδδάραι, καὶ οἱ μεγάλοι Ὄφεις καὶ Δράκοντες, ἦλθον ὀψόμενοι τὸν λίαν ἐγκρατῆ, μεγαλόθυμον, καὶ φιλαλήθη Βήσμαν, κείμενον ἐπὶ πλήθυος βελῶν, ὡς ἐπὶ κλίνης, ἱστάμενοι ἐπὶ τοῦ αἰθέρος.

2. Ἀποίχεσθαι γὰρ μέλλοντος τοῦ Βήσμα, τοῦ εἰδήμονος πάσης ἀρχαιολογίας, καὶ ἐμπείρου πάσης παιδείας, πᾶν εἶδος ἀρετῆς οἴχεσθαι ἔμελλεν.

3. Ἦλθον δὲ πρὸς τούτοις ὀψόμενοι, κείμενον ἐπὶ πλήθυος βελῶν, ὡς ἐπὶ κλίνης, αὐτὸν τὸν Βήσμαν, τὸν μεγαλόνουν, ὡς τὸν Βριχασπατὴν, καὶ μεγαλουργὸν, ὡς τὸν Ἴνδραν, καὶ οἱ ἑξῆς ὅσιοι καὶ σοφοὶ Βραχμᾶνες·

4. Ὁ Ἀτρὴς, ὁ Βασίστας, ὁ Βριγοῦς, ὁ Πουλαστέας, ὁ Πουλάχας, ὁ Κρατοῦς, ὁ Ἀγγιρᾶς, ὁ Γαουτάμας, ὁ Ἀγαστέας, ὁ Σουμαντοῦς, ὁ ἐγκρατὴς Ἀϊοῦς,

5. Ὁ Βισβαμίτρας, ὁ Στουλασσιρᾶς, ὁ Σαμβάρτας, ὁ Πραματὴς, ὁ Δάμας, ὁ Ῥαϊββέας, ὁ Βριχασπατὴς, ὁ Βεάσας, ὁ Σεβάνας, ὁ Κασσέπας, ὁ Δρούβας,

6. Ὁ Δουρβασᾶς, ὁ Ζαμαδαγνὴς, ὁ Μαρκανδεΐας, ὁ Γαλάβας, ὁ Σούκρας, ὁ Βαραδβάζας, ὁ Ἀστήκας,
7. Ὁ Στουλάξας, ὁ Σακαλάξας, ὁ Κάνβας, ὁ Μέδδας, ὁ Ἀτιτὴς, ὁ Κρίσσας, ὁ Νεράδας, ὁ Παρβάτας, ὁ Σουδδανβὰν, ὁ Δβίζας,
8. Ὁ Μιταββοὺκ, ὁ Βουβάνας, ὁ Δαουμέκς, ὁ Σατανάνδας, ὁ Ἀκριταβράνας, ὁ Παρασσουράμας, ὁ Κάσας, καὶ ἄλλοι ὁμοῦ.
9. Τούτους τοὺς πανεκλάμπρους καὶ παντίμους προσκυνήσας κατὰ τάξιν ὁ Ἰνδδιστίρας μετὰ τῶν ἑαυτοῦ ἀδελφῶν, ὑπεδέξατο, ὡς ἔδει.
10. Τιμηθέντες δ' οὗτοι οἱ μεγαλόφρονες καὶ ἐγκρατεῖς, καὶ καθεσθέντες ἐν ἀνέσει, διελέγοντο περὶ τῆς ἀρετῆς τοῦ Βήσμα, καὶ περὶ τῶν τοῦ θείου νόμου.
11. Τελειωθείσης δὲ τῆς διαλέξεως αὐτῶν τῶν ὁσίων καὶ θεοφρόνων, κλίνας τὴν κεφαλὴν ὁ Ἰνδδιστίρας, προσεκύνησε τὸν Βήσμαν, καὶ ἠρώτησε τοῦτο·

ΙΝΔΔΙΣΤΙΡΑΣ.

12. Εἰπέ μοι, ὦ σεβάσμιε πάτερ, τίνες τόποι λίαν ἅγιοί εἰσι, καὶ τιμώμενοι ὑπὸ τῶν φιλαρέτων, ἢ τίνες ποταμοί; ἢ τίνα ὄρη;

ΒΗΣΜΑΣ.

13. Περὶ οὗ ἐρωτᾷς, ὦ Ἰνδδιστίρα, ταύτην τὴν παλαιὰν ἐπάγουσιν ἱστορίαν, τὸν διάλογον Σπερμοσταχυολόγου καὶ Αἰθεροβάτου.
14. Αἰθεροβάτης τις ταύτην ὅλην τὴν γῆν περιελθὼν, ἦλθεν εἰς τὸν οἶκον Σπερμοσταχυολόγου μεγαλόφρονος.
15. Τοῦ δὲ Αἰθεροβάτου ὑποδεχθέντος, καθεσθέντος, καὶ

ἀναπαυθέντος, ἠρώτησεν αὐτὸν περὶ τοῦ αὐτοῦ ὁ Σπερμοσταχυολόγος, περὶ οὗ σύ με ἐρωτᾷς.

ΣΠΕΡΜΟΣΤΑΧΥΟΛΟΓΟΣ.

16. Τίνες χῶραι; τίνες πόλεις; τίνα ἐρημικὰ ἀσκητήρια; τίνα ὄρη; ἢ τίνες ποταμοί εἰσιν ἐξαίρετοι, καὶ ἁγιαστικοὶ, καὶ ἄξιοι γινώσκεσθαι, ὦ ἀσκητά;

ΑΙΘΕΡΟΒΑΤΗΣ.

17. Ἐκεῖναι αἱ χῶραι, ἐκεῖναι αἱ πόλεις, ἐκεῖνα τὰ ὄρη, καὶ ἐκεῖνα τὰ ἐρημικὰ ἀσκητήρια ἁγιαστικά εἰσιν, ὧν μέσον διαῤῥεῖ ὁ Γάγγης, ὁ ἄριστος τῶν ποταμῶν.

18. Οὔτε διὰ τῆς ἀσκήσεως, οὔτε διὰ τῆς παρθενίας, οὔτε διὰ τῶν θυσιῶν, οὔτε διὰ τῆς δόσεως τοιούτου τυγχάνει βαθμοῦ ὁ ἄνθρωπος, οἵου τυγχάνει διὰ τῆς πρὸς τὸν Γάγγην τιμῆς καὶ θεραπείας.

19. Οἷος βαθμὸς δόξης γίνεται τοῖς ἀνθρώποις, τοῖς λουομένοις ἐν τοῖς καθαρτικοῖς ὕδασι τοῦ Γάγγου ποταμοῦ, τοιοῦτος οὐ γίνεται οὐδὲ διὰ τῆς τελετῆς ἑκατὸν θυσιῶν.

20. Καθὼς ὁ ἀνατέλλων ἥλιος λάμπει, διασκεδάζων τὸ βαθὺ σκότος, οὕτω λάμπει καὶ ὁ λουόμενος ἐν τοῖς ὕδασι τοῦ Γάγγου, ἐξαλείφων τὰς κηλῖδας τῶν ἁμαρτιῶν.

21. Καθὼς ὁ θημὼν τῶν ἀχύρων παρανάλωμα εὐθέως γίνεται τοῦ πυρὸς διὰ μόνης τῆς προσψαύσεως, οὕτω πᾶν ἁμάρτημα ἐξαλείφεται τοῦ λουομένου ἐν τῷ Γάγγῃ.

22. Ὅστις πίνει τὸ ὕδωρ τοῦ Γάγγου, τὸ θαλπόμενον ταῖς ἀκτῖσι τοῦ ἡλίου, οὗτος ὑπὲρ λόγον καθαρώτερος γίνεται τῆς φλογὸς τοῦ πυρός.

23. Ἰσοστάσιοί εἰσιν ἀμφότεροι, ὅστις ποιεῖ χιλιάκις σελη-

νιακὴν νηστείαν, τὴν καθαίρουσαν τὸ σῶμα, καὶ ὅςτις πίνει τὸ τοῦ Γάγγου ὕδωρ.

24. Ἀνώτερός ἐστιν, ὅςτις λούεται κατὰ κόρον ἐν τῷ Γάγγῃ, ἢ ὅςτις ἵσταται ἐπὶ τοῦ ἑνὸς ποδὸς ἐν χιλίοις αἰῶσιν.

25. Ἐν ἴσῃ μοίρᾳ ἐστὶν, ὅςτις διατρίβει παρὰ τῷ Γάγγῃ ἐν διαστήματι ἑνὸς μηνὸς, καὶ ὅςτις κρέμαται κατὰ κεφαλῆς ἐν μιᾷ μυριάδι ἐτῶν.

26. Οὐκ ἔστιν ἄλλη ἄνεσις, ὡς ὁ Γάγγης, πᾶσι τοῖς καταθλιβομένοις τὴν ψυχὴν πάθεσι, καὶ ἐπιζητοῦσιν ἄνεσιν.

27. Τιμώμενος ὁ Γάγγης, ἐξάγει τοὺς καταπεσόντας εἰς τὸν φοβερὸν ᾅδην, μεγάλοις ἁμαρτήμασι κατεσχημένους.

28. Ἐκεῖνοι χαίροντες συναγελάζονται τοῖς θεοῖς καὶ τῷ Ἴνδρᾳ, οἳ πορεύονται μετ' ἐγκρατείας εἰς θεραπείαν καὶ τιμὴν τῆς θεᾶς Γαγγᾶς.

29. Καθὼς ἡ θεία δάμαλις αἰτουμένη, πᾶν ἀγαθὸν δίδωσι τοῖς θεοῖς καὶ τοῖς λοιποῖς, οὕτω καὶ ἡ θεὰ Γαγγὰ πᾶν ἐφετὸν δίδωσι τοῖς ἀνθρώποις.

30. Ὅςτις φέρει ἐπὶ τοῦ μετώπου τὸν παρὰ τῇ ὄχθῃ τοῦ Γάγγου πηλὸν, οὗτος φέρει αὐτὸν τὸν λαμπρὸν ἥλιον εἰς διασκέδασιν τοῦ σκότους τοῦ νοός.

31. Ἡ πᾶν ἐφετὸν διδοῦσα Γαγγὰ, ἐξάγει ἐκ τῶν δεινῶν τούς τε προγόνους καὶ ἀπογόνους ἐν ἑπτὰ γενεαῖς καὶ ἐπέκεινα τούτων.

32. Ἡ Γαγγὰ καθαρτική ἐστι τῶν ἀκαθάρτων οὐ μόνον διὰ τῆς λούσεως, ὁράσεως, προσψαύσεως, καὶ πόσεως, ἀλλὰ καὶ διὰ τῆς προσφωνήσεως, καὶ ἐπικλήσεως Γαγγά!

33. Ὃς ἐφίεται ἐπωφελοῦς γεννήσεως, ζωῆς, καὶ μαθήσεως, οὗτος πορευθεὶς εἰς τὸν Γάγγην, χοὰς καὶ λοιβὰς ποιείτω τοῖς θεοῖς καὶ τοῖς προπάτορσιν.

34. Ὁ Γάγγης ἀκουόμενος, ὑμνούμενος, ἐννοούμενος, ὁρώ-

μενος, πινόμενος, λουτρὸν γινόμενος, ἐξάγει ἐξαιρέτως ἐκ τῶν δεινῶν τοὺς πατρικοὺς καὶ μητρικοὺς προγόνους.

35. Ἐκ γενετῆς τυφλοῖς, χωλοῖς, καὶ νεκροῖς ὅμοιοί εἰσιν, οἳ, καὶ δυνάμενοι, οὐ πορεύονται εἰς τὸν Γάγγην, τὸν ἁγνὰ ὕδατα ἔχοντα, καὶ ἀγαθοπάροχον.

36. Τίς ἄνθρωπος οὐκ ἂν τιμήσειε τὸν Γάγγην, τὸν τιμώμενον ἀεὶ ὑπ' ἀνδρῶν ἁγίων, γινωσκόντων τὰ ἐνεστῶτα, τὰ παρῳχημένα, καὶ τὰ μέλλοντα, καὶ ὑπὸ θεῶν, καὶ αὐτοῦ τοῦ Ἴνδρα;

37. Τίς οὐκ ἂν τιμήσειε τὸν Γάγγην, τὸν τιμώμενον ὑπ' ἐρημιτῶν, μοναστῶν, ἐγγάμων, ἀγάμων, καὶ σοφῶν ἀνδρῶν;

38. Ὁ κατεσχημένος καὶ κεχραμμένος πάθεσι πολυειδέσιν ἐκ λόγου καὶ ἔργου καὶ διανοίας, ἄχραντος καὶ καθαρὸς γίνεται, ἰδὼν μόνον τὸν Γάγγην.

39. Ὅςτις, πνέων τὰ λοίσθια, διαλογίζεται μετ' εὐλαβείας ἐν τῇ ἑαυτοῦ καρδίᾳ τὸν Γάγγην, οὗτος τυγχάνει τῆς ὑψίστης στάσεως.

40. Ἐν ὅσῳ χρόνῳ μένουσι τὰ ὀστᾶ τοῦ τεθνεῶτος ἀνθρώπου ἐν τοῖς τοῦ Γάγγου ὕδασιν, ἐν τοσούτῳ χιλιοπλασίως δοξάζεται ἐν οὐρανῷ.

41. Ὅςτις ἐν μὲν τῇ νεανικῇ ἡλικίᾳ πράξεις ἔπραξε κακὰς, ἔπειτα δ' ἦλθεν εἰς προσκύνησιν τοῦ Γάγγου, οὗτος τυγχάνει τῆς ὑψίστης στάσεως.

42. Τίς οὐκ ἂν τιμήσειε τὴν θεὰν Γαγγὰν, τὴν λίαν χαριτόβρυτον, ἣν πίπτουσαν ἐξ οὐρανοῦ ἐδέξατο ἐπὶ τῆς ἑαυτοῦ κορυφῆς ὁ Θεὸς Σίβας;

43. Ἐν τοῖς τρισὶ κόσμοις ἀρίδηλός ἐστιν ἡ εὐφημία τῆς Γαγγᾶς ἐκ τῆς ἧς ἔχει ἁγιότητος καὶ χάριτος· αὕτη γὰρ ἀνήγαγεν εἰς τὸν οὐρανὸν τοὺς υἱοὺς τοῦ Βασιλέως Σαγάρα, τοὺς τεφρωθέντας ὑπὸ τοῦ Καπήλα.

44. Τυφλοὶ, ἑρμαφρόδιτοι, ἠλίθιοι, ἀνάπηροι, ἀποσυνάγωγοι, ἐμπαθεῖς καὶ οὐτιδανοὶ, τιμῶντες τὴν Γαγγὰν, ἰσότιμοι τοῖς θεοῖς γίνονται.

45. Θεραπεύσας τὴν Θεὰν Γαγγὰν πολλῇ σκληραγωγίᾳ ὁ Βασιλεὺς Βαγηράτας, ἤγαγεν αὐτὴν ἐνθάδε ἐκ τῆς ἀκρωρείας τῆς Μερόης, εἰς ἁγνισμὸν τῶν ἑαυτοῦ προγόνων.

46. Τίς, ἐπιθυμῶν ἐντελεχείας, οὐκ ἂν σχοίη πεποίθησιν ἐπὶ ταύτην τὴν Θεὰν Γαγγὰν, τὴν μεγάλην, τὴν εὐρείαν, τὴν ἀσύγκριτον, τὴν ἀγαθοδότιν, τὴν θείαν ἀμβροσίαν, τὴν ἄκραν ἡδονὴν, καὶ τὸ ἔρεισμα πάντων;

47. Οἵτινες προσέρχονται ἐξ ὅλης ψυχῆς τῇ Γαγγᾷ, τῇ ἀρχαίᾳ, τῇ ἀκηράτῳ, τῇ εὐύδρῳ, τῇ θυγατρὶ τοῦ ὁσίου Ζαχνοῦ, τῇ βρυούσῃ ἐκ τοῦ ποδὸς τοῦ Βισνοῦ, καὶ διαιρουμένῃ εἰς τρεῖς ῥύακας, οὗτοι ἀπελθόντες τῶν τῆδε, διάγουσιν ἐν τῇ χώρᾳ τοῦ Βραχμᾶ, καὶ τιμῶνται ὑπ' αὐτοῦ.

48. Τίς οὐκ ἂν προσέλθοι τῇ Γαγγᾷ, τῇ τυχούσῃ καθαρότητος ἐκ τῆς προσψαύσεως τῆς κορυφῆς τοῦ Σίβα, καὶ ἀπαλλαττούσῃ πάντα τὰ δεινά;

49. Οὐκ ὀλίγης ἀρετῆς ἐστι καρπὸς, ἡ ἔκπνευσις παρὰ τῷ Γάγγῃ, ἡ πρὸς τὸν Βισνοῦν στερεὰ λατρεία, καὶ ἡ ἐκ τῆς θεολογίας γνῶσις τῶν ὄντων.

50. Πάντων τῶν ἀνθρώπων οἱ πρόγονοι, ἐπιθυμοῦντες, οὕτω λέγουσιν ἕκαστος· « Πότε ὁ ἐμὸς ἀπόγονος, φιλάρετος ὤν, εἰς τὸν Γάγγην πορευθήσεται; »

51. Ὅτε ὁ ἄνθρωπος χοὰς ποιεῖ τοῖς προπάτορσιν ἐκ τῶν ὑδάτων τοῦ Γάγγου, ὁ εὐδαιμονέστερός ἐστιν ἐν γῇ, καὶ ἐπωφελὴς αὐτοῦ ἡ γέννησις.

52. Ὅστις, καὶ πόῤῥω ὤν, ἐκφωνεῖ ἐν ταῖς καθ' ἑκάστην τρισὶν εὐχαῖς, Γαγγά! Γαγγά! Γαγγά! οὗτος καθαρὸς γινόμενος, τυγχάνει τῆς ὑψίστης στάσεως.

53. Ὅςτις, εἰ καὶ μακράν ἐστιν, ἐκφωνεῖ, Γαγγά! Γαγγά! οὗτος ἀπαλλάττεται πασῶν τῶν ἁμαρτιῶν, καὶ εἰς τὸν τόπον τοῦ Βισνοῦ πορεύεται.

54. Δύσκολόν ἐστιν ἐν ὥρᾳ θανάτου τῷ ψυχοῤῥαγοῦντι ἡ ἀνάμνησις τοῦ ὀνόματος τοῦ Βισνοῦ· εὔκολον δὲ τοῦτο γίνεται διὰ τῆς πρὸς τὸν Γάγγην θεραπείας ἐν βραχεῖ χρόνῳ.

55. Ὅ,τι ἐῤῥέθη ὑπ' ἐμοῦ, τοῦτο βραχύ τι μέρος ἐστὶ τῶν προτερημάτων τοῦ Γάγγου· τίς γὰρ δύναται εἰπεῖν πάντα καὶ ἐν χιλίοις ἔτεσιν;

56. Ὥσπερ τῶν ἀδυνάτων ἐστὶν ἀριθμηθῆναι τὰ πολύτιμα πράγματα τῆς θαλάσσης καὶ τὰ χρυσᾶ ψήγματα τῆς Μερόης, οὕτω καὶ τὰ προτερήματα τῆς Γαγγᾶς.

ΒΗΣΜΑΣ.

57. Εἰπὼν ὁ μεγαλόφρων Αἰθεροβάτης τῷ Σπερμοσταχυολόγῳ οὕτω πολυειδῶς τὰ πολλὰ ἀγαθὰ τῆς Γαγγᾶς, ὅμοια τοῖς τοῦ οὐρανοῦ ὄντα, καὶ οὕτως ἔχοντα, εἰσέδυ τὸν αἰθέρα, καὶ ἀφανὴς ἐγένετο.

58. Εἰσηγηθεὶς δ' ὁ Σπερμοσταχυολόγος ἐκ τῶν λόγων τοῦ Αἰθεροβάτου, θεραπεύων καὶ τιμῶν τὴν Γαγγὰν, ὡς ἔδει, τὴν δύσκτητον ἐκτήσατο τελειότητα.

59. Καὶ σὺ τοίνυν, ὦ μέγα Βασιλεῦ, θεράπευε καὶ τίμα μετὰ μεγάλης τῆς εὐλαβείας τὴν Γαγγάν· οὕτω γὰρ τεύξῃ τῆς τελειότητος.

60. Ὅςτις ἀναγινώσκει ταύτην τὴν ἐπωφελῆ διήγησιν περὶ τῆς μεγάλης χάριτος τῆς Γαγγᾶς, ἢ ἀκούει, οὗτος τυγχάνει τῆς ὑψίστης στάσεως.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ πολυδωρίας, ἥτις οὐ θεωρεῖται ἐν τῇ δόσει ἐξ ὧν ἔχει πολλῶν ὁ ἄνθρωπος, ἀλλ' ἐν τῇ δόσει τοῦ οὗ ἔχει ὀλίγου.

ΖΑΝΑΜΕΖΑΪΑΣ.

1. Εἰπέ μοι, ὦ ὅσιε, ὅ,τι ξένον καὶ παράδοξον ἐγένετο ἐν τῇ θυσίᾳ τοῦ ἐμοῦ προπάτορος, τοῦ δικαίου καὶ φρονίμου Βασιλέως Ἰνδδιστίρα.

ΒΑΪΣΑΜΠΑΪΑΝΑΣ.

2. Ἄκουσον, τὶ μέγα θαῦμα ἐγένετο ἐν τῇ μεγάλῃ ἐκείνῃ θυσίᾳ. Κορεσθέντων τῶν ἐνδόξων Βραχμάνων, καὶ τῶν τυφλῶν, καὶ ἐνδεῶν,
3. Καὶ ᾀδομένης τῆς μεγαλοδωρίας ἐν παντὶ τόπῳ ὑπὸ τῶν ἀνθρώπων, καὶ ἀνθέων βροχῆς πιπτούσης ἐπὶ τῆς κεφαλῆς τοῦ δικαίου Βασιλέως Ἰνδδιστίρα,
4. Ἐξελθὼν ἐξ ὀπῆς Ἰχνεύμων μέγας, χρυσοῦν ἔχων τὸ ἥμισυ σῶμα, ἐξηρεύξατο θαῤῥαλέως τε καὶ μεγαλοφώνως φωνὴν ἀνθρώπου ὧδε·

ΙΧΝΕΥΜΩΝ.

5. Τίς αὕτη ἐνταῦθα ἡ ἀνθέων βροχή; τίς αὕτη ἡ μεγάλη βοή; αὕτη σου ἡ θυσία, ὦ Βασιλεῦ, οὐκ ἔστιν ἰσοστάσιος δρακὶ πτισσάνης Σπερμοσταχυολόγου πολυδώρου, οἰκοῦντος ἐν τῇ Κουρουξέτρᾳ.

ΒΑΪΣΑΜΠΑΪΑΝΑΣ.

6. Ἀκούσαντες δὲ τοῦ λόγου τούτου μετὰ θάμβου ἐκεῖνοι οἱ Βραχμᾶνες, οἱ πανένδοξοι, καὶ πάντιμοι, ἀναστάντες ἅπαντες, ἠρώτησαν αὐτὸν ἐν ἀδημονίᾳ.

ΒΡΑΧΜΑΝΕΣ.

7. Τίς εἶ σὺ, ὁ ἔχων τοιοῦτον ὑπερφυὲς σχῆμα; πόθεν δ' ἐνθάδε ἦλθες; ἢ διὰ τὶ μυκτηρίζεις τὴν μεγάλην ταύτην θυσίαν;

ΙΧΝΕΥΜΩΝ.

8. Οὐκ ἐῤῥέθη μοι ταῦτα, ὦ Βραχμᾶνες, οὔτ' ἐξ ἔριδος, οὔτ' ἐκ θυμοῦ, οὔτ' ἐξ ἔχθρας, ἢ φθόνου· ἀκούσατε δὲ πᾶσαν τὴν ἱστορίαν, ὡς ἔχει.

9. Πάλαι Βραχμάν τις σπερμολόγος ἐν Κουρουξέτρᾳ ᾤκει, ἐσθίων ἅπαξ τῆς ἡμέρας ἐν νυκτὶ μετὰ τῆς ἑαυτοῦ γυναικὸς, καὶ τοῦ υἱοῦ, καὶ τῆς νύμφης.

10. Ἐν ἐκείνῃ δὲ τῇ χώρᾳ, ᾗ ᾤκει, μέγας λιμὸς ἐγένετο, καὶ δυσκόλως ἔζη πᾶς ἄνθρωπος, βουλιμιῶν.

11. Διαπονῶν δ' αὐτὸς ὁ μέγας ἐγκρατὴς μετὰ τῆς οἰκίας, οὐδαμῶς ἐτύγχανε βρώματος ἐν τῇ ὡρισμένῃ ὥρᾳ.

12. Καί ποτε μόλις οὗτοι συνέλεξαν μίαν δράκᾳ κριθῆς, ἣν φρύξαντες, καὶ πτισσάνην ποιήσαντες, εἰς τέσσαρας μοίρας ἐμέρισαν.

13. Ἐνταῦθα ξένος τις ἦλθε πρὸς αὐτοὺς, ἰσχνὸν σῶμα ἔχοντας ἐκ πείνης, ἐπιθυμοῦντας φαγεῖν, καὶ μηδέν τι ἄλλο βρώσιμον ἔχοντας ἐν οἴκῳ.

14. Δεξιωσάμενος δ' αὐτὸν, ὡς ἔδει, χαίρων τὴν ψυχὴν, ὁ σπερμολόγος Βραχμὰν, λόγους ἔλεξεν ἡδεῖς καὶ θυμήρεις·

ΣΠΕΡΜΟΛΟΓΟΣ.

15. Μακάριος ἐγώ εἰμι, καὶ κεχαριτωμένος, διότι σὺ ὁ ξένος ἐπέστης ἐμοὶ κατὰ τὴν ἐμὴν ἐπιθυμίαν ἐν καιρῷ, καθὼς τὸ ὑδατῶδες νέφος τῷ θλιβομένῳ ἐκ καύματος.

16. Καλῶς ἦλθες, ὦ Βραχμάν· πάλιν καλῶς ἦλθες, χάριν δέ μοι ποίησαι, ἵν' εἰσέλθῃς εἰς ταύτην τὴν ἐμὴν καλύβην.

17. Εὐδαίμονές εἰσιν ἐκεῖνοι οἱ οἶκοι, ἐν οἷς, ὡς ἐν ἰδίοις οἴκοις, οἱ κεκμηκότες ἐξ ὁδοιπορίας ὁμοιοφανεῖς σοι ἄνδρες, θαῤῥοῦντες ἀναπαύονται.

18. Ὦ! πανόλβιοί εἰσιν οἱ ἔχοντες οἰκίας, καί περ ἐνδεῶς ἔχοντες, ὧν ἑκάστη ἡμέρα οὐκ ἔστιν ἄμοιρος τῆς πρὸς τοὺς ξένους ξενίας.

19. Οὐδαμῶς ἐκλείπουσιν ἐν τῷ οἴκῳ τῶν ἀγαθῶν τὰ τέσσαρα ταῦτα· χαμεύνη ἐκ χόρτων, γῆ, ὕδωρ, καὶ ἡδυλογία.

20. Δοτέον τῷ μὲν κακῶς ἔχοντι ξένῳ, κλίνην εἰς ἀνάπαυσιν, τῷ δὲ κεκμηκότι ἕδραν, τῷ δὲ διψῶντι ὕδωρ, τῷ δὲ πεινῶντι σιτίον.

21. Δοτέον τῷ ξένῳ ὄμμα, καρδίαν, καὶ γλῶσσαν ἡδεῖαν, καὶ ποιητέον, ὡς προσήκει, ὑποδοχὴν, περιποίησιν, καὶ πρόπεμψιν.

ΙΧΝΕΥΜΩΝ.

22. Τοιαῦτα εἰπὼν αὐτὸς ὁ φιλάρετος, τιμήσας τὸν ξένον ὡς ἔδει, ἔδωκεν αὐτῷ τὴν ἑαυτοῦ μοῖραν τῆς πτισσάνης· ὁ δὲ, φαγὼν, οὐκ ἐκορέσθη.

23. Ἡ δὲ γυνὴ, γηραλέα, ἰσχνὴ οὖσα ἐκ πείνης, μεμαραμμένη, δέρμα καὶ ὀστέα οὖσα, καὶ τρέμουσα, ἔφη τῷ ἑαυτῆς ἀνδρί·

ΒΡΑΧΜΑΝΗ.

24. Διὰ τί ἄθυμος εἶ, ὦ φιλάρετε, πτισσάνης οὔσης; δοθήτω καὶ ἡ ἐμὴ μοίρα τῷ ξένῳ τούτῳ, ἵνα κορεσθῇ.

ΒΡΑΧΜΑΝ.

25. Αἱ θήλειαι, ὦ ἀγαθὴ, καὶ ὑπὸ τῶν ἀλόγων ζώων καὶ ζωϋφίων διασώζονται, καὶ τρέφονται (διασωστέαι εἰσὶ καὶ θρεπτέαι)· ὅθεν οὐκ ἀξία εἶ οὕτω λέγειν.

26. Πάντα τὰ κατ' οἶκον ἔργα, καὶ ἡ πρὸς τὸν ἄνδρα θεραπεία καὶ ἡ τοῦ γένους διαδοχὴ ἐκ τῆς γυναικὸς γίνεται, καὶ ἡ ἐν οὐρανῷ οἴκησις πρὸς τούτοις τῶν προπατόρων, καὶ ἐμοῦ αὐτοῦ.

27. Ὅτε ὁ ἀνὴρ ἐλεεῖται, τρέφεται, καὶ διασώζεται ὑπὸ τῆς γυναικὸς, μεγάλην δυσφημίαν λαμβάνει, καὶ εἰς τὸν ᾅδην κατέρχεται.

ΒΡΑΧΜΑΝΗ.

28. Ὁ ἀνὴρ καὶ ἡ γυνὴ ἐποιήθησαν ὑπὸ τοῦ Βραχμᾶ συνέριθοι καὶ συνεργοὶ τῆς ἀρετῆς· οὐκ ἄξιος ἄρα εἶ κωλύειν με ἐκ τῆς μεγάλης ταύτης ἀρετῆς.

29. Ὁ ἀνήρ ἐστι τῇ γυναικὶ ὁ μέγας νόμος· ὁ ἀνήρ ἐστιν ὁ Θεός· ὁ ἀνήρ ἐστιν ὁ ἄριστος συγγενής· ὁ ἀνήρ ἐστι τῇ γυναικὶ ἡ μεγάλη δόξα.

30. Ἀσμένου ὄντος τοῦ ἀνδρὸς, ἡ γυνὴ ἀναμφιβόλως ἔχει πάντα τὰ ἀγαθὰ καὶ καταθύμια, καὶ τὴν εὔκλειαν, καὶ τὴν τοῦ οὐρανοῦ δόξαν.

31. Ἡ γυνὴ, ἢ ἐπακολουθεῖ τῷ ἀνδρὶ καὶ ἔργῳ, καὶ λόγῳ, καὶ διανοίᾳ, τιμᾶται ὑπὸ τῶν θεῶν ὡς πανευδαίμων, καὶ ἐν κόσμῳ οὖσα.

32. Σοῦ ἀσίτου ὄντος, ἐγὼ οὐδέποτε τέως ἔφαγον· εἰδὼς

οὖν τὴν ἐμὴν ἐγκράτειαν, ἄξιος εἶ δοῦναι τῷ ξένῳ καὶ τὴν ἐμὴν μοῖραν τῆς πτισσάνης.

ΙΧΝΕΥΜΩΝ.

33. Οὕτως ἀκούσας ὁ Βραχμὰν, λαβὼν τὴν πτισσάνην, ἔδωκεν αὐτὴν τῷ ξένῳ· ὁ δὲ, φαγὼν, διακορὴς οὐκ ἐγένετο.

34. Ἐνταῦθα ὁ υἱὸς, καλοκἀγαθος ὢν, ἔφη τῷ ἑαυτοῦ πατρὶ ταπεινῶς·

ΥΙΟΣ.

35. Δοθήτω, πάτερ, καὶ ἡ ἐμὴ μοῖρα τῷ ξένῳ τούτῳ, ἵνα κορεσθῇ· τί γὰρ ὄφελος ἐκ τῆς ζωῆς ἐκείνου, οὗ εἰς τὸν οἶκον ξένος ἐλθὼν, ἀναχωρήσει πεινῶν, ὡς ἐξ ἐρήμου οἴκου;

ΠΑΤΗΡ.

36. Εἰ καὶ ἑκατονταετὴς εἶ, παῖς νομίζῃ ὑπ' ἐμοῦ· τῶν δὲ παίδων ἡ πεῖνα σφοδρά ἐστιν. Ὅθεν φάγε σὺ ὦ υἱέ.

37. Λόγος ἐστὶν οὗτος ἀΐδιος (αἰώνιος), ὡς ὁ πατὴρ κτᾶται τὸν οὐρανὸν διὰ τοῦ υἱοῦ· διὰ σοῦ τοίνυν αὐτοῦ, ζῶντος, ὁ οὐρανὸς βέβαιος ἐμοὶ γίνεται.

38. Σὺ ἄξιος εἶ παντοίῳ τρόπῳ διαφυλάττεσθαι ὑπ' ἐμοῦ, τοῦ ἐφιεμένου τυχεῖν τοῦ οὐρανοῦ· ὅτε σὺ, ὦ υἱὲ, ζῇς ὁ ἐμὸς ἔκγονος, ἐγὼ οὐ φοβοῦμαι ἐκ τοῦ θανάτου.

39. Ὁ ἄνθρωπος ὡς ἐπὶ τὸ πολὺ φοβεῖται ἐκ τοῦ θανάτου, διότι κακὰ ἔπραξεν· οἱ δ' ἀγαθὰ πράξαντες, προσδοκῶσι τὸν θάνατον, ὡς τὸν ἀγαπητὸν ξένον· ὑπ' ἐμοῦ δὲ καὶ ἐγκράτεια μεγάλη ἐποιήθη, καὶ τὸ πῦρ κατὰ τὸν νόμον ἐθεραπεύθη.

ΥΙΟΣ.

40. Ὁ πατήρ ἐστιν ὁ σεβαστὸς, ὁ πατήρ ἐστιν ὁ Θεός· ὁ πατήρ ἐστιν ὁ ἀΐδιος νόμος· ἡδομένου τοῦ πατρὸς ἐπὶ τοῖς υἱοῖς, ἥδονται ἅπαντες οἱ θεοί.

41. Τίς ἄλλος ἐστὶ σεβασμιώτερος τοῦ πατρὸς, οὗ ἐκ τῆς χάριτος ἐπίκτητα ταῦτα τῷ υἱῷ γίνεται· τὸ σῶμα, ἡ εὐτυχία, ἡ γυνὴ, ἡ μάθησις, καὶ ὁ ἀΐδιος κόσμος;

42. Ὁ μὲν πατὴρ τρέφει τὸν υἱὸν ἐν τῇ παιδικῇ ἡλικίᾳ· ὁ δ' υἱὸς τρέφει τὸν πατέρα ἐν τῇ γεροντικῇ ἡλικίᾳ· δὸς οὖν καὶ τὴν ἐμὴν πτισσάνην.

ΙΧΝΕΥΜΩΝ.

43. Οὕτως ἀκούσας ὁ πατὴρ, λαβὼν τὴν πτισσάνην, ἔδωκεν αὐτὴν τῷ ξένῳ· ὁ δὲ, φαγὼν καὶ ταύτην, κόρον οὐκ ἔσχε. Χαίρουσα δ' ἡ Νύμφη, ἔφη ταπεινῶς τῷ πενθερῷ·

ΝΥΜΦΗ.

44. Δοθήτω καὶ ἡ ἐμὴ μοίρα, ὦ πανόλβιε, τῷ ξένῳ τούτῳ Βραχμᾶνι, ἵνα κορεσθῇ.

ΠΕΝΘΕΡΟΣ.

45. Ὦ γύναι νεᾶνι, νύμφη ἀγαθὴ, καὶ ἰσχνὴ ἐκ σκληραγωγίας, σὺ ἀξία εἶ φυλαχθῆναι ὑπ' ἐμοῦ παντοίοις τρόποις, εἰς διαδοχὴν τοῦ γένους.

46. Θλίβομαι λίαν τὴν ψυχὴν, βλέπων σε κεκμηκεῖαν τῇ πρὸς τοὺς μείζονας θεραπείᾳ, ἰσχνὴν ἐκ πείνης, ἐγκρατείᾳ χρωμένην, καὶ στυγνήν.

47. Ὅ,τι ἀγαθὸν γίνεται ἐξ ἁρπαγῆς καὶ ἀφαιρέσεως τῶν

οἰκείων, τοῦτο οἱ ἀγαθοὶ ἄνδρες οὐκ ἐπαινοῦσιν, οὐδ' ἀποδέχονται· ἴδιον γὰρ τοῦτο αἱμοβόρων.

ΝΥΜΦΗ.

48. Ὅτε βιαίως οἱ οἰκεῖοι ἀφαιροῦνται, καὶ ἁρπάζονται, τότε οὗτος ὁ νόμος, ὃν λέγεις, θεωρεῖται· ὅτε δὲ τοιαύτην ἀφαίρεσιν χάριν νομίζουσι, τότε οὐδαμῶς ἔγκλημά ἐστι.

49. Σὺ εἶ τοῦ ἐμοῦ κυρίου ὁ κύριος, καὶ τοῦ ἐμοῦ καθηγητοῦ ὁ καθηγητὴς, καὶ τοῦ ἐμοῦ Θεοῦ ὁ Θεὸς, καὶ διὰ τοῦτο ὁ σεβασμιώτερος· οὐκ ἄξιον ἄρα ταῦτα λέγειν.

50. Σκεψάμενος οὖν, ὡς ἐγώ εἰμι ἀξία ἐλέου, καὶ λίαν εὐλαβὴς, δὸς τὴν ἐμὴν πτισσάνην τῷ ξένῳ· ποίησαι χάριν ἐμοὶ τῇ ἀθλίᾳ, θειότατε.

ΙΧΝΕΥΜΩΝ.

51. Λαβὼν δὴ τὴν πτισσάνην, ἔδωκεν αὐτὴν τῷ ξένῳ· ὁ δὲ κατέφαγεν ὅλην, οὐδαμῶς δ' ἐθλίβη ὁ Σπερμολόγος.

52. Νομίζων γὰρ χάριν σὺν πάσῃ τῇ αὐτοῦ οἰκίᾳ αὐτὸς ὁ μεγαλόψυχος, καὶ ταῖς τοῦ νόμου προσηλωμένος τὴν ψυχὴν, ἀκλόνητος ἔμενεν, ὡς τὸ ὄρος.

53. Γνοὺς δ' ἐκεῖνος ὁ ξένος (ὃς ἦν ὁ Δάρμας) αὐτὸν καθαρὸν τὴν καρδίαν, ἔφη, χαίρων·

ΔΑΡΜΑΣ.

Ἐγώ εἰμι ὁ Δάρμας· ἦλθον δ' ἐνθάδε ἐν μορφῇ Βραχμᾶνος, ἐφιέμενος πειραθῆναί σου.

54. Ἡ ἐγκράτεια, ἡ ἄσκησις, ἡ εὐσπλαγχνία, ἡ δόσις, ἡ καθαριότης, ἡ χαλιναγωγία τῶν αἰσθήσεων, ἡ ἀλήθεια,

ἡ ἀνοχὴ, ἡ εὐθύτης, ἡ γνῶσις τῶν ὄντων, ταῦτα πάντα ἐμά ἐστι σώματα.

55. Ὅςτις ἀεὶ μετ' εὐλαβείας σέβεται ταῦτα τὰ ἐμὰ σώματα, τούτου τῇ εὐλαβείᾳ ἐγὼ ἐφησθεὶς, πᾶν ἐφετὸν καὶ καταθύμιον δίδωμι.

56. Ἐπειδὴ δ' ἔδωκάς μοι ἐκ καθαρᾶς καρδίας ἅπαν τὸ σπερμολογηθέν σοι μετὰ πολλῆς δυσχερείας, διὰ τοῦτο ἄπελθε ἤδη εἰς τὸν οὐρανὸν ἐντεῦθεν.

57. Ἅπαντες οἱ ἐν οὐρανῷ θεοὶ καὶ οἱ θεῖοι καὶ ἅγιοι Βραχμᾶνες ὁμοῦ ὑμνολογοῦσι ταύτην σου τὴν δόσιν, καταπλαγέντες τὴν ψυχήν.

58. Ἐπλημμύρησαν οἱ κόσμοι ἐκ τῆς σῆς φήμης, ὡς ἐκ πολλῆς βροχῆς, τῆς γεγενημένης ἐκ τῆς σῆς εὐλαβείας, ὡς ἐκ νεφέλης, διὰ τῆς δόσεως δρακὸς πτισσάνης.

59. Ἐπωφελής ἐστιν ἡ σὴ γέννησις· λυσιτελής ἐστιν ἡ σὴ βραχμανικὴ χάρις.

ΙΧΝΕΥΜΩΝ.

Ἐν δὲ τούτῳ βροχὴ ἀνθέων ἔπιπτεν ἐξ οὐρανοῦ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

ΔΑΡΜΑΣ.

60. Ἡ πεῖνα ἀφανίζει τῶν ἀνθρώπων τὸ δραστικὸν, τὸ λογιστικὸν, τὸ ῥωμαλέον, καὶ τὸ καρτερικόν· ὅςτις δὲ αὐτὴν τὴν πεῖναν τὴν δυσνίκητον ἐνίκησεν, ἐνικήθη ὑπὸ τούτου ὁ οὐρανός.

61. Διὰ τὴν ἐκπλήρωσιν τῶν τοῦ νόμου εἰς οὐδὲν ἐλογίσθησάν σοι ταῦτα πάντα, ἡ γυνὴ, ὁ υἱὸς, ἡ ἀγαθὴ (σεμνὴ) νύμφη, καὶ ἡ σὴ ἐπέραστος ζωή.

62. Ὁ θεὸς Νόμος οὐ τοσοῦτον ἥδεται δόσεσι, δοθείσαις παρ' ἐχόντων πλοῦτον μέγαν, ὅσον χαίρει ὀλίγαις δόσεσι,

κτηθείσαις δικαίως, καὶ δοθείσαις παρ᾽ ἐχόντων εὐλάβειαν.

63. Ἡ μὲν ἀνευλάβεια μέγα κακόν ἐστιν· ἡ δ᾽ εὐλάβεια ἀλεξίκακος· πᾶν γὰρ ἀμπλάκημα ἐκβάλλει ὁ εὐλαβὴς, καθὼς ὁ ὄφις τὸ γηραλέον δέρμα.

64. Τὸ δοθὲν ἀνευλαβῶς, εἰ καὶ πολὺ, πρόσκαιρον ἔχει τὸν μισθὸν, ὡς λέγουσιν οἱ σοφοὶ ἄνδρες· καὶ ὕδωρ δὲ, δοθὲν εὐλαβῶς, ἀένναον ἔχει τὸν μισθόν.

65. Πάλαι ὁ ἐνάρετος Ῥαντιδέβας, μηδὲν ἔχων, εὐλάβειαν δ᾽ ἔχων, δοὺς ὀλίγον ὕδωρ, ἀνέβη ἐπὶ τὸν οὐρανόν.

66. Διὰ τῆς δόσεως τῶν ἑαυτοῦ σαρκῶν ὁ Σιβὴς ὁ τοῦ Οὐσσινάρα, πάντων τῶν τοῦ κόσμου δεινῶν λυτρωθεὶς, χαίρει, ὡς Θεὸς, ἐν οὐρανῷ εἰς αἰῶνας.

67. Ὁ Βασιλεὺς Νρήγας ἑκατοντακισχιλίας βοῦς τοῖς Βραχμᾶσιν ἔδωκε· δοὺς ὅμως μίαν βοῦν ἀλλοτρίαν, χαμαιλέων ἐγένετο.

68. Αἱ ἀναρίθμητοι θυσίαι, καὶ ἑκατὸν ἱπποθυσίαι οὐδαμῶς ἰσοστάσιοί εἰσι τῇ δόσει τῆς δρακὸς τῆς πτισσάνης σου.

69. Ἰδὲ τὸ θεῖον τοῦτο ὄχημα, τὸ ἐλθὸν πρός σε· ἀναβὰς αὐτὸ μετὰ τῆς οἰκείας γυναικὸς, καὶ τοῦ υἱοῦ καὶ τῆς νύμφης, πορεύου εἰς τὸν οὐρανόν.

ΙΧΝΕΥΜΩΝ.

70. Ἀκούσας δ᾽ ὁ Βραχμὰν ἐκεῖνος παρ᾽ αὐτοῦ τοῦ Δάρμα, τοιαῦτα λέγοντος μετὰ χαρᾶς, ἀναβὰς σὺν τοῖς οἰκείοις τὸ θεῖον ὄχημα, ἀπῆλθεν εἰς τὸν οὐρανόν.

71. Ἀπελθόντων δ᾽ ἐκείνων, ἐξελθὼν ἐγὼ ἐκ τῆς ὀπῆς, ἐκυλίσθην ἐν τῷ ὕδατι τῆς πτισσάνης, τῷ συμμεμιγμένῳ τοῖς ἐξ οὐρανοῦ πεπτωκόσιν ἄνθεσι.

72. Ἐκ δὲ τῆς προστρίψεως τῶν οὐρανίων ἀνθέων· ἐγένετο

αὕτη μου ἡ μία πλευρὰ χρυσῆ, χάριτι ἐκείνου τοῦ Θεοῦ Δάρμα καὶ τοῦ ὁσίου ἀνδρός.

73. Σκεπτόμενος δὲ, πῶς ἂν γένοιτο χρυσῆ καὶ ἡ ἑτέρα μου πλευρὰ, πάσας τὰς ἀσκητικὰς ἐρημίας καὶ τὰ ἱερὰ τεμένη καὶ τὰς θυσίας ὁμοῦ περιῆλθον.

74. Ἦλθον δὲ τελευταῖον καὶ ἐπὶ ταύτην τὴν θυσίαν τοῦ δικαίου καὶ φρονίμου βασιλέως Ἰνδδιστίρα μετὰ μεγάλης ἐλπίδος, ἀκούσας τῆς φήμης· ἀλλ᾽ οὐκ ἔτυχον χρυσώσεως τῆς ἑτέρας πλευρᾶς.

75. Τοῦτο οὖν ἐστιν, ὃ εἴρηκα ἔμπροσθεν ὑμῶν, ὦ Βραχμᾶνες, ὡς αὕτη ἡ θυσία οὐκ ἔστιν ἰσοστάσιος δρακὶ πτισσάνης.

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

76. Τοιαῦτα εἰπὼν τοῖς Βραχμᾶσιν ὁ Ἰχνεύμων, ἀπῆλθεν, ὅθεν ἦλθεν· ἀνῆλθον δ᾽ εἰς τὸν οὐρανὸν καὶ οἱ θεοὶ, οἱ ἐλθόντες ἐπὶ τὴν θυσίαν.

77. Ταῦτα ἐῤῥέθη σοι ὑπ᾽ ἐμοῦ, ἐπειδὴ μὲ ἠρώτησας, ὦ Βασιλεῦ, ὁποῖον παράδοξον ἐγένετο ἐν τῇ μεγάλῃ θυσίᾳ τῇ ἱπποθυσίᾳ.

78. Ὅθεν οὐ δεῖ θαυμάζειν καὶ αὐχεῖν ἐπὶ ταῖς θυσίαις, ὦ Βασιλεῦ, ἐπειδὴ καὶ ἄνευ θυσιῶν ὅσιοι ἄνδρες ἐπορεύθησαν εἰς τὸν οὐρανὸν διὰ τῆς σκληραγωγίας καὶ ἐγκρατείας.

79. Ἡ ἀποχὴ τῆς ζωοκτονίας, ἡ αὐτάρκεια, ἡ ἀλήθεια, ἡ εὐθύτης, ἡ κατὰ πασῶν τῶν αἰσθήσεων νίκη, ἡ ἀνοχὴ, καὶ ἡ ἐγκράτεια, πρόξενά ἐστι τοῦ οὐρανοῦ.

80. Ὅστις δίδωσι τὸν ἑαυτοῦ πλοῦτον, καὶ ὀλίγον ὄντα, τὸν συναχθέντα μετὰ πόνου καὶ ἱδρῶτος, τούτῳ μεγάλη ἀνταμοιβὴ γίνεται. Ὁ σπερμολόγος Βραχμὰν, δοὺς πτισσά-

νην, καὶ μηδαμῶς φροντίσας τῆς ἑαυτοῦ οἰκίας, ἐπορεύθη μετ' αὐτῶν εἰς τὸν οὐρανόν.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ φιλοξενίας.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Ὑπὸ τίνος, οἰκοῦντος ἐν κόσμῳ, καὶ προσκειμένου τοῖς νομίμοις, νικᾶται ὁ θάνατος; τοῦτό μοι ἐρωτήσαντι εἰπεῖν, ὡς ἔχει, ἄξιος εἶ, ὦ πάτερ.

ΒΗΣΜΑΣ.

2. Ἐπὶ τούτου ἐπάγουσι ταύτην τὴν παλαιὰν ἱστορίαν, ὅπως ὁ θάνατος ἐνικήθη ὑπ' ἀνδρὸς, οἰκοῦντος ἐν κόσμῳ, καὶ τοῖς νομίμοις προσκειμένου.
3. Ἦν τις βασιλεὺς ἐνδοξότατος πάντων τῶν βασιλέων, καταγόμενος ἐκ γένους τοῦ Ἰξϐακοῦ, καὶ ἔχων πάντα τὰ ἀγαθὰ προτερήματα· ἐκαλεῖτο δὲ Δουριοδδάνας.
4. Τούτου ἠράσθη ἡ Ναρμαδὰ [1], λαϐοῦσα θεᾶς μορφὴν, ἐξ ἧς καὶ ἐγέννησεν ὁ Δουριοδδάνας θυγατέρα, Ὀγγαϐατὴν τοὔνομα.
5. Ταύτην, ὑπερφυῶς οὖσαν εὐειδῆ, ᾔτησεν εἰς γάμον αὐτοπροσώπως ὁ Ἀγνὴς [2], ἣν καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεὺς, καθὼς διδόασιν ἀφειδῶς τὴν τοῦ βουτύρου ἐπίχυσιν τῷ πυρὶ τῆς θυσίας.
6. Ἐξ αὐτῆς δ' ἐτέχθη υἱὸς, ὃς καὶ ἐκλήθη Σουδαρσσάνας,

---

(1) Ποταμὸς μέγας κατὰ τὸ νότιον μέρος τῆς Ἰνδίας.
(2) Ὁ Θεὸς τοῦ πυρός.

ὢν ἐλευθέριος, ἀληθοεπὴς, ἐγκρατὴς, αὐτόχρημα ἀρετή.

7. Ἦν δέ τις Βασιλεὺς, Ὀγγαβὰν καλούμενος, προπάτωρ τοῦ Βασιλέως Νρήγα, ὃς ἔδωκε τὴν ἑαυτοῦ θυγατέρα, Ἀουγγαβατὴν τοὔνομα, τῷ Σουδαρσσάνᾳ.

8. Ὤκησε δὲ μετ' αὐτῆς αὐτὸς ὁ ἐνάρετος καὶ ἐγκρατὴς ἀνὴρ ἐν τῇ Κουρουξέτρᾳ, καὶ γνώμην ἐποίησε τοῦ νικῆσαι τὸν θάνατον διὰ τῆς ξενίας.

9. Διά τοι τοῦτο εἶπεν αὐτὸς ὁ φιλάρετος ἀνὴρ αὐτῇ τῇ φιλαρέτῳ γυναικί·

ΣΟΥΔΑΡΣΣΑΝΑΣ.

Οὐδέποτέ σοι ποιητέον ἀντίστασιν καὶ ἀντιλογίαν τῷ ἐλθόντι ξένῳ καὶ ἐπαίτῃ·

10. Οὗτινος γὰρ ἐξ οἴκου ἀναστρέφει ὁ ξένος, μὴ τυχὼν τοῦ ποθουμένου, ἐκείνῳ τὰς μὲν ἑαυτοῦ ἁμαρτίας, ὁ μὴ ξενισθεὶς, δοὺς, τὰς δ' ἀρετὰς ἐκείνου ἀναλαβὼν, ἀναχωρεῖ.

11. Ἡ ἀλήθεια, ἡ καθαριότης, ἡ ἐγκράτεια, ἡ γνῶσις τῶν Βεδῶν, ἡ δόσις, ἡ θυσία, ἡ μάθησις, ταῦτα πάντα ἀνωφελῆ ἐστὶ τῷ ἀνθρώπῳ, ὃς καταφρονεῖ τοῦ ξένου.

12. Οὗτινος εἰς οἶκον ξένοι πόῤῥωθεν ἔρχονται, χαίροντες, καὶ ἐλπίζοντες, οὗτος λέγεται κυρίως οἰκοῦχος· οἱ δὲ λοιποὶ, οἱ μισόξενοι, οἰκοφύλακες λέγονται.

13. Τρία ταῦτα, ὦ γύναι, οὐκ εἰσὶ τοῖς μὴ πράξασιν ἐν τῇ προτέρᾳ γενέσει ἀγαθόντι· εὐλάβεια, δόσις, καὶ φιλοξενίᾳ.

14. Ἡδομένου τοῦ ξένου ἐπὶ τῇ ξενίᾳ τοῦ οἰκοῦντος ἐν κόσμῳ, ἥδονται πάντες οἱ θεοί· ἀποστρέφοντος δὲ τὸ πρόσωπον ἀπὸ τοῦ ξένου, ἀποστρέφουσι τὸ πρόσωπον ἀπ' αὐτοῦ πάντες οἱ θεοί. Ἐνταῦθα οὐδεμία ἀμφιβολία·

15. Ξενιστέος δὴ ὁ ξένος ἀεὶ ὑπὸ σοῦ· μηδὲ στεπτέον περὶ τῆς δόσεως καὶ τοῦ ἰδίου σώματος.

16. Ἤτοι ἀπόντος μου, ὦ ἀγαθὴ, ἢ παρόντος μου ἐν οἴκῳ, οὐ καταφρονητέος ὑπὸ σοῦ ὁ ξένος, εἴ σοι προσφιλής εἰμι ἐγώ.

17. Αὕτη ἐστὶν ἡ τῆς γυναικὸς ἀρετὴ, φασὶν οἱ σοφοὶ, τὸ ποιεῖν τὰ ἀρεστὰ τῷ ἀνδρὶ, ὦ ἐρασμία, καὶ ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ.

18. Ἐπακολουθοῦσα γὰρ ἡ γυνὴ τῷ ἑαυτῆς ἀνδρὶ καὶ ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ, φήμην μεγάλην κέκτηται ἐν γῇ, καὶ ἐν οὐρανῷ σύνεστι τῷ οἰκείῳ ἀνδρί.

19. Ἔφη δὲ ταπεινῶς ἡ Ἀουγγαβατὴ πρὸς τὸν ἑαυτῆς ἄνδρα·

ΑΟΥΓΓΑΒΑΤΗ.

Οὐ πρακτέον μοι ἄλλο τι ἐκτὸς τῆς σῆς προσταγῆς, ὦ ἐγκρατέστατε.

20. Ὦ! πανευδαίμων ἐγώ εἰμι· διότι σὺ ὁ ἐγκρατὴς δεικνύεις ἐμοὶ αὐτῇ τὰ τοῦ νόμου, τὰ δυσκατάληπτα τοῖς κακὰ πράττουσιν.

21. Ἐκ μὲν τῆς τροφοδοσίας σὺ εἶ ὁ ἐμὸς τροφοδότης· ἐκ δὲ τῆς κηδεμονίας σὺ εἶ ὁ ἐμὸς κηδεμών· ἐκ δὲ τῆς χαροποιΐας σὺ εἶ ὁ ἐμὸς χαροποιὸς, καὶ ἐκ τῆς νουθεσίας ὁ νομοδότης.

22. Ἐξ οὗ τῆς χάριτος γίνεται πᾶν ἐφετὸν καὶ καταθύμιον ἡ εὐποτμία, οἱ υἱοὶ, ἡ φήμη, καὶ ὁ αἰώνιος κόσμος, τούτου τίς ἄλλος Θεός ἐστιν ἀνώτερος;

ΒΗΣΜΑΣ.

23. Ἐπειδὴ δ' ὁ Σουδαρσσάνας ἠφίετο νικῆσαι [1] τὸν θάνατον διὰ τῆς ξενίας, διὰ τοῦτο ἐπηκολούθει ὁ θάνατος αὐτῷ, σφάλμα ζητῶν εὑρεῖν κατ' αὐτοῦ.

---

(1) Τουτέστι μὴ μετασωματωθῆναι.

24. Καί ποτε ἐξιόντος αὐτοῦ εἰς κομιδὴν ξύλων, ἐλθὼν ὁ θάνατος πρὸς τὴν σώφρονα Ἀουγγαβατὴν, ὡς Βραχμὰν ξένος,

25. Ἔφη αὐτῇ τῇ φιλαρέτῳ, τῇ φιλάνδρῳ, καὶ καλοκἀγάθῳ, μόνῃ οὔσῃ.

ΞΕΝΟΣ.

26. Διὰ σὲ ἦλθον ἐγὼ ὁ ξένος, ὦ ἀγαθή· πλήρωσόν μου τὴν ἐπιθυμίαν, εἰ ἀγαπᾷς τε καὶ τιμᾷς τὸν νόμον τῆς ξενίας τῶν ξενοδόχων.

27. Ὅ,τι γὰρ ἀγαθὸν γίνεται ἐκ τοιαύτης ξενίας, οἵας ὁ ξένος ἐπιθυμεῖ ἐν τῇ καρδίᾳ ἑαυτοῦ, τοῦτο οὐκ ἔστιν ἰσοστάσιον οὐδ᾽ ἑκατὸν μεγάλαις θυσίαις, ὡς λέγουσιν οἱ σοφοί.

ΒΗΣΜΑΣ.

28. Ἡ μὲν οὖν Ἀουγγαβατὴ μεταθεῖναι τὴν γνώμην αὐτοῦ ἐπειρᾶτο ἄλλαις πολλαῖς δόσεσιν· ὁ δὲ οὐκ ἔστεργεν ἄλλην τινα δόσιν ἐφετὴν, ἐκτὸς τῆς δόσεως τοῦ σώματος αὐτῆς.

29. Γνοῦσα δὲ τὸ ἰσχυρόγνωμον αὐτοῦ, καὶ ἐνθυμηθεῖσα τὸν λόγον τοῦ ἑαυτῆς ἀνδρὸς, αἰσχυνομένη ἐμίγη αὐτῷ φιλότητι (εἰσέδυ εἰς τὸ ἐνδότερον).

30. Ἐνεγκὼν δὲ τὰ ξύλα ὁ υἱὸς τοῦ Ἀγνῆ ὁ Σουδαρσσάνας, στὰς παρὰ τῇ θύρᾳ τῆς οἰκίας, ἐφώνησε τὴν ἑαυτοῦ γυναῖκα.

31. Ἡ δὲ, οὖσα ἐν ἀγκάλαις τοῦ ξένου, αἰσχυνθεῖσα, γνοῦσα, ὡς ἀκάθαρτός ἐστιν, οὐκ ἔδωκεν ἀπόκρισιν τῷ ἑαυτῆς ἀνδρί.

32. Ὁ δὲ θάνατος, ὁ ἔχων τὸ σχῆμα τοῦ ξένου, ἀπεκρίνατο αὐτῷ ἔσωθεν· « Αὕτη μὲν ἐν ἡδυπαθείᾳ ἐστὶν, ὡς ἐφίεται· σὺ δ᾽ εἰπὲ, ὅ,τι ἤνεγκας ».

33. Ἐν ταὐτῷ δὲ ἀναλαβὼν τὸ ἑαυτοῦ ῥόπαλον ὁ θάνατος, ἐν νῷ εἶχε πατάξαι αὐτὸν, εἰ παραβαίη τὴν ἣν ἐποίησε γνώμην.

34. Ἀκούσας δ' ὁ Σουδαρσσάνας τοῦ λόγου τούτου, ἀφεὶς καὶ ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ πᾶσαν ζηλοτυπίαν καὶ θυμὸν, ἔλεξε, χαίρων τῇ ψυχῇ·

ΣΟΥΔΑΡΣΣΑΝΑΣ.

35. Τρύφα μετὰ τοῦ ξένου· μεγάλη μοι χαρά ἐστιν· αὕτη γὰρ μεγάλη ἀρετή ἐστι τοῖς οἶκον ἔχουσι, τὸ θεραπεύειν τὸν ξένον παντοίῳ τρόπῳ.

36. Ὅστις, οἶκον ἔχων, τὸν ξένον θεραπεύει μετὰ μεγάλης εὐλαβείας, οὗτος ἀποθανὼν, εἰς τὸν οὐρανὸν πορεύεται, καὶ ὑπὸ τῶν θεῶν εἰς αἰῶνας τιμᾶται.

37. Ἔμοι γε γνώμη ἐστὶν ἀμετάθετος, (δόγμα ἐστὶν ἀπαράβατον), τὸ διδόναι τοῖς ξένοις τὴν ἐμαυτοῦ πνοὴν, καὶ τὴν γυναῖκα, καὶ εἴτι ἄλλο τυγχάνει μοι καταθύμιον.

38. Εἰ μὲν οὖν οὗτός μοι ὁ ῥηθεὶς λόγος ἀληθὴς εἴη, οἱ θεοὶ φυλαττέτωσάν με· εἰδὲ μὴ, ἀποτεφρούτωσάν με.

39. Ὁ Βισνοῦς, ἡ ψυχὴ πάντων, καὶ ὁ πάντων τῶν Κυρίων Κύριος γινώσκει, ὅ,τι ἐστὶν ἐν τῇ καρδίᾳ πάντων.

ΒΗΣΜΑΣ.

40. Ἐπὶ τούτοις φωνὴ μεγάλη τῶν θεῶν ἐγένετο· « Εὖγε! εὖγε! » καὶ βροχὴ ἀνθέων ἔπιπτεν ἐξ οὐρανοῦ κατὰ τῆς κεφαλῆς αὐτοῦ τοῦ μεγαλοψύχου.

41. Ἐξελθὼν δ' ἔπειτα τῆς οἰκίας ὁ ξένος Βραχμὰν, ἔφη τῷ Σουδαρσσάνᾳ·

ΔΑΡΜΑΣ.

Ἐγώ εἰμι ὁ Δάρμας ἐν σχήματι Βραχμᾶνος· ἦλθον δ' ἐνθάδε, πειραθῆναί σου βουλόμενος.

42. Ὁ Ἔρως ἐνικήθη ὑπὸ σοῦ σήμερον, ὃν οὐ δύνανται νικῆσαι πάντες οἱ θεοὶ, οἱ Δανάβαι, οἱ Γανδδάρβαι, οἱ Ἰάξαι, οἱ Ῥαξάσαι, καὶ οἱ Δράκοντες.

43. Οὐ μόνον δ' ὁ δεινὸς Ἔρως, ὁ συνὼν τῇ καρδίᾳ πάντων, ἐνικήθη ὑπὸ σοῦ, ἀλλὰ καὶ ὁ πάνδεινος καὶ δυσνίκητος θάνατος, ὃς ἐν χειρὶ φέρει ῥόπαλον μέγα καὶ στιβαρὸν, ὡς κορυφὴν ὄρους, καὶ ὃς ἐπηκολούθει σοι ᾀεί.

44. Οὐδενὶ κακόφρονι ἐν τοῖς τρισὶ κόσμοις δύναμίς ἐστι θίξαι ταύτης τῆς φιλάνδρου καὶ σεμνῆς γυναικὸς, ἢ ὅλως ἐμβλέψαι αὐτῇ.

45. Εἰς δὲ κάθαρσιν τοῦ κόσμου τῷ μὲν ἡμίσει τοῦ σώματος ἔσεται αὕτη ποταμὸς, Ἀουγγαβατὴ τοὔνομα, τῷ δ' ἑτέρῳ ἡμίσει ἔσεται μετὰ σοῦ.

ΒΗΣΜΑΣ.

46. Τοιαῦτα εἰπὼν ὁ θεὸς Δάρμας, ἄφαντος ἐγένετο· ὁ δὲ καλοκᾄγαθος Σουδαρσσάνας ἐβεβαιώθη, ὡς ἐνίκησε τὸν θάνατον.

47. Ἀναβὰς δὲ μετὰ τῆς Ἀουγγαβατῆς θεῖον ὄχημα, ἐζευγμένον χιλίοις ἵπποις, ἀπῆλθεν εἰς τὸν Σατελόκαν [1].

48. Οὕτω ξενίσας ξένον, ὁ οἰκῶν ἐν κόσμῳ Σουδαρσσάνας, καὶ νικητὴς ὢν τῶν παθῶν, ἐνίκησε τὸν θάνατον.

49. Τῷ οἰκοῦντι ἐν κόσμῳ ὁ ξένος ἐστὶν ὁ Θεὸς, ὁ ξένος ἐστὶν ἡ θεία δόξα.

---

(1) Εἰς τὴν χώραν τῶν Μακάρων.

50. Ὅθεν ξενιστέος ὁ ξένος ἀεὶ παντοίῳ τρόπῳ μετ᾽ εὐλαβείας ἀπὸ τοῦ οἰκοῦντος ἐν κόσμῳ, καὶ φιλοῦντος τὸ οἰκεῖον καλὸν καὶ συμφέρον.

51. Λίαν οἰστέον, εἰ Βραχμὰν, ἐλθὼν, πείνῃ καὶ δίψῃ καὶ καμάτῳ πάσχων, λέγει τι ὀρθὸν, ἢ μὴ ὀρθόν.

52. Αἰτηθείς τις ὑπὸ Βραχμᾶνος σιτία, δότω αὐτῷ, μηδαμῶς σκεπτόμενος· μηδ᾽ ἐρωτάτω, εἰ γινώσκοι τὰ τῆς Βέδας, καὶ ἐπιστήμην τινὰ, καὶ ὁποῖον εἶδος ἀρετῆς ἔχοι.

53. Εἰ ὀλιγοφάγος, ἢ πολυφάγος ἐστὶν ὁ Βραχμὰν, δοτέον αὐτῷ, αἰτοῦντι· μηδὲ ῥητέον ἄχαρί τι.

54. Ὅστις ἀναγινώσκει τοῦτο τὸ ἀγαθὸν κατόρθωμα τοῦ Σουδαρσσάνα, ἢ ἀκούει, ἢ ἀκουτίζει, οὗτος τυγχάνει τῆς ὑψίστης δόξης.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Περὶ ἔργων, ἐξ ὧν πορεύεται ὁ ἄνθρωπος εἰς τὸν ᾅδην, ἢ εἰς τὸν οὐρανόν.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

1. Ἐξ ὁποίων ἔργων οἱ ἄνθρωποι, θανόντες, κατέρχονται εἰς τὸν τάρταρον, ἢ ἀνέρχονται εἰς τὸν οὐρανόν; τοῦτο εἰπεῖν μοι ἄξιος εἶ.

ΒΗΣΜΑΣ.

2. Οἵτινες Βραχμᾶνες, ἀφιέντες τὸ οἰκεῖον βραχμανικὸν θεῖον ἔργον, μετέρχονται ἀνοίκεια καὶ κακὰ ἔργα, παρανοοῦντες ἐκ πλεονεξίας, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

3. Οἵτινες, ἐπαγγειλάμενοι, οὐ διδόασι χρήματα τοῖς Βραχ-

μᾶσι, καὶ οἳ συλῶσι τὰ χρήματα τῶν Βραχμάνων, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

4. Οἵ εἰσιν ἄθεοι, παραβάται τῶν ὁρίων, δειλοὶ, φιλήδονοι, ὑποκριταὶ, καὶ ἀχάριστοι, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

5. Οἵ εἰσι σκληροὶ, διάβολοι, ὑπερήφανοι, ψευδολόγοι, καὶ εἰκαιολόγοι, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

6. Οἳ σφετερίζουσι τὰ ἀλλότρια, καὶ προδόται γίνονται τῶν ἀλλοτρίων κτημάτων, καὶ τῇ ἀλλοτρίᾳ εὐτυχίᾳ φθονοῦσιν, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

7. Οἳ χαίρουσιν ἀεὶ τῇ ζωοκτονίᾳ, καὶ ἀρνησάμενοι τὸν κόσμον, συμφέρονται τοῖς τοῦ κόσμου, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

8. Οἳ ἀνορύττουσιν (ἀνασκάπτουσι) τὰ φρέατα, τὰς λίμνας, τὰς πηγὰς, καὶ τὰς λεωφόρους, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

9. Οἳ ἐσθίουσι χωρὶς τῶν ἑαυτῶν γυναικῶν, παιδίων, οἰκείων, καὶ συγγενῶν, καὶ οὐ τελοῦσι τὰ νενομισμένα τοῖς προπάτορσι καὶ τοῖς θεοῖς, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

10. Οἳ ὑβριστικῶς βιάζονται τὰς ἱερείας, καὶ μυκτηρίζουσι τὰς ἀσκητικὰς διαγωγὰς, καὶ τὰς Βέδας, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

11. Οἵτινες οὐ φρονοῦσιν, οὐδὲ δοξάζουσι τὸν Βισνοῦν ἀρχαῖον Θεὸν, Κύριον, καὶ μέγαν ἡγεμόνα πάντων τῶν κόσμων, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

12. Οἳ ἐμποδὼν γίνονται τῇ ὠφελείᾳ τῶν Βραχμάνων, τῶν βοῶν, τῶν παρθένων, καὶ τῶν εὐμενῶν, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

13. Οἵ εἰσιν ἄσπλαγχνοι, καὶ διάστροφοι πρὸς πάντα τὰ ἔμψυχα, καὶ ἄπιστοι ἐν πᾶσι τοῖς ἐμψύχοις, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

14. Οἱ ἀποκλείουσι τὴν ὁδὸν ξύλοις, ἢ ἀκάνθαις, ἢ λίθοις, ἢ λάκκοις, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

15. Οἱ πολυπραγμοσύνην ποιοῦνται πρὸς τοὺς Βραχμᾶνας, τοὺς ἐλθόντας εἰς ἑστίασιν, καὶ ἐνδεῶς ἔχοντας τῶν πρὸς τὸ ζῆν, εἰ πεπαιδευμένοι τυγχάνουσιν ὄντες, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

16. Οἱ ἀφαρπάζουσι ξένην γῆν, οἰκίαν, καὶ ζωοτροφίαν, καὶ τὴν φιλίαν καὶ ἐλπίδα τῶν ἄλλων διαλύουσι, καὶ ματαίαν ποιοῦσιν, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

17. Οἵτινες ἐκ μίσους οὐ συμμίγνυνται ταῖς οἰκείαις γυναιξὶ μετὰ τὰ καταμήνια, καί τοι οὐ γινώσκουσιν ἄλλον ἄνδρα, σώφρονες οὖσαι, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

18. Οἵτινες, Βραχμᾶνες ὄντες, δερματοπῶλαι (ἐριοπῶλαι) εἰσὶ, καὶ φαρμακοπῶλαι, καὶ χυμοπῶλαι[1], οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

19. Οἵτινες ἀφροντιστοῦσι καὶ ἀμελοῦσι τοῦ ξένου, τοῦ ἐληλυθότος μετ' ἐλπίδος, καὶ κεκμηκότος πείνῃ, δίψῃ καὶ μόχθῳ, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

20. Οἵτινες προσφύονται τῇ οἰνοποσίᾳ, τῇ κρεωφαγίᾳ, τοῖς ᾄσμασι, τοῖς μουσικοῖς ὀργάνοις, καὶ τοῖς περὶ τοὺς κύβους ἀθύρμασιν, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

21. Οἵτινες, τετυφλωμένοι τῇ ἐπιθυμίᾳ, συμμίγνυνται γυναικὶ, ὅτε ἔχει τὰ καταμήνια, ἢ ἐν ἑορταῖς, ἢ ἐν ἡμέρᾳ, οὗτοι, πορεύονται εἰς τὸν ᾅδην.

22. Οἵτινες χρῶνται ἀρσενοκοιτίᾳ ἑτεροφυλοβατίᾳ, ἢ κτηνοβατίᾳ, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

23. Οἵτινες τὰ ἐκκρήματα τοῦ σώματος ῥίπτουσιν εἰς πῦρ,

---

(1) ὅσα ἔχουσι χυμὸν ὑγρὸν, βούτυρον, ἔλαιον, μέλι, κτλ.

εἰς ὕδωρ, εἰς κῆπον, εἰς ὁδὸν, ἢ εἰς βοοστάσιον, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

24. Οἵτινες διαζῶσιν ἐκ πλούτου τῆς γυναικὸς, καὶ γυναικοκρατοῦνται, καὶ τὴν γυναῖκα οὐ διασώζουσιν ἀπὸ κινδύνου, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

25. Οἵτινες, Βραχμᾶνες ὄντες, ποιοῦσιν, ἢ πωλοῦσι ξίφη, δόρατα, βέλη, τόξα, καὶ πᾶν ἄλλο εἶδος ὅπλου, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

26. Οἵτινες, μωροὶ ὄντες, οὐ φείδονται τοῦ ὀρφανοῦ, τοῦ ἐνδεοῦς, τοῦ δυστυχοῦς, τοῦ ἐμπαθοῦς, καὶ τοῦ γέροντος, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

27. Οἵτινες, ἀναδεξάμενοί τι εἶδος ἀρετῆς (ἐγκρατείας), ἀθετοῦσιν αὐτὴν ἔπειτα, ἀκρατεῖς ὄντες, οὗτοι πορεύονται εἰς τὸν ᾅδην.

28. Οὗτοι οἱ ῥηθέντες εἰσὶν, ὦ Βασιλεῦ, οἱ πορευόμενοι εἰς τὸν ᾅδην· οἱ δὲ κληρονόμοι λέγονται τοῦ οὐρανοῦ, μάθε καὶ τούτους παρ' ἐμοῦ.

29. Οἵτινες ἐπακολουθοῦσι τῷ νόμῳ δι' ἀληθείας, ἐγκρατείας, ἀνοχῆς, δόσεως καὶ ἀναγνώσεως τῶν Βεδῶν, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

30. Οἵτινες πρόσκεινται τῇ πρὸς τὸ πῦρ σπονδῇ, τῇ προσευχῇ, τῷ λουτρῷ, καὶ τῇ πρὸς τοὺς θεοὺς λατρείᾳ μετὰ μεγάλης εὐλαβείας, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

31. Οἵτινες, ὄντες καθαροὶ, ἐν καθαρῷ τόπῳ καθήμενοι, ὑποφωνοῦσι τὸ ὄνομα τοῦ θεοῦ Βισνοῦ, ἀφορῶντες εἰς αὐτὸν, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

32. Οἵτινες ποιοῦσιν ὑπακοὴν καὶ ὑποταγὴν τῇ μητρὶ καὶ τῷ πατρὶ, τιμῶντες αὐτοὺς ἀεὶ, καὶ οὐ κοιμῶνται τὴν ἡμέραν, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

33. Οἳ πάσης ζωοκτονίας ἀπέχουσι, καὶ πάντα ὑποφέρουσι,

καὶ πᾶσιν ἐπαρκοῦσιν, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

34. Οἵτινες διδασκόμενοι τὴν Βέδαν τῇ πρὸς τὸν διδάσκαλον ὑπακοῇ καὶ τῇ ἐγκρατείᾳ, οὐ δέχονται δῶρα παρ' ἄλλων, ἐκτὸς τῶν πρὸς ζωάρκειαν, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

35. Οἵτινες οὐ καταπονοῦνται ἐκ ταραχῆς φόβου, λύπης, δυσπραγίας, ἢ καχεξίας, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

36. Οἵτινες ἑστιῶσι πολλούς, διδοῦσι πολλοῖς, καὶ διασώζουσι πολλούς, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

37. Οἵτινες, ὄντες πλούσιοι, εὔμορφοι, καὶ νέοι, νικηταί εἰσι τῶν αἰσθήσεων, καὶ καρτερικοὶ, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

38. Οἵτινες διδόασι τοῖς βραχμᾶσι χρυσίον, βοῦς, γῆν, σιτία, καὶ ἱμάτια, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

39. Οἵτινες, αἰτηθέντες, διδόασι, χαίροντες, καὶ χαρίεντα λέγουσι, μὴ ἐφιέμενοι ἀνταμοιβῆς τῶν ὧν ἔδωκαν, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

40. Οἳ οὐδαμῶς λέγουσι τὰ σφάλματα καὶ τῶν ἐχθρῶν, ἐπαινοῦσι δὲ μάλιστα τὰς ἀρετὰς αὐτῶν, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

41. Οἳ διδόασιν οἰκήματα, βρώματα καὶ πόματα οἰκείοις, ταῦτα πόνοις κτησάμενοι, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

42. Οἵτινες, βλέποντες τὴν τῶν ἄλλων δόξαν καὶ εὐτυχίαν, οὐ βασκαίνουσιν, οὐδὲ φθονοῦσι, τοὐναντίον δὲ χαίρουσι, καὶ εὐφραίνονται, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

43. Οἵτινες, μεγαλόφρονες ὄντες, ὁδεύουσι τὴν ὁδὸν τοῦ Νόμου, ἀπεχόμενοι τῶν ἀπηγορευμένων, καὶ ἀντεχόμε-

νοι τῶν ἐντεταλμένων, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

44. Οἳ οὐκ οἴδασι λέγειν λόγον ἄχαριν, χαρίεντα δὲ μάλιστα, ἐκ γυμνάσεως καὶ ἐθισμοῦ, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

45. Οἳ μοῖραν ποιοῦσι τῶν βρωμάτων τοῖς θεοῖς καὶ τοῖς προπάτορσι, καὶ τοῖς ἐπαίταις μεταδιδόασι, καί περ πάσχοντες πείνῃ καὶ δίψῃ, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

46. Οἳ πρὸς μὲν τοὺς ψεύστας ἀληθεῖς εἰσι, πρὸς δὲ τοὺς διαστρόφους ὀρθοὶ, πρὸς δὲ τοὺς κακόφρονας φιλόφρονες, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

47. Οἵ εἰσιν εὔσπλαγχνοι, καὶ νικηταὶ τοῦ θυμοῦ, ἐξ ὁποιασοῦν ἂν ὦσι φυλῆς, οὗτοι πολύπαιδες, καὶ ἑκατονταετεῖς γίνονται, καὶ μετὰ θάνατον εἰς τὸν οὐρανὸν πορεύονται.

48. Οἳ ποιοῦσι πηγὰς, φρέατα, λίμνας, ποτιστήρια, ναοὺς, καὶ κήπους κοινοὺς, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

49. Οἳ οὐκ ἀπολείπουσι μίαν ἡμέραν ἄνευ τοῦ ποιεῖν ἀγαθόν τι, καὶ ἐγκράτειαν ἀεὶ μετέρχονται, οὗτοι εἰς τὸν οὐρανὸν πορεύονται.

50. Οἳ οὐδὲ διανοοῦνται ἐκκόπτειν καὶ χόρτον ἐξ ἀγροῦ, ὅς ἐστιν ἀλλότριον κτῆμα, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

51. Οἵτινες πραεῖς ὄντες τῷ πνεύματι, καὶ κρατοῦντες ἑαυτῶν, ἐξ ἴσου βλέπουσι τὸν κακολογοῦντα, καὶ τὸν εὐλογοῦντα, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

52. Οἳ διασώζουσι τοὺς Βραχμᾶνας, τοὺς φοβουμένους, καὶ κινδυνεύοντας ἐξ ἐχθροῦ, καὶ τὰς βοῦς πάσας, καὶ τὰς γυναῖκας, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

53. Οἵτινες φιλοδέσποτοι ὄντες, καὶ εὐχάριστοι, θύουσι τὴν ἑαυτῶν ψυχὴν ἡρωϊκῶς ἐν πολέμῳ, πρὸς ὑπεράσπισιν τοῦ οἰκείου δεσπότου, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

54. Οἱ διδόασι πόπανα τοῖς προπάτορσιν ἐν τῇ Γαγγᾷ, ἐν τῇ Πουσκάρᾳ, καὶ ἐν τῇ Γαϊᾷ κατ' ἐξοχὴν, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

55. Οἱ ἐνασχολοῦνται ἀεὶ τῇ ἐγκρατείᾳ τῆς διανοίας καὶ τῶν αἰσθήσεων, ἀφέντες τὴν πλεονεξίαν, τὸν φόβον καὶ τὸν θυμὸν, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

56. Οἵτινες ἐκ φιλοστοργίας οὐ κτείνουσι τοὺς φθεῖρας, τοὺς κόρεις, καὶ τοὺς κώνωπας, τοὺς δάκνοντας τὸ σῶμα, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

57. Οἱ συλλέγουσι πλοῦτον νομίμως καὶ δικαίως, καὶ ὑποφέρουσι τὰ φύσει ἐναντία, καρτερικοὶ ὄντες, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

58. Ὅςτις οὐ καταθλίβει ἄλλον ἔργῳ, λόγῳ, καὶ διανοίᾳ, καὶ παντὶ τρόπῳ καθαρός ἐστι τὴν καρδίαν, οὗτος πορεύεται εἰς τὸν οὐρανόν.

59. Οἵτινες οὐ συγγίνονται ξένῃ γυναικὶ οὐ μόνον ἔργῳ, ἀλλὰ καὶ λόγῳ, καὶ διανοίᾳ, δίκαιοι ὄντες, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

60. Οἵτινες οὐ πράττουσι τὰ ἀπηγορευμένα, ἀλλὰ τὰ ἐπιτετραμμένα, καὶ τὴν φύσιν ἑαυτῶν γινώσκουσιν, οὗτοι πορεύονται εἰς τὸν οὐρανόν.

61. Ταῦτα πάντα τὰ ἔργα, ἐξ ὧν εἰς κτῆσιν ἔρχεται ὁ ᾅδης, ἢ ὁ οὐρανὸς, ἐῤῥέθη σοι ὑπ' ἐμοῦ, ὡς ἔχει, ὦ ἀπόγονε τοῦ Βαράτα.

62. Ὃς κακοποιεῖ ἄλλους, οὗτος πορεύεται εἰς τὸν φοβερὸν καὶ δυσανάσχετον ᾅδην· ὅςτις δ' ἀγαθοποιεῖ ἀεὶ, οὗτος καὶ ἐνταῦθα ἡδέως ζῇ, καὶ μετὰ θάνατον λυτρώσεως τυγχάνει καὶ ἀϊδιότητος.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ καταφυγῆς.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

1. Εἰπέ μοι, ὦ πάτερ μεγαλόνοε, καὶ πασῶν τῶν ἐπιστημῶν ἔμπειρε, οἵα ἀρετή ἐστι τῷ ἀνθρώπῳ, τῷ διαφυλάττοντι τὸν καταφυγόντα.

ΒΗΣΜΑΣ.

2. Μεγάλη ἀρετή ἐστιν, ὦ μέγα Βασιλεῦ, ἡ διαφύλαξις τοῦ καταφυγόντος· οὕτω λέγουσιν οἱ σοφοὶ, οἱ τὴν φύσιν τῆς ἀρετῆς βεβαίως γινώσκοντες.
3. Ὁ Σιβὴς, καὶ ἄλλοι Βασιλεῖς μεγαλόφρονες, διαφυλάξαντες τὸν καταφυγόντα, μεγάλης τελειότητος ἔτυχον.
4. Ἄδεται, ὡς περιστερὰ ἐδεξιώσατο, ὡς ἔδει, ἐχθρὸν καταφυγόντα, καὶ εἱστίασεν αὐτὸν τῇ οἰκείᾳ σαρκί.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

5. Πῶς πάλαι ἡ περιστερὰ ἐδεξιώσατο τὸν καταφυγόντα ἐχθρὸν, καὶ εἱστίασεν αὐτὸν τῇ αὐτῆς σαρκί; καὶ ὁποίας δόξης ἔτυχε;

ΒΗΣΜΑΣ.

6. Ἄκουσον, ὦ Βασιλεῦ, τῆς πασῶν τῶν ἁμαρτιῶν ἀπαλλακτικῆς ἱστορίας, ἣ ἐῤῥέθη ὑπὸ τοῦ Σούκρα τῷ βασιλεῖ Μουτσουκούνδᾳ.
7. Ὀρνιθοθήρας τις κακότροπος, καὶ στυγερὸς, περιήρχετο τὰ βαθέα ἄλση, ὢν αὐτὸς ὁ θάνατος τοῖς ὄρνισιν.
8. Ἦν δὲ μέλας τὸ σῶμα, ὡς ὁ κόκκυξ, καὶ ὁ κόραξ,

ἦν κορακόφωνος, ἰσχνὸς, λεπτὸς τὴν ὀσφὺν καὶ τὸν λαιμὸν, βραχύπους, καὶ μεγαλογάστωρ.

9. Οὐδεὶς δ' ἦν αὐτῷ εὐμενὴς, συγγενὴς, ἢ οἰκεῖος, ἀλλ' ἦν μισούμενος ὑπὸ πάντων διὰ τὸ ὃ εἶχε στυγερὸν ἔργον.

10. Οἱ γὰρ αἱματοχαρεῖς, καὶ δύστροποι, καὶ τῶν ἐμψύχων ἀναιρετικοὶ, ἀποτρόπαιοι γίνονται παρὰ πᾶσιν, ὥσπερ οἱ ὄφεις.

11. Πορευόμενος δ' εἰς τὸ ἄλσος αὐτὸς ὁ ὀρνιθοθήρας, (ὀρνιθοκτόνος) κύρτην ἔχων καὶ βρόχους καὶ δίκτυα, πολλοὺς ὄρνεις ἐζώγρει.

12. Τοιαύτῃ ζωῇ χρωμένου τούτου τοῦ κακοτρόπου, πολὺς χρόνος διῆλθεν· οὐδέποτε δ' ἔλαβεν εἰς νοῦν πρᾶξιν ἀρετῆς.

13. Ἦν δ' ἀεὶ προσκείμενος τῇ ἀναιρέσει τῶν ζώων· ἦν σαρκοφάγος, καὶ ἄσπλαγχνος, καὶ οὐδεμία ἄλλη ζωὴ ἤρεσκεν αὐτῷ, μεμωραμμένῳ κακῇ τύχῃ.

14. Καί ποτε ὄντος αὐτοῦ ἐν ἄλσει, σφοδρὸς ἄνεμος ἐπεγένετο, καταῤῥηγνύων, καὶ καταβάλλων κλάδους δένδρων, καὶ ἀνασπῶν ὅλα τὰ δένδρα.

15. Ἐν ἀκαρεῖ δὲ συννεφὴς ὁ αἰθὴρ ἐγένετο· ἀστραπαί τε καὶ βρονταὶ ἐξεῤῥηγνύοντο· καὶ τὸ πᾶν φόβου ἐπληρώθη, καθὼς τὸ πλοῖον σὺν παντὶ τῷ πληρώματι ἐν μέσῳ ἀχανοῦς πελάγους.

16. Ὁ δ' Ἴνδρας ῥαγδαίαν βροχὴν ἔβρεχε, καὶ μετὰ βραχὺ ἅπασαν τὴν γῆν ὑδάτων ἐπλήρωσεν.

17. Ἐν τοιούτῳ δὲ κατακλυσμῷ ἀπορῶν καὶ ἀγωνιῶν ὁ ὀρνιθοθήρας, περιεπλανᾶτο εἰς ἐκεῖνο τὸ ἄλσος τεταραγμένῃ τῇ ψυχῇ.

18. Οὐδένα δὲ τόπον εὕρισκεν ἄνικμον· ἅπασα γὰρ ἡ ἐπιφάνεια τῆς γῆς τοῦ ἄλσους μεστὴ ἦν πολλῶν ὑδάτων.

19. Οἱ μὲν ὄρνεις ἔκτε τοῦ ἀνέμου καὶ ἐκ τοῦ ὑετοῦ φοβη-

θέντες, κατεκρύβησαν· αἱ δ' ἔλαφοι, καὶ οἱ λέοντες, καὶ οἱ κάπροι, ἐλθόντες εἰς τοὺς ἑαυτῶν χειραμοὺς, ἠρεμοῦντες ἦσαν.

20. Ἐν συλλήψει πάντα τὰ τὸ ἄλσος οἰκοῦντα ζῶα ἐξεπλάγησαν καὶ ἐφοβήθησαν ἔκτε τοῦ σφοδροῦ ἀνέμου καὶ ἐκ τοῦ ῥαγδαίου ὑετοῦ.

21. Πάσχων δὲ φόβῳ καὶ πείνῃ ὁ ὀρνιθοθήρας, ἀναίσθητος σχεδὸν ἦν, ὡς τὸ ξύλον· καὶ ζητῶν καταφυγὴν, ἐφέρετο τῇδε κἀκεῖσε, τρέμων.

22. Καίπερ δ' οὕτω πάσχων ὁ κακότροπος, ἐπειδὴ εἶδε μίαν θηλείαν περιστερὰν, πεπτωκυῖαν ἐπὶ γῆς, ἀποκαμοῦσαν τῷ ψύχει, ἀναλαβὼν αὐτὴν, ἔθετο ἐν τῇ κύρτῃ.

23. Ὅςτις δὲ, καίπερ κακῶς πάσχων, κακὰ ποιεῖ πρὸς ἄλλους, ὡς κακότροπος, οὗτος οὐ λυτροῦται τῶν κακῶν ἕνεκα τῆς πρὸς ἄλλους κακουργίας.

24. Εἶδε δ' ἐν τῷ βαθεῖ ἄλσει μέγα δένδρον μέλαν, ὡς τὸ νέφος, οἰκούμενον ὄρνισι, ζητοῦσι κατασκίασιν, κατασκήνωσιν, καὶ καρποφαγίαν.

25. Εἶδεν αὐτὸ τὸ δένδρον, ὅπερ ἐποιήθη ὑπὸ τοῦ ποιητοῦ Βραχμᾶ εἰς ὠφέλειαν ἄλλων, καθὼς ὁ ἀγαθὸς ἄνθρωπος.

25. Ἐν ταὐτῷ δ' ὁ αἰθὴρ αἴθριος ἐγένετο καὶ ἀστερόεις, ὡς μία μεγάλη λίμνη, ὑδάτων μεστὴ καὶ λωτῶν διεκπεπταμένων· (ὁ αἰθὴρ αἴθριος ἐγένετο, κεκοσμημένος ἄςρασιν, ὡς ἄνθεσιν).

27. Ἀνέφελον δ' ἰδὼν τὸν αἰθέρα ὁ ὀρνιθοθήρας, ψύχει πάσχων, περιεσκέψατο καὶ τὴν θέσιν τοῦ τόπου, καὶ τὴν ὥραν.

28. Σκεψάμενος δ' ὡς πόῤῥω ἐστὶν (κεῖται) ἐκείνου τοῦ τόπου ἥτε κώμη καὶ ἡ κατοικία αὐτοῦ, γνώμη ἐγένετο μεῖναι (διανύσαι) τὴν νύκτα ἐν ἐκείνῳ τῷ ἄλσει.

29. Ἑνώσας δὲ τὰς παλάμας, καὶ θεὶς τὰς χεῖρας ἐπὶ τῆς

ἑαυτοῦ κεφαλῆς, ἀναβλέψας εἰς τὸ μέγα δένδρον ἐκεῖνο, ἔφη· « Πρὸς ἐκείνους ἐγὼ καταφεύγω, οἳ οἰκοῦσιν ἐν τούτῳ τῷ δένδρῳ ».

30. Φύλλα δὲ στρώσας ἐπὶ γῆς, θεὶς τὴν κεφαλὴν ἑαυτοῦ ἐπὶ πέτρας, κατεκλίθη, ψύχει καὶ πείνῃ θλιβόμενος.

31. Ἐπὶ κλάδου δ' ἐκείνου τοῦ δένδρου, μία ἀρσενικὴ περιστερὰ διὰ πολλοῦ ᾤκει, ἧς ἡ σύζυγος πάλαι ἀπελθοῦσα εἰς τροφὴν, οὐκ ἐπανῆλθεν.

32. Ἀπελθούσης μὲν οὖν τῆς θηλείας περιστερᾶς πρὸ πολλοῦ, ἰδοῦσα ἡ ἀρσενικὴ τὸν πολὺν ὄμβρον, ἐθρήνει ἀνιωμένη, καὶ ἐδεινοπάθει, φθεγγομένη·

ΑΡΣΕΝΙΚΗ ΠΕΡΙΣΤΕΡΑ.

33. Σφοδρὸς ἄνεμος καὶ ῥαγδαῖος ὑετὸς ἐπεγένετο· ἡ δ' ἀγαπητή μοι οὐκ ἐλήλυθε· τίς ἆρα ἡ αἰτία, δι' ἣν ἄχρι τοῦδε οὐκ ἀνέστρεψε;

34. Διὰ τί οὐκ ἐπανέκαμψεν ἡ ἀγαπητή μοι, ἡ παχύστερνος, ἡ εὐτράχηλος, ἡ ποικιλομελὴς, καὶ ἡ γλυκύφωνος; τεθνήξομαι ἔγω γε διὰ τοῦτο.

35. Εἴη, ὦ θεοὶ, αὐτῇ τῇ ἀγαπητῇ μοι σωτηρία καὶ εὐρωστία· καὶ γὰρ ἡ ἐμὴ οἰκία σήμερον, ἡ ἔρημος αὐτῆς, ὡς ἡ ἔρημός ἐστιν.

36. Ἡ οἰκία, ἡ γυναικὸς ἔρημος, ἔρημος κρίνεται παρὰ τῷ ἀνδρὶ, καί τοι πλήρης ἐστὶν υἱῶν, υἱωνῶν, οἰκείων, καὶ οἰκετῶν.

37. Ἡ οἰκία οὐ λέγεται οἰκία, ἀλλ' ἡ γυνή· ἡ γὰρ οἰκία, ἡ γυναικὸς ἔρημος, ὡς ἡ ἔρημός ἐστιν.

38. Εἰ μὴ ἔλθοι σήμερον ἡ ἀγαπητή μοι, ἡ ἐρυθρὰ ἔχουσα τὰ ἄκρα τῶν ὀφθαλμῶν, ἡ εὐμελὴς, καὶ ἡδυεπὴς, οὐ δεῖ μοι ζῆν.

39. Ἐμοῦ μὴ ἐσθίοντος, οὐκ ἐσθίει αὕτη ἡ σεμνὴ καὶ κοσμία

ἐμὴ γυνή· ἐμοῦ καθημένου, κάθηται, καὶ ἐμοῦ κοιμωμένου, κοιμᾶται.

40. Ἐμοῦ ἡδομένου, αὕτη ἥδεται· ἐμοῦ λυπουμένου, λυπεῖται· ἐμοῦ ἀπόντος (ἐξερχομένου), σκυθρωπάζει· καὶ ἐμοῦ ὀργιζομένου, ἡδέα καὶ χαρίεντα λαλεῖ.

41. Ὧ τινι ἐστὶ τοιαύτη γυνὴ, φιλόφρων, φιλόστοργος, καὶ φίλανδρος, οὗτός ἐστιν ὁ εὐδαίμων ἀνὴρ ἐν γῇ.

42. Εἰ καὶ ῥίζα τοῦ δένδρου εἴη, ἔνθα μένει ἡ γυνὴ, ἐκείνη ἐστὶν οἰκία· τὸ δ' ἀνακτόριον αὐτὸ, τὸ γυναικὸς ἔρημον, ὁμοιοφανές ἐστι τῇ ἐρημίᾳ.

43. Ἐπιδημοῦντος μὲν τοῦ ἀνδρὸς, ἡ γυνὴ συνέριθός ἐστιν ἐν τοῖς κατ' οἶκον νενομισμένοις· ἀποδημοῦντος δὲ, ἀξιόπιστος, καὶ ἐχέγγυος.

44. Τοῦ ἀνδρὸς ἀτυχῶς ἔχοντος, ἢ νόσῳ πάσχοντος, συμπάσχει τε ἡ σώφρων γυνὴ, καὶ ἐπιμελῶς θεραπεύει, φιλόφρων τε καὶ φιλόστοργος πέφυκεν.

45. Οὐκ ἔστιν ἄλλος τοιοῦτος οἰκεῖος, οἷα ἡ γυνή· οὐκ ἔστιν ἄλλος τοιοῦτος εὐμενὴς, οἵα ἡ γυνή· οὐκ ἔστιν ἄλλη τοιαύτη θεραπεία πάσχοντι τῷ ἀνδρὶ, οἵα ἡ γυνή.

46. Ὧτινι οὐκ ἔστιν ἐν οἴκῳ γυνὴ φίλανδρος καὶ ἡδύλογος, τούτῳ δεῖ πορευθῆναι εἰς τὴν ἔρημον· ἡ γὰρ οἰκία, ἡ τοιαύτης γυναικὸς ἔρημος, ὡς ἡ ἔρημός ἐστι.

ΒΗΣΜΑΣ.

47. Οὕτω λίαν ἐλεεινῶς ὀδυρομένης τῆς ἀρσενικῆς περιστερᾶς, ἀκούσασα ἡ θηλεία περιστερὰ, ἡ ἐν ὁδῷ ἀναληφθεῖσα ὑπὸ τοῦ ὀρνιθολόχου, καὶ τῇ κύρτῃ ἐμβληθεῖσα, ἔλεξεν ὧδε·

ΘΗΛΕΙΑ ΠΕΡΙΣΤΕΡΑ.

48. «Ὤ! εὐδαίμων λίαν ἐγώ εἰμι! διότι ὁ ἐμὸς ἀγαπητὸς ἀνὴρ κηρύττει τοιαῦτά μοι προτερήματα, ὄντα, ἢ μὴ ὄντα.

49. Οὐ λέγεται γυνὴ ἐκείνη, ἣ οὐκ εὐάρεστος ἐστὶ τῷ ἀνδρί· εὐάρεστος γὰρ οὖσα τῷ ἑαυτῆς ἀνδρὶ, εὐάρεστός ἐστι πᾶσι τοῖς θεοῖς.

50. Ἡ γυνὴ, ἣ εὐάρεστος οὐκ ἔστι τῷ ἑαυτῆς ἀνδρὶ, ἀποτεφρωθήτω, ὡς ἡ ἀνθοφόρος κληματὶς ὑπὸ τοῦ ἐν ἄλσει πυρός.

51. Ἄκουσον μετὰ προσοχῆς, ὦ ἄνερ, ὅ,τι ἐπωφελές σοι λέξω· διαφυλακτέος καὶ διὰ τῆς σῆς ζωῆς ὁ καταφεύγων πρὸς σέ.

52. Οὗτος ὁ ὀρνιθοθήρας, ὁ ἐλθὼν εἰς τὸν σὸν οἶκον, κατάκειται, ψύχει καὶ πείνῃ πιεζόμενος· ξενίαν ποίησον αὐτῷ.

53. Ἰσοστάσιοί εἰσι κατὰ τὸ ἁμάρτημα, ὅστις ἀναιρεῖ τὸν καταφυγόντα, καὶ ὅστις ἀναιρεῖ Βραχμᾶνα, ἢ Δάμαλιν, τὴν μητέρα τοῦ κόσμου.

54. Ὁ ξένος, ὅστις ἤχθη ὑπὸ τοῦ ἡλίου κατὰ τὴν ἑσπέραν, οὐκ ἀποϐλητέος ἐστὶν ὑπὸ τοῦ ἔχοντος οἶκον.

55. Οὗτινος ἐν οἴκῳ μείνῃ ἄσιτος ὁ ξένος, ἐλθὼν ἐν ὥρᾳ, ἢ μετὰ τὴν ὥραν τοῦ δείπνου, οὗτος εἰς τὸν φοϐερὸν ᾅδην ἔρχεται, ὡς μέγα ἁμάρτημα πράξας.

56. Ὅστις οὐ ξενίζει ξένον, ὡς δύναμις, ἐλθόντα ἐν ἑσπέρᾳ, τούτῳ τῷ μισοξένῳ τὰς μὲν ἑαυτοῦ ἁμαρτίας ὁ ξένος δοὺς, τὰς δ' ἀρετὰς ἐκείνου ἀναλαϐὼν, ἀναχωρεῖ.

57. Ὁ ἐλθὼν ξένος ξενιστέος ὁλοψύχως ὑπὸ τοῦ ἔχοντος οἶκον· αὕτη λέγεται μεγάλη ἀρετή· πᾶσα δ' ἄλλη ἀρετὴ ἥττων ταύτης κρίνεται.

58. Μηδέ γε μίσει αὐτὸν διὰ τὴν ἐμὴν κάθειρξιν· ἐγὼ γὰρ καθείρχθην ἐκ τῶν οἰκείων προπεπραγμένων ἔργων.

59. Ἡ πενία, ἡ νόσος, τὰ δεσμὰ, καὶ τὰ λοιπὰ δεινὰ καὶ πάθη, πάντα ταῦτα καρποί εἰσι τοῦ δένδρου, τῆς ἁμαρτίας τῶν ἀνθρώπων.

60. Οὐδείς ἐστιν ὁ δότης καὶ ὁ ἀναιρέτης τῶν ἀγαθῶν ἢ δεινῶν· τὰ ἴδια ἔργα, εἴτε ἀγαθὰ, εἴτε φαῦλα, ἔρχονται εἰς ἀπόλαυσιν τοῦ ἀνθρώπου.

61. Μεμψοιμοιρία ματαία ἐστὶ τοῖς ἀνθρώποις, ὡς ἄλλος δίδωσι τὰ δεινά· τὶς γὰρ ἄλλος αὐτοῖς δίδωσι τὰ ὀξέα πάθη καὶ δεινὰ, ἢ αὐτοὶ ἑαυτοῖς;

62. Ἀφεὶς οὖν τὸ κατ᾽ αὐτοῦ μῖσος τὸ ἐκ τῆς ἐμῆς καθείρξεως, ἀποσκόπησον εἰς τὴν ἀρετὴν, καὶ ξένισον αὐτὸν ὡς νόμος.

63. Ὅςτις γὰρ ἀγαθοποιεῖ τοὺς ἀγαθοποιοὺς, ὁποία τούτῳ ἀρετή; ὅςις δ᾽ ἀγαθοποιεῖ τοὺς κακοποιοὺς, οὗτος ἀγαθὸς ὑπὸ τῶν ἀγαθῶν λέγεται.

64. Ὅς ἐστιν ἀεὶ ἀγαθοποιὸς καὶ τοῖς κακοποιοῖς, οὗτος τῷ ὄντι ἀγαθός ἐστι· τὸ σάνδανον δένδρον ἡδύνει τῇ ἡδυοσμίᾳ καὶ τὸν κόπτοντα αὐτό. »

ΒΗΣΜΑΣ.

65. Ἀκούσασα δ᾽ ἡ ἀρσενικὴ περιστερὰ τοιούτων νομίμων λόγων τῆς συζύγου θηλείας περιστερᾶς, χαρᾶς μεγάλης ἐπλήσθη τὴν καρδίαν, καὶ δακρύων πολλῶν τοὺς ὀφθαλμούς.

66. Ἰδοῦσα δ᾽ ἐκεῖνον τὸν ὀρνιθοθήραν, προσελθοῦσα κατὰ τὸν νόμον τῆς ξενίας, αὐτῷ τῷ ἀξίῳ ξενίας ἔφη·

ΑΡΣΕΝΙΚΗ ΠΕΡΙΣΤΕΡΑ.

67. Καλῶς ἦλθες, ὦ ἀγαθέ· εἰπὲ, τί ποιήσωσοι; εἰπὲ εὐθέως· ἔγω γε γὰρ ποιήσω, ὅ,τι ἀγαπᾷς.

68. Προθύμως ἐγὼ λέγω σοι, ἵνα μὴ ἔχῃς λύπην, καταφυγὼν εἰς ἡμᾶς· ἐν οἰκείῳ γὰρ οἴκῳ ὑπάρχεις.

69. Ὅστις εὐλαβῶς οὐ ξενίζει ξένον ἀγνῶτα, τῇ ὁδοιπορίᾳ κεκμηκότα, πεινῶντα καὶ διψῶντα, τοῦτον λέγουσι βραχμανοκτόνον.

70. Ἴδιόν ἐστι παντὸς παντὶ τρόπῳ ξενίαν ποιεῖν τῷ καταφεύγοντι· μάλιστα δ' ἴδιόν ἐστι τοῦ οἶκον ἔχοντος, καὶ ἐπιτεταγμένου τὴν πενταειδῆ νενομισμένην θυσίαν.

71. Ὅστις γὰρ, οἶκον ἔχων, οὐ ποιεῖ ἐκ μωρίας τὴν πενταειδῆ νενομισμένην θυσίαν, οὗτος οὐχ ἡδέως διάγει οὔτ' ἐν τῷ παρόντι βίῳ, οὔτ' ἐν τῷ μέλλοντι καὶ αἰωνίῳ.

72. Εἰπὲ τοίνυν μετὰ θάῤῥους· ἐγὼ γὰρ ποιήσω πᾶν ὅ,τι ἀγαπᾷς εἰπεῖν, μηδ' ἔχε λύπην ἐν τῇ σεαυτοῦ καρδίᾳ.

ΒΗΣΜΑΣ.

73. Ἀκούσας τοῦ λόγου τῆς ἀρσενικῆς περιστερᾶς, ἀπεκρίνατο ὁ Ὀρνιθοθήρας.

ΟΡΝΙΘΟΘΗΡΑΣ.

Πάντως γε τὸ ψύχος ἀναιρεῖ ἐμέ· ἀπαλλαγή μοι γενέσθω ἐκ τούτου.

ΒΗΣΜΑΣ.

74. Ἀπελθοῦσα δ' ἡ ἀρσενικὴ περιστερὰ, ἄνθρακα ἤνεγκεν ἡμμένον, καὶ ἧψε πῦρ ἐν ξηροῖς φύλλοις.

75. Πῦρ δ' ἀνάψασα, ἔφη τῷ Ὀρνιθοθήρᾳ·

ΑΡΣΕΝΙΚΗ ΠΕΡΙΣΤΕΡΑ.

Θέρμαινε τὰ μέλη τοῦ οἰκείου σώματος θαῤῥαλέως καὶ ἀφόβως.

ΒΗΣΜΑΣ.

76. Ἐν τούτῳ ὁ Ὀρνιθοθήρας ἐθέρμανε τὰ οἰκεῖα μέλη, καὶ ἀνέλαβε τὸ ζῆν ἐκ τοῦ πυρός· κᾆτα ἔφη·

ΟΡΝΙΘΟΘΗΡΑΣ.

77. Δός μοι φαγεῖν ταχέως· ἡ γὰρ πεῖνα ἀναιρεῖ ἐμέ.

ΒΗΣΜΑΣ.

Ἡ δ' ἀκούσασα, ἔφη αὐτῷ·

ΑΡΣΕΝΙΚΗ ΠΕΡΙΣΤΕΡΑ.

78. Ἡμεῖς τὰ ἐν ἐρήμῳ ζῶα ζῶμεν ἀεὶ ἀπὸ τοῦ παρατυχόντος· οὐκ ἔστιν ἡμῖν περιουσία, δι' ἧς καταπαύσαιμι ἂν τὴν σὴν πεῖναν.

79. Οὐκ ἔστιν ἡμῖν ἀποθήκη, καθὼς οὐδὲ τοῖς ἐν ἐρήμῳ βιοῦσιν ὁσίοις· ἐγὼ καθ' ἑκάστην πληρῶ τὴν οἰκείαν γαστέρα, τροφὴν συλλέγουσα διὰ τοῦ ῥάμφους.

80. Εἰ τοιαύτη θλίψις ἐγίνετο τῷ αἰτοῦντι, οἵα γίνεται τῷ καλοκἀγάθῳ μὲν, ἀπόρῳ δὲ καὶ ἐνδεεῖ, ὅταν αἰτῆται, δυσκόλως ἂν ἔζη.

81. Οἴμοι τῇ κακεργέτιδι, τῇ ταλαίνῃ, καὶ κακοβίῳ· ἐγὼ γὰρ ἐποιήθην ὑπὸ τοῦ ποιητοῦ Βραχμᾶ εἰς πλήρωσιν μόνης τῆς οἰκείας γαστρός.

82. Ἄλλος μὲν τρέφει χιλίους, ἄλλος δ' ἑκατὸν, ἄλλος δὲ

δέκα· ἐμοῦ δὲ τῆς κακεργέτιδος καὶ ἀθλίας καὶ ἡ γαστὴρ δυσπλήρωτός ἐστιν.

83. Εἴθε μὴ ἐγενόμην ὄρνις ἐνδεὴς, καὶ δυστυχὴς, καὶ πληρῶν μόνην τὴν οἰκείαν γαστέρα· εἴθε εἴην δένδρον καρποφόρον, ἐξ οὗ πάντα τὰ ζῶα ζῶσιν, ἄλογα, καὶ λογικά.

84. Εὐδαίμονά ἐστι τὰ δένδρα, ἐξ ὧν ἀναχωροῦσιν οἱ δεόμενοι μετὰ χαρᾶς, ἐπιτυγχάνοντες οὗ θέλουσι, σκιᾶς δηλονότι, φύλλου, ἄνθους, καρποῦ ῥίζης, φλοιοῦ, ἢ ξύλου.

85. Ὅστις οὐ δύναται σιτία δοῦναι οὐδ' ἐνί τινι ξένῳ ἐλθόντι, τίς ὠφέλεια τούτῳ, οἰκοῦντι ἐν οἴκῳ οὕτω παναθλίῳ;

86. Ἀλλ' ἔγωγε οὕτω κατεργάσομαι τὸ κακόβιον τοῦτο σῶμα, ὥστε μὴ εἰπεῖν πάλιν ξένῳ ἐλθόντι, οὐκ ἔχω τι δοῦναι.

ΒΗΣΜΑΣ.

87. Οὕτως ὁ ὄρνις κατηγόρει αὐτὸς ἑαυτοῦ, ἀλλ' οὐκ αὐτοῦ τοῦ ὀρνιθολόχου· εἶπε δὲ πάλιν πρὸς αὐτόν.

ΑΡΣΕΝΙΚΗ ΠΕΡΙΣΤΕΡΑ.

Ἀνάμεινον βραχύτι· ἐγὼ γὰρ κορέσωσε τροφῆς.

88. Ἐν διαλόγοις θεῶν καὶ ὁσίων ἀνδρῶν πολλάκις πάλαι ἤκουσταί μοι, ὡς μεγάλη ἀρετή ἐστιν ἡ πρὸς τοὺς ξένους ξενία.

89. Ὅστις ξενίζει ξένον, μακρόθεν ἐπ' ἐλπίδι ἐληλυθότα, καὶ πείνῃ καὶ δίψῃ καὶ πόνῳ κεκμηκότα, τούτου ἡ ξενία θυσία ἐστὶν ἄνευ σφαγίου.

ΒΗΣΜΑΣ.

90. Τοιαῦτα εἰποῦσα ἐκείνη ἡ καλοκἀγαθος ἀρσενικὴ περιστερὰ, περιοδεύσασα τρὶς τὸ πῦρ, εἰσέδυ μετὰ χαρᾶς καρδίας εἰς αὐτὸ, ὥσπερ εἰς οἰκεῖον οἴκημα.

91. Ἰδὼν δ' αὐτὴν ὁ Ὀρνιθοθήρας, καταφρονήσασαν τῆς οἰκείας ζωῆς δι' ὠφέλειαν ἄλλου, ἀπέλυσε τὴν θηλείαν περιστερὰν ἐκ τοῦ δεσμοῦ τῆς κύρτης, κατηγορῶν τῆς ἑαυτοῦ ζωῆς.

92. Λύπῃ δὲ καὶ ἐλέει κατασχεθεὶς διὰ τὴν ἀρσενικὴν περιστερὰν, ἣ ἔῤῥιψεν ἑαυτὴν εἰς τὸ πῦρ, ἔλεξεν ὧδε·

ΟΡΝΙΘΟΘΗΡΑΣ.

93. Διὰ τί τοιοῦτον ἔργον πράττεται ὑπ' ἐμοῦ τοῦ ἀσπλάγχνου καὶ ἀνοήτου; ἐν ὅσῳ ζῶ, κατακαύσει τὴν ἐμὴν καρδίαν τοῦτο τὸ κακὸν ἔργον.

94. Ὃς γὰρ ποιεῖ τὸ κακὸν, οὗτος αὐτὸς ἑαυτῷ πολέμιός ἐστιν· ὅτε γὰρ αὐτὸς ποιεῖ τὸ κακὸν, αὐτὸς αὐτοῦ ἀπολαύσει.

95. Ὅστις διανοεῖται, ἢ λέγει, ἢ πράττει τὰ κακὰ, οὗτος προσφυόμενος ἀεὶ τοῖς κακοῖς, ἐν κακαῖς φύσεσι γεννᾶται.

96. Πᾶσα γῆ καθαρὰ πέφυκεν· ἀλλ' ἔνθα τὰ νεκρὰ σώματα κεῖται, ἀποτρόπαιός ἐστιν ἐκείνη ἡ γῆ θεοῖς τε καὶ ἀνθρώποις. Ἰδὲ τὴν κακοφυΐαν τοῦ σώματος!

97. Τίς ὠφέλεια τῷ ἔχοντι τοῦτο τὸ σῶμα εἰς θλίψιν ἄλλων, οὗ μετὰ τὴν τελευτὴν οἱ κύνες οὐροῦσι κατὰ τῆς κεφαλῆς ἀφόβως;

98. Ἐγὼ αὐτὸς ἄρα, ὁ κακῶν ὀρεγόμενος, καὶ κακὰ ἐργαζόμενος, εἰς τὸν φρικτὸν τάρταρον ἐμπεσοῦμαι ἀναμφιβόλως.

99. Πῶς ὁ ἄνθρωπος κακὰ πράττει διὰ τοῦτο τὸ σῶμα, οὗ ἡ ἀποκατάστασις τοιαύτη ἐστὶ, σκώληκες, ἢ τέφρα, ἢ κόπρος;

100. Πῶς κοιμῶνται ἐν νυκτὶ οἱ κακὰ πράττοντες ἄνθρωποι, οἷς μετὰ θάνατον φοβερὰ κόλασις ἔσται ἐν ᾅδου;

101. Ὦ! πάντως γε ἡ ξενία μεγάλη ἀρετὴ τοῖς ἔχουσιν οἶκον ἐδείχθη ὑπὸ τῆς περιστερᾶς, τῆς δούσης τὸ ἑαυτῆς σῶμα.

102. Οἴμοι τῷ κακούργῳ, τῷ κακίστῳ, καὶ ζωοκτόνῳ! ἔγωγε γὰρ ἀφεὶς τὰ ἀγαθὰ ἔργα, περὶ φόνους ἀεὶ σχολάζω.

103. Ὅστις ἀβλαβῆ ζῶα ἀναιρεῖ εἰς ἰδίαν ἡδυπάθειαν, οὗτος οὐδεμίαν ἄνεσιν ἔχει· ζῶν δὲ, νεκρός πως τυγχάνει ὤν.

104. Ἀτεχνῶς ὑφήγησις ἐγένετο ἐμοὶ τῷ αἱμοβόρῳ ὑπὸ τῆς μεγαλοψύχου περιστερᾶς, τῆς δούσης τὴν οἰκείαν σάρκα.

105. Ἀπὸ τῆς σήμερον καταξηρανῶ τὸ ἐμαυτοῦ σῶμα, ἀπειργόμενον πάσης τρυφῆς καὶ ἡδονῆς, καθὼς ὁ ἥλιος καταξηραίνει τὸ ὀλίγον ὕδωρ ὥρᾳ θέρους.

106. Μεγάλην ἐγκράτειαν ἐργάσομαι, ψῦχος, ἀέρα, καὶ καῦμα φέρων, κατεσκληκὼς καὶ ῥυπώδης ὤν, καὶ πολυειδεῖ νηστείᾳ χρώμενος.

107. Οὔτε τὰ ὕδατα καθαίρει τὰς κηλίδας τῶν ἁμαρτημάτων, οὔτε ἡ ἐν ὄρει καὶ ἐρήμῳ διαγωγή· αὐτὸς ὁ ἄνθρωπος καθαίρει τὰς κηλίδας τῶν ἁμαρτιῶν, ἐὰν ἀπέχῃ τῆς κακίας.

108. Ὁ ἄνθρωπος αὐτὸς ἑαυτῷ ἐστι φιλόφρων, καὶ αὐτὸς ἑαυτῷ κακόφρων· ἐκεῖνος δ' ἐστὶν αὐτὸς ἑαυτῷ φιλόφρων, ὃς αὐτὸς ἑαυτοῦ κρατεῖ.

109. Ἂν ὁ ἄνθρωπος μὴ ἀπείργῃ αὐτὸς ἑαυτὸν ἀπὸ τῶν κακῶν ἔργων, τίς ἄλλος ἂν εἴη μᾶλλον φιλόφρων, ὃς ἀπείρξει αὐτὸν, ἢ αὐτὸς ἑαυτόν; »

ΒΗΣΜΑΣ.

110. Οὕτως οὖν ἐκ τῆς ἐντεύξεως τῆς φιλαρέτου καὶ καλο-

κἀγάθου περιστερᾶς κλίσις εἰς τὴν ἀρετὴν ἐγένετο αὐτῷ τῷ ὀρνιθοθήρᾳ, καί τοι ἦν κακός.

111. Διέῤῥηξε δ' ἐν ταὐτῷ τὴν σκυτάλην, τὸν ἰξευτικὸν κάλαμον, τὴν κύρτην, καὶ τὸ δίκτυον, καὶ ἀπέλυσε τὴν τάλαιναν θηλείαν περιστεράν.

112. Ἡ δὲ ἀπολυθεῖσα ὑπὸ τοῦ Ἰξευτοῦ, ἰδοῦσα τὸν ἑαυτῆς σύζυγον πεπτωκότα εἰς τὸ πῦρ, ὠδύρετο, θλιβομένη, καὶ λυπουμένη τὴν ψυχήν.

ΘΗΛΕΙΑ ΠΕΡΙΣΤΕΡΑ.

113. Οὐδέποτε ἄχαρί τι παρὰ σοῦ ἐνθυμοῦμαι, ὦ σύζυγε· εὐδαίμων ἐστὶν ἡ θηλεία ἐκείνη, ἣ τοιούτου καλοκἀγάθου ἐπιτυγχάνει συνεύνου.

114. Ἀεὶ εὐφραινόμην σὺν σοὶ ἐν κορυφαῖς δένδρων ἀνθοφόρων, ἐν πηγαῖς ποταμῶν, καὶ ἐν φάραγξιν ὀρέων.

115. Οὐδέ γε μίαν ἡμέραν ζήσω ἄνευ σοῦ, ὦ κύριε· τί γὰρ ὄφελος ζωῆς θηλείᾳ, χήρᾳ καὶ ἀθλίᾳ;

116. Μέτρια μὲν δίδωσιν ὁ πατὴρ, μέτρια δ' ὁ ἀδελφὸς, μέτρια δ' ὁ υἱός· τὸν δ' ἄμετρα διδόντα ἄνδρα, τίς οὐκ ἂν ἀγαπήσειε γυνή;

117. Εἰ καὶ πλοῦτον ἄπειρον ἔχει, καὶ υἱοὺς πολλοὺς καὶ συγγενεῖς ἡ γυνὴ, ἐλεεινὴ γίνεται ἐν τοῖς οἰκείοις, καὶ κακόβιος, χηρεύουσα.

118. Τί ὄφελος ἕξει ἡ χήρα ἐκ μύρων, ἐκ στεφάνων, ἐκ θυμιαμάτων, καὶ ἐκ πολυειδῶν κοσμημάτων, ἀμφίων καὶ κλινῶν;

119. Οὐδὲν ἄλλο τοιοῦτον δεινόν ἐστι ταῖς γυναιξὶν, οἷον ἡ χηρεία· μακάριαί εἰσιν αἱ γυναῖκες, αἱ θνήσκουσι πρὸ τοῦ ἀνδρός.

120. Ποῖον δυσανασχετώτερον γένοιτ' ἂν δεινὸν, ἢ ἡ χηρεία

αὕτη; ποῖον ἄλλο ἔσεται μᾶλλον δεινὸν, ὃ ἀφαιρήσει μου τὸ ζῆν;

121. Οὔτε ἡ ἄχορδος λύρα κρούεται, οὔτε ἡ ἄτροχος ἄμαξα φέρεται, οὔτε ἡ ἄνανδρος γυνὴ ἀναπαύεται, εἰ καὶ πολλοὺς οἰκείους κέκτηται.

122. Ἐκ τῆς χηρείας ὄλλυται ἡ φιλοτιμία, τὸ φρόνημα, καὶ ἡ παρὰ τῶν συγγενῶν, οἰκείων τε καὶ οἰκετῶν τιμὴ καὶ θεραπεία.

123. Μεγάλη δόξα ἐστὶ ταῖς γυναιξὶν ὁ ἀνὴρ, εἰ καὶ πένης, γέρων, ἡδυπαθὴς, ἐμπαθὴς, ἀνάπηρος, παράνομος, ἢ φειδωλὸς τυγχάνει.

124. Ὁ ἀνήρ ἐστι τῆς γυναικὸς ἡ δόξα· ὁ ἀνήρ ἐστιν ὁ νόμος· ὁ ἀνήρ ἐστιν ὁ εὐμενής· ὁ ἀνήρ ἐστιν ὁ προστάτης, καὶ οὐδεὶς ἄλλος ὅμοιος.

ΒΗΣΜΑΣ.

125. Οὕτω πολυειδῶς ὀδυρομένη, καὶ λίαν λυπουμένη ἡ ἀθλία περιστερὰ, εἰσέδυ ἐκεῖνο τὸ ἡμμένον πῦρ.

126. Εἶδε δὲ τὸν ἑαυτῆς σύζυγον ἐν αἰθέρι, θεῖα ἄμφια ἠμφιεσμένον καὶ θείοις κοσμήμασι κεκοσμημένον, καὶ ἐπὶ θείου ὀχήματος ὀχούμενον.

127. Ἰδοῦσα δὲ τὴν θηλείαν καὶ ἡ ἀρσενικὴ περιστερὰ, θεᾶς μορφὴν ἔχουσαν, ἀγκαλισαμένη αὐτὴν μετὰ χαρᾶς μεγάλης, ἔλεξε τάδε·

ΑΡΣΕΝΙΚΗ ΠΕΡΙΣΤΕΡΑ.

128. Ὦ! καλῶς ἐποίησας, ὦ ἀγαθὴ, ἀκολουθήσασά μοι· δι᾿ ὀλιγοχρονίου γὰρ ὀδύνης, ἀνέσεως πολλῆς ἔτυχες.

129. Ὅσαι τρίχες εἰσὶν ἐπὶ τοῦ σώματος τοῦ ἀνθρώπου, το-

σαῦτα ἔτη διατρίβει ἐν οὐρανῷ μετὰ τοῦ ἀνδρὸς ἡ γυνή, ἡ ἀκολουθεῖ αὐτῷ.

130. Καθὼς ὁ ὀφιοῦχος βίᾳ ἐξάγει τὸν ὄφιν ἐκ τῆς τρώγλης, οὕτω καὶ ἡ γυνὴ ἐξάγουσα τὸν ἄνδρα ἐκ τοῦ κευθμῶνος τοῦ ᾅδου, συγχαίρει αὐτῷ ἐν οὐρανῷ.

131. Ἡ τὰ τοῦ νόμου φυλάττουσα (τῷ νόμῳ ἐμμένουσα) γυνή, ἀνάγει εἰς τὸν οὐρανὸν τὸν κακοήθη καὶ κακοῦργον (παγκάκιστον) ἄνδρα.

ΒΗΣΜΑΣ.

132. Οὕτως εἰποῦσα ἡ καλοκἄγαθος ἀρσενικὴ περιστερά, ὀχουμένη ἐπὶ θείου ὀχήματος σὺν τῇ θηλείᾳ, εὐφραίνετο ἐπὶ πολὺ ἐν οὐρανῷ, ὡς Θεός.

133. Ὁ δὲ ὀρνιθοθήρας, ἄκραν ἀπάθειαν προκρίνας, μακρᾶς ὁδοῦ ἥψατο τῆς εἰς τὸ βόρειον μέρος κατὰ τὸν Ἰμαόν.

134. Ἀφῆκε δὲ τὴν ἐπιθυμίαν, τὸν φόβον, τὸν θυμόν, τὴν ὑπόκρισιν, τὴν πλεονεξίαν, τὴν ὑπερηφανίαν, τὴν οἴησιν, τὴν συκοφαντίαν, τὴν φιλοτιμίαν καὶ τὸν φθόνον.

135. Ἐξ ἴσου δ' ἔκρινε τὴν χαρὰν καὶ τὴν λύπην καὶ ἐξ ἴσου ἔβλεπε τὴν βῶλον καὶ τὸν χρυσὸν, καὶ ἀφοβίαν καὶ σωτηρίαν ἦν διδοὺς πᾶσι τοῖς ἐμψύχοις ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ.

136. Τοιαύτην γνώμην ποιησάμενος, ἀδιάφορος ὢν εἴς τε τὰ ἀγαθὰ καὶ εἰς τὰ κακὰ, καὶ νικητὴς τῶν αἰσθήσεων, εἰσέδυ ἐκεῖνο τὸ φοβερὸν δάσος, τὸ θηρσὶ καὶ ἰοβόλοις ὄφεσιν οἰκούμενον.

137. Ἀκάνθαις δὲ τὸ σῶμα καταξαινόμενος, καὶ φοινικόεντι αἵματι περιῤῥεόμενος, περιεφέρετο εἰς ἐκεῖνο τὸ δάσος, ὡς ἀναίσθητος, τυφλὸς, καὶ κωφός.

138. Πῦρ δὲ μέγα ἐξανέστη ἐκ τῆς συντριβῆς τῶν καλάμων,

καὶ κατέφλεγεν ἀθρόον ἐκεῖνο τὸ δάσος, ὅμοιον ὂν τῷ πυρὶ τῷ ἐν τῷ τέλει τοῦ αἰῶνος.

139. Ἰδὼν δ' ὁ ὀρνιθοθήρας ἐκεῖνο τὸ φοβερὸν πῦρ τοῦ δάσους, ὑπερφυῶς ἐπερχόμενον, ἐναντίον ἦλθε μετὰ χαρᾶς καρδίας.

140. Κατακαεὶς δ' ἐξ ἐκείνου τοῦ πυρὸς, καὶ καθαρθεὶς εὐθέως τῶν ἁμαρτιῶν, ἐπὶ θείου ὀχήματος ὀχούμενος ἀνῆλθεν εἰς τὸν οὐρανόν.

141. Οὕτω δὴ ἡ ἀρσενικὴ περιστερὰ, καὶ ἡ φιλόφρων (σώφρων) θηλεία, καὶ ὁ ὀρνιθοθήρας, ἀνῆλθον εἰς τὸν οὐρανὸν, ἀρετὴν πράξαντες δύσπρακτον.

142. Ἥτις ἄλλη τοιαύτη φίλανδρος γυνὴ ἀκολουθεῖ τῷ ἑαυτῆς ἀνδρὶ μετὰ θάνατον, αὕτη ἀγάλλεται μετ' αὐτοῦ ἐν οὐρανῷ, ὥσπερ ἡ περιστερά.

143. Οὕτω τοῦτο τὸ ἔργον τῆς ἀρετῆς ἐδείχθη πάλαι πραγματικῶς ὑπὸ τῆς καλοκἀγάθου περιστερᾶς τῷ μεγαλόφρονι ὀρνιθοθήρᾳ.

144. Ἐῤῥέθη σοι ὑπ' ἐμοῦ, ὡς ᾔτησας, οἵα ἀρετὴ ἀλεξίκακός ἐστιν ἡ πρὸς τὸν καταφυγόντα περιποίησις, ὦ ἄριστε τῶν ἐναρέτων, μέγα Βασιλεῦ Ἰνδδιστίρα.

145. Καὶ σὺ τοίνυν, ὦ μέγα Βασιλεῦ, ἔχε τὸν νοῦν ἐπίμονον ἐν τῇ ἀρετῇ, καὶ πάντα τρόπον ποίει ἐπιμελῶς εἰς ὠφέλειαν πάντων τῶν ἐμψύχων.

146. Ὅστις ἀκούει ἀεὶ ταύτης τῆς περὶ τῆς περιστερᾶς ἐπωφελοῦς διηγήσεως, οὗτος, λυτρωθεὶς πασῶν τῶν ἁμαρτιῶν, εἰς τὸν Βισνουλόκαν παραγίνεται.

147. Ἰδὼν ὁ ὀρνιθοθήρας τὴν περιστερὰν, πεσοῦσαν εἰς τὸ πῦρ ἑκοντὶ, ἱλαρότητα ἔλαβεν· ἀνῆλθον δ' εἰς τὸν οὐρανὸν ἥ τε καλοκἀγαθος περιστερὰ, καὶ ὁ κακοῦργος ὀρνιθοθήρας ἐξ ἀγαθῆς ὁμιλίας.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ ἀπαλλαγῆς τῶν τοῦ κόσμου δεινῶν.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Εἰπέ μοι, ὦ πάτερ, τίνες τῶν ὄντων ἐν τοῖς διαφόροις πάθεσι καὶ δεινοῖς τούτου τοῦ κόσμου ἀπαλλάττονται αὐτῶν;

ΒΗΣΜΑΣ.

2. Οἵτινες τῶν Βραχμάνων μένουσιν ἐν τοῖς νενομισμένοις, ὡς ὥρισται, καὶ νικῶσι τὰς αἰσθήσεις, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.
3. Οἵτινες οὐδένα βλάπτουσιν ἔργῳ, λόγῳ καὶ διανοίᾳ, καὶ φίλα φρονοῦσι πᾶσιν, οὗτοι ἀπαλλάττονται τῶν δεινῶν τοῦ κόσμου.
4. Οἵτινες οὐκ ἀγαπῶσι τὴν παρ' ἄλλων τιμὴν, οὐδὲ ἄλλους ἀτιμάζουσι, καὶ ἀτιμαζόμενοι οὐ θλίβονται, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.
5. Οἵτινες, μεγαλόφρονες ὄντες, πραεῖς εἰσι τῷ πνεύματι, τήν τε θεωρητικὴν ἀρετὴν μετέρχονται, καὶ τὴν ἀλήθειαν ἀσπάζονται, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.
6. Οἵτινες φιλαναγνῶσται ἀεὶ καὶ φιλομαθεῖς εἰσὶ τῆς Βέδας, καὶ φιλόξενοι, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.
7. Οἵτινες τῷ Κρισνᾷ λατρεύουσιν ἔργῳ, λόγῳ καὶ διανοίᾳ, καὶ ἀπηλλαγμένοι εἰσὶ παντὸς ἁμαρτήματος, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.
8. Ὧν ἡ ζωή ἐστιν εἰς ἀρετὴν, καὶ ἡ συνουσία εἰς παιδο-

ποιΐαν, καὶ ἡ βρῶσις εἰς τὸ ζῆν καὶ τὰ τοῦ νόμου ποιεῖν, οὗτοι ἀπαλλάττονται τῶν δεινῶν τοῦ κόσμου.

9. Οἳ βλέπουσι τὰς ἀλλοτρίας γυναῖκας, ὡς ἰδίας μητέρας, ἀδελφὰς, καὶ θυγατέρας, οὗτοι ἀπαλλάττονται τῶν δεινῶν τοῦ κόσμου.

10. Οἳ, καὶ ὀνειδιζόμενοι, οὐ δυσχεραίνουσι, καὶ βλαπτόμενοι, οὐ βλάπτουσι, καὶ ἐπὶ τῆς ἀληθείας μένουσιν, ὡς μεγαλόψυχοι, οὗτοι ἀπαλλάττονται τῶν δεινῶν τοῦ κόσμου.

11. Οἵτινες γενναῖοί εἰσιν ἐν πολέμοις, ἀφιέντες τὸν ἐκ τοῦ θανάτου φόβον, καὶ νίκης ἐφίενται διὰ τοῦ δικαίου, καὶ τοῦ ὀρθοῦ, οὗτοι ἀπαλλάττονται τῶν δεινῶν τοῦ κόσμου.

12. Οἳ ἄσκησιν ἀσκοῦσι, καὶ παρθενίαν ἔχουσι, νικηταὶ ὄντες τῶν αἰσθήσεων καὶ τοῦ θυμοῦ, οὗτοι ἀπαλλάττονται τῶν δεινῶν τοῦ κόσμου·

13. Οἳ, καί περ ἀποζῶντες, οὐδὲν παρ᾽ οὐδενὸς αἰτοῦσι, καὶ ἀντάρκεις τυγχάνουσιν ὄντες, (τὴν ἀντάρκειαν ἀγαπῶσιν) οὗτοι ἀπαλλάττονται τῶν δεινῶν τοῦ κόσμου.

14. Οἵτινες οὐδὲν κακὸν πράττουσιν ἔργῳ, λόγῳ καὶ διανοίᾳ, εἰς μόνην τὴν ἀρετὴν ἀποσκοποῦντες, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.

15. Ἐξ ὧν οὐδένες φοβοῦνται, καὶ οἳ εὐεργετικοί εἰσι πρὸς πάντας, καὶ πάντας βλέπουσιν ὡς ἑαυτοὺς, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.

16. Οἵτινες ἀπέχουσι τῆς κρεωφαγίας, τῆς παρασιτίας, καὶ τῆς οἰνοποσίας, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.

17. Οἵτινες λαλοῦσι τὴν ἀλήθειαν, καί περ ἐν κινδύνῳ οὔσης τῆς ζωῆς, καὶ ἀξιόπιστοί εἰσι πρὸς πάντας (παρὰ πᾶσιν), οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.

18. Οἷς ἐστι δύναμις εἰς βοήθειαν τῶν ἀδυνάτων, καὶ πλου-

τος εἰς τὸ διδόναι τοῖς χρείαν ἔχουσι, καὶ μάθησις τῆς Βέδας οὐκ εἰς χρηματολογίαν, ἀλλ' εἰς γνῶσιν τῶν ὄντων, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.

19. Οἵτινες οὐκ ἐπιθυμοῦσι λαβεῖν οὐδὲ χόρτον ἐξ ἀλλοτρίου ἀγροῦ, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.

20. Οἱ λατρεύουσι τῷ Θεῷ, τῷ ἀνάρχῳ, τῷ ἀτελευτήτῳ, τῷ παντουργῷ καὶ ἀναλλοιώτῳ, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.

21. Οἱ λατρεύουσι Βισνοῦ, τῷ ἀγαθῷ καὶ ἀγαθοδότῃ, καὶ πάντα τὰ ἁμαρτήματα ἐξαλείφοντι, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.

22. Μόνος ὁ Βισνοῦς ἐξάγει τοὺς βυθιζομένους εἰς τοῦτον τὸν κόσμον, ὡς εἰς πέλαγος, οὗ δίναι μέν εἰσιν αἱ θλίψεις, φόβος δὲ ἡ ἄγνοια, ὕδατα δὲ τὰ ἀγαθὰ καὶ φαῦλα ἔργα, ἰλὺς δὲ ὁ θυμὸς, πομφόλυγες δέ

23. ἡ πνεονεξία, βάθος δὲ ἡ προσπάθεια, νηκτὰ δὲ καὶ κήτη πᾶσα ψυχὴ ζῶσα.

24. Οἵτινες τῶν Βραχμάνων ἀναγινώσκουσιν εὐλαβῶς ἢ ἀκουτίζουσι τοῦτο τὸ κεφάλαιον, τὸ *περὶ ἀπαλλαγῆς τῶν τοῦ κόσμου δεινῶν*, οὗτοι ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν.

25. Ἐῤῥέθη σοι ὑπ' ἐμοῦ ταῦτα πάντα, ὦ Ἰνδιστίρα, ὡς ἔχει· τίσι δηλονότι ἔργοις ἀπαλλάττονται τῶν τοῦ κόσμου δεινῶν οἱ ἄνθρωποι μετὰ θάνατον.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Περὶ αὐταρκείας, καὶ ὅτι τὰ παρὰ Βασιλέως διδόμενα, ἀπαράδεκτα.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Εἰπέ μοι, ὦ σεβάσμιε, διὰ τί οἱ ἐγκρατεῖς καὶ ἐνάρετοι Βραχμᾶνες, καί περ ἐνδείᾳ θλιβόμενοι, οὐ δέχονται τὰ παρὰ Βασιλέως διδόμενα;

ΒΗΣΜΑΣ.

2. Ἐπειδὴ οἱ Βασιλεῖς, ὦ Βασιλεῦ, ὡς ἐπὶ τὸ πλεῖστον τῇ βασιλικῇ δόξῃ μεθύοντες, οὐ μένουσιν ἐν τοῖς οἰκείοις νόμοις καὶ ὁρίοις, διὰ τοῦτο οἱ ὅσιοι ἄνδρες ἀποστρέφονται καὶ αὐτοὺς καὶ τὰ δῶρα αὐτῶν.
3. Ἐπὶ τούτου δ' ἐπάγουσι ταύτην τὴν παλαιὰν ἱστορίαν, τὸν διάλογον τοῦ Βασιλέως Βρισσαδαρβδὴ καὶ τῶν ἑπτὰ σοφῶν καὶ ὁσίων ἀνδρῶν.
4. Εἰσὶ δ' οὗτοι, ὁ Κασσέπας, ὁ Ἀτρὴς, ὁ Βαραδβάζας, ὁ Βασίστας, ὁ Γαουτάμας, ὁ Βισβαμίτρας, καὶ ὁ Ζαμαδαγνὴς, ὧν γυνὴ ἦν ἡ ἀγαθὴ Ἀρουνδδατή.
5. Ἦν δὲ πᾶσι τούτοις καὶ μία θεράπαινα, Σανδὰ (Βαρνεὰ) τοὔνομα, ἧς ὁ ἀνὴρ ἦν ἐκ δουλικῆς φυλῆς, Πασσουσάκκας καλούμενος.
6. Πάλαι πάντες οὗτοι οἱ σοφοὶ καὶ ὅσιοι ἄνδρες ἄσκησιν ἀσκοῦντες, περιήρχοντο ταύτην τὴν γῆν, ἐφιέμενοι κτήσασθαι τὸν ἀΐδιον Βραχμαλόκαν διὰ τῆς θεωρίας.
7. Κατ' ἐκεῖνον δὲ τὸν χρόνον ἀνομβρία ἐγένετο μεγάλη· καὶ πᾶσα ψυχὴ ζῶσα κακῶς ἔζη, βουλιμίᾳ πιεζόμενοι.
8. Σιτοδείας οὖν οὔσης ἐν κόσμῳ, πείνῃ πάσχοντες οὗτοι

οἱ ὅσιοι, εὑρόντες ἓν παιδίον τεθνεὸς, ὤπτησαν αὐτὸ, σῶσαι βουλόμενοι τὴν ἑαυτῶν ζωήν.

9. Ἐλθὼν δ' εἰς ἐπίσκεψιν τῶν ὁσίων ὁ Βασιλεὺς Βρισσαδαρϐϐὴς, ἰδὼν αὐτοὺς, ταλαίπωρον ζωὴν ἔχοντας, εἶπεν ὧδε·

ΒΡΙΣΣΑΔΑΡΒΒΗΣ.

10. Οὐκ ἔστιν ἀπηγορευμένον, ἀλλ' ἐντεταλμένον μάλιστα τοῖς Βραχμᾶσι, τὸ δέχεσθαι δῶρα· λάϐετε οὖν, ὁσιώτατοι ἄνδρες, τὰ παρ' ἐμοῦ διδόμενα·

11. Ἀγαθὰς κώμας, ὄρυζαν, κριθὴν, βούτυρον, καὶ πᾶν ἄλλο σιτίον, καὶ χρυσίον, καὶ καλὰς Δαμάλεις δώσω ὑμῖν· μὴ τοίνυν βιϐρώσκετε τοῦτο τὸ νεκρὸν σῶμα, ὅ οὐκ ἔςι βρώσιμον.

ΟΣΙΟΙ.

12. Τὸ παρὰ Βασιλέως διδόμενον γλυκὺ μέν ἐστι τὴν γεῦσιν, φαρμακῶδες δὲ τὴν φύσιν· καί περ δὲ σὺ τοῦτο γινώσκων, διατί κολακεύεις, καὶ ἀπατᾷν ἡμᾶς θέλεις;

13. Δέκα μὲν κρεωπώλαις ἰσοστάσιός ἐστιν εἷς ἐλαιοπώλης· δέκα δὲ ἐλαιοπώλαις εἷς οἰνοπώλης· δέκα δὲ οἰνοπώλαις μία πόρνη· δέκα δὲ πόρναις ἰσοστάσιός ἐστιν ὁ Βασιλεύς.

14. Ὅστις κρεωπώλης (σφαγεὺς) δεκακισχίλια σφάζει ζῶα ἐν μιᾷ ἡμέρᾳ, τούτῳ ἰσοστάσιός ἐστιν ὁ Βασιλεύς· διὰ τοῦτο τὸ τούτου δῶρον ἀποτρόπαιόν ἐστιν.

15. Ὅστις τῶν Βραχμάνων, ἐκ φιλοχρηματίας σκοτιζόμενος, δῶρον παρὰ Βασιλέως δέχεται, οὗτος κολάζεται ἐν τῷ ζοφερῷ καὶ φοϐερῷ ᾅδῃ.

16. Ἄπελθε τοιγαροῦν ἐν εἰρήνῃ καὶ σὺ, καὶ τὸ δῶρόν σου· δοθήτω δὲ τοῦτο τοῖς αἰτοῦσιν. Οὕτως εἰπόντες, οἱ ὅσιοι, ἀνεχώρησαν εἰς τὴν ἔρημον.

17. Τῇ δὲ προσταγῇ τοῦ Βασιλέως πορευθέντες οἱ Βουλευταὶ εἰς ἐκεῖνο τὸ ἄλσος, ὅπου διέτριβον οἱ ὅσιοι, ἐγέμισαν χρυσίου Οὐδουμβάρας (σύκα Ἰνδικὰ) καὶ διέσπειραν αὐτάς.

18. Συλλέγοντες δ' οἱ ὅσιοι ὀπώρας, συνέλεξαν καὶ αὐτάς· καὶ αἰσθόμενοι, ὡς ἦσαν βαρεῖαι, ἀπέῤῥιψαν αὐτὰς, εἰπόντες ἕκαστος τάδε·

ΑΤΡΗΣ.

19. »Ἡμεῖς οὐκ ἐσμὲν μωρόφρονες, ἢ ὀλιγόνοες· ἡμεῖς γρήγοροι καὶ νηφάλιοι ἐσμὲν, καὶ διὰ τοῦτο ἴσμεν, ὡς ταῦτά εἰσι χρυσίου πλήρη.

20. Γλυκὺ μέν ἐστιν ἐν ταύτῃ τῇ ζωῇ τὸ λῆμμα, πικρὸν δὲ μετὰ θάνατον· οὐκ ἔστιν ἄρα εὐπρόσδεκτον τῷ ἐφιεμένῳ τοῦ ἄκρου ἀγαθοῦ.

21. Ὅσον πολὺ χρυσίον ὁ ἄνθρωπος ἐπιποθεῖ, τοσαύτης ἀθλιωτάτης στάσεως τυγχάνει μετὰ θάνατον.

22. Ὅσον χρυσίον ἐστὶν ἐν γῇ, καὶ ὅσα ἀνήκουσιν εἰς τροφὴν καὶ τρυφὴν, ταῦτα οὔκ εἰσιν ἀρκετὰ ἑνὶ ἀνθρώπῳ· τοῦτο τοίνυν εἰδὼς ὁ φρόνιμος, αὐτάρκειαν ἐχέτω.

ΒΑΣΣΙΣΤΑΣ.

23. Οὐκ ἐπαινεῖται παρ' ἡμῖν ἡ συλλογὴ χρημάτων εἰς τὸ ποιῆσαι θυσίας καὶ ἐλεημοσύνας· ἡ γὰρ κτῆσις τῆς ἐγκρατείας καὶ ἀπαθείας ἀνωτέρα ἐστὶ τῆς χρηματολογίας.

24. Οὐδεὶς πολυχρήματος ὁρᾶται ἄμοιρος δεινῶν· ὅστις δὲ δίψαν οὐκ ἔχει τοῦ πολλὰ ἔχειν, οὗτός ἐϛιν ἄπειρος δεινῶν.

25. Ὅσον ὁ Βραχμὰν οὐ δέχεται τὸ παρὰ κακοῦ διδόμενον, τοσοῦτον ἡ βραχμανικὴ αὐτοῦ χάρις αὐξάνει ἐκ τῆς αὐταρκείας.

26. Ὁ ἐγκρατὴς ἕλοιτο ἂν τὴν πενίαν ἀντὶ τῆς βασιλείας· καὶ γὰρ παρ' αὐτῷ ἡ πενία τιμιωτέρα ἐστὶ τῆς βασιλείας.

ΚΑΣΣΕΠΑΣ.

27. Ἀνωφελές ἐστι τῷ Βραχμᾶνι ἡ πολλὴ χρηματολογία· μωραίνων γὰρ ἐκ τῆς χρηματικῆς δόξης, ἐκπίπτει τῆς βραχμανικῆς χάριτος καὶ δόξης.

28. Ὁ μὲν πλοῦτος προξενεῖ τὴν ἄγνοιαν, ἡ δ' ἄγνοια τὸν ᾅδην· ὅθεν ὁ ἐφιέμενος τοῦ οἰκείου ἀγαθοῦ, ἀποδιοπομπείσθω τοῦτον τὸν βλαπτικὸν πλοῦτον.

29. Καθὼς κάλλιόν ἐστι τὸ μὴ θίξαι τοῦ βορϐόρου, ἢ τὸ ἀποπλύναι αὐτὸ μετὰ τὸ θίξαι, οὕτω κάλλιον τὸ μὴ ἐφίεσθαι τοῦ πλούτου, ἢ τὸ ἐφίεσθαι αὐτοῦ εἰς τὸ ποιῆσαι θυσίας καὶ ἐλεημοσύνας.

30. Οἷα ἀρετὴ γίνεται διὰ χρημάτων, αὕτη οὐ λέγεται ἀρετή· τοῦτο δ' ἐστὶ τὸ κύριον τῆς ἀρετῆς, καὶ τὸ τῆς ἀθανασίας πρόξενον, τὸ καταφρονεῖν ἀλλοτρίων χρημάτων.

ΒΑΡΑΔΒΑΖΑΣ.

31. Αἱ μὲν τρίχες τοῦ γέροντος γηράσκουσι, καὶ οἱ ὀδόντες, καὶ τὰ ὄμματα, καὶ τὰ ὦτα· μόνη δὲ ἡ πλεονεξία νεάζει.

32. Καθὼς ὁ ῥάπτης διὰ τῆς βελόνης συνάπτει τὸ ῥάμμα τῷ χιτῶνι, καὶ συνδέει, οὕτω καὶ ἡ ψυχὴ τῷ κόσμῳ συνδέεται διὰ τῆς πλεονεξίας.

33. Καθ' ὃν τρόπον, αὐξανούσης τῇ ἡλικίᾳ τῆς ἐλάφου, αὐξάνει καὶ τὸ κέρας, κατὰ τὸν αὐτὸν τρόπον, αὐξάνοντος τοῦ πλούτου, αὐξάνει καὶ ἡ πλεονεξία.

34. Ἀποσκορακιστέα ἡ πλεονεξία, ἣ οὔτε πέρας, οὔτε κόρον ἔχει· δεινὰ δὲ πολλὰ καὶ ἀνομήματα.

ΓΑΟΥΤΑΜΑΣ.

35. Τίς αὐτάρκης οὐ δύναται ζῆσαι ἡδέως καρποῖς καὶ ῥίζαις τῆς γῆς; ἐκ δὲ τῆς λαιμαργίας εἰς πολλὰ δεινὰ καὶ χαλεπὰ βυθίζεται ὁ ἄνθρωπος.

36. Καθὼς ὁ ἔχων ὑποδήματα νομίζει, ὡς πᾶσα ἡ γῆ ἐςρωμένη ἐστὶ δέρμασιν, οὕτω καὶ ὁ ἔχων αὐτάρκειαν, νομίζει, ὡς πᾶν ἀγαθὸν ἔχει.

37. Οἷα ἄνεσίς ἐστι τοῖς ὀλιγάρκειαν ἔχουσι, καὶ φιλησύχοις οὖσι, πόθεν τοιαύτη τοῖς πλεονεκτικὴν διάθεσιν ἔχουσι, καὶ τῇδε κἀκεῖσαι θέουσιν;

38. Ἡ μὲν πλεονεξία ἐστὶ μεγάλη θλίψις, ἡ δ᾽ ὀλιγάρκεια μεγάλη ἄνεσις· ὁ τοίνυν ἐφιέμενος ἀνέσεως, ἔστω ἀεὶ ὀλιγαρκής.

ΒΙΣΒΑΜΙΤΡΑΣ.

39. Εἰ ἡ ἐπιθυμία πληρωθείη, ὡς ἤθελεν ὁ ἐπιθυμῶν, ἄλλη πάλιν ἐπιθυμία ἀναφύεται αὐτῷ ἐκ πλεονεξίας.

40. Καθὼς τὸ πῦρ οὐ κατασβέννυται ἐκ βουτύρου, ἀλλὰ μᾶλλον ἐξάπτεται. οὕτω καὶ ἡ ἐπιθυμία οὐ καταπαύει, ἀλλὰ μᾶλλον αὐξάνει ἐκ τῆς ἀπολαύσεως, ὧν ἐπιθυμεῖ ὁ ἄνθρωπος.

41. Μᾶλλον ἀρκεῖται ὁ ὢν ὀλιγαρκής, καὶ βλέπων ἐξ ἴσου τὸν χρυσὸν καὶ τὸν λίθον, ἢ ὁ βασιλεύς, οὗ τὸ κράτος διήκει εἰς τὰ πέρατα τῆς οἰκουμένης.

ΖΑΜΑΔΑΓΝΗΣ.

42. Ὅστις τῶν Βραχμάνων καὶ ἀσκήσει καὶ ἐγκρατείᾳ χρῆται, καὶ τὰ διδόμενα δέχεται, τούτου ἡ ἄσκησις καὶ ἐγκράτεια διαῤῥεῖ ἐκ τῆς φιλοχρηματίας.

43. Ὅστις τῶν Βραχμάνων, δεχόμενος παρὰ Βασιλέως χρή-

ματα, χαίρει ἀντὶ τοῦ λυπεῖσθαι, οὗτος μωρὸς ὤν, οὐκ ἐννοεῖ τὰς ἐν ᾅδου δεινὰς κολάσεις.

44. Ἐπειδὴ ἡ βραχμανικὴ χάρις μαραίνεται ἐκ τῶν λημμάτων, διὰ τοῦτο ὁ ἀληθὴς Βραχμὰν ἀπέχει τῶν λημμάτων, καί τοι ἄξιός ἐστι λαβεῖν.

45. Οἵα ἀρετή ἐστι τοῖς διδοῦσι, τοιαύτη δήπου ἐστὶ τοῖς μὴ λαμβάνουσι τὰ διδόμενα, καίτοι ἄξιοί εἰσι λαβεῖν.

ΑΡΟΥΝΔΔΑΤΗ.

46. Καθὼς αἱ ἶνες, συνοῦσαι, συνέχουσι τὸν καυλὸν τοῦ λωτοῦ, οὕτω καὶ τὰ εἴδη τῆς πλεονεξίας, ὥσπερ ἶνες, σύνεισι, καὶ συνέχουσι τὸ σῶμα τοῦ ἀνθρώπου.

47. Ἀποῤῥιπτέον ἡδέως τὴν πλεονεξίαν, ἣ δυσαπάλλακτός ἐστιν ὑπὸ τῶν ἀνοήτων, καὶ ἀγήρατος, τοῦ σώματος γηράσκοντος, καὶ πάθος μέχρι θανάτου.

48. Ἐκεῖνός ἐστιν εἰδήμων τῆς Βέδας, καὶ πάσης ἐπιστήμης, καὶ ἐργάτης πάσης ἀρετῆς, ὃς ἔχει αὐτάρκειαν καὶ ἠρεμίαν ἐν τῇ ψυχῇ.

ΒΑΡΝΕΑ.

49. Ἐπειδὴ οἱ ἐμοὶ κύριοι, οἱ δύναμιν ἔχοντες θείας χάριτος, φοβοῦνται ἐκ τούτου τοῦ μεγάλου δεινοῦ, διὰ τοῦτο καὶ ἐγὼ φοβοῦμαι.

ΠΑΣΣΟΥΣΑΚΚΑΣ.

50. Ὅ,τι ἐργάζονται οἱ σοφοὶ καὶ δίκαιοι ἄνδρες, τοῦτο ποιείτω πᾶς τις φρόνιμος, ὁ ἐφιέμενος τοῦ οἰκείου ἀγαθοῦ.

ΒΗΣΜΑΣ.

51. Ταῦτα εἰπόντες ἅπαντες οὗτοι οἱ λίαν ἐγκρατεῖς καὶ ὁ-

σιοι ἄνδρες, ἀπέῤῥιψαν τὰς ὀπώρας, τὰς πλήρεις χρυσίου, καὶ ἀπῆλθον ἀλλαχόσε.

52. Περιερχόμενοι δ' εἰς τὸ ἄλσος, ἐσθίοντες καρποὺς καὶ ῥίζας, εἶδον ἐξαίφνης ἐλθόντα ἕνα γυμνοσοφιστὴν, ᾧ ὄνομα ἦν Σουνασάκκας.

53. Πορευθέντες δὲ μετὰ τούτου προσωτέρω, εἶδον λίμνην ἐκτεταμένην καὶ πεπληρωμένην λωτῶν.

54. Καὶ προσελθόντες, ἔκοψαν λωτοὺς μετὰ τῶν καυλῶν, καὶ ἀφέντες αὐτοὺς παρὰ τὸ χεῖλος τῆς λίμνης, εἰσῆλθον, λουσόμενοι.

55. Ἐξελθόντες δὲ τῆς λίμνης, καὶ συνελθόντες ἐπὶ τὸ αὐτὸ, μὴ εὑρόντες τοὺς κεκομμένους λωτοὺς, ἔλεγον πρὸς ἀλλήλους τάδε·

ΟΣΙΟΙ.

56. Τίς κακοῦργος καὶ ἀνόσιος ἔκλεψε τοὺς λωτοὺς ἡμῶν, τῶν πείνῃ πιεζομένων, καὶ φαγεῖν ἐφιεμένων;

57. Ἡμεῖς ἐσμεν ἐνταῦθα, καὶ οὐχὶ ἄλλος· οἱ δὲ λωτοὶ ἀφανεῖς εἰσιν· συμπεραίνεται οὖν, ὡς οὐκ ἔστιν ἄλλος ὁ τοῦτο δράσας, ἀλλ' εἷς ἐξ ἡμῶν.

ΒΗΣΜΑΣ.

58. Ὑπόνοιαν οὖν σχόντες, οἱ ὅσιοι, ἠρώτων ἀλλήλους· καὶ γνώμην ἔθεντο ὀμόσαι.

59. Εἰς δὲ ἀθῶωσιν ἑαυτοῦ ἐπὶ τοιούτου χαλεποῦ ἔργου ἕκαστος ὅρκον ἐποίησεν οὑτωσί·

ΑΤΡΗΣ.

60. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἄλλον Θεὸν σεβέσθω, ἀφεὶς τὸν Βισνοῦν, τὸν Κύριον τοῦ κόσμου, τὸν αἴτιον τῆς γενέσεως, τῆς ὑπάρξεως, καὶ τῆς φθορᾶς τοῦ τριτοῦ

61. κόσμου, τὸν ὑπέρθεον, καὶ προσκυνούμενον ὑπὸ πάντων τῶν θεῶν.

62. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος τὴν παρακαταθήκην σφετεριζέτω, καὶ ψευδομαρτυρίαν ποιείτω.

63. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος πάντα τὰ τοῦ νόμου ἐν ὑποκρίσει ποιείτω, τὸ παρὰ Βασιλέως διδόμενον λαμβανέτω, κρέας ἐσθιέτω, καὶ οἶνον πινέτω.

ΚΑΣΣΕΠΑΣ.

64. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος τῶν μοναστῶν κατηγορείτω, τῶν θείων ἀνδρῶν καταφρονείτω, καὶ τῇ θεολογίᾳ ἐναντίος ἔστω.

65. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος μαθὼν τὰς Βέδας, ἀμελείτω αὐτῶν, καὶ ἀρξάμενος τῆς πυρολατρίας[1], ἀφέτω αὐτὴν, καὶ τοὺς Βραχμᾶνας ἐν φιλονεικίᾳ νικάτω.

66. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἀεὶ ψευδολογείτω, τῇ τιμιουλκίᾳ τοῦ σίτου ζήτῳ, καὶ τὴν ἑαυτοῦ θυγατέρα διδότω ἀνδρὶ εἰς γάμον ἐπὶ λήψει χρημάτων.

ΒΑΣΣΙΣΤΑΣ.

67. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ὕπνῳ κατεχέσθω, ἀκούων τῶν τοῦ Θεοῦ ἔργων, ἢ τῶν τοῦ νόμου, ἀναγινωσκομένων, ἢ λεγομένων.

68. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος μηδέποτε τῶν τοῦ Θεοῦ λογίων, ἢ τῶν τοῦ νόμου ἀκροαζέσθω, ὡς κακόφρων.

69. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος συγκοιμάσθω τῇ ἑαυ-

(1) Τρία πυρὰ εἰώθασιν ἔχειν οἱ Πυρολάτραι ἐν τρισὶ χωνευτηρίοις, ὧν τὸ μέν ἐστι τετράγωνον, τὸ δὲ κυκλικὸν, τὸ δὲ τοξοειδές.

τοῦ γυναικὶ, οὔσῃ ἐν καταμηνίοις, καὶ ἡμεροκοιτίᾳ χρήσθω, καὶ τοῖς οἰκείοις καὶ γνωστοῖς ξενίαν ποιείτω, εἰς τὸ ξενίζεσθαι ὑπ' αὐτῶν ἀμοιβαίως.

70. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἔστω μετὰ θάνατον μετ' ἐκείνου τοῦ Βραχμᾶνος, ὅστις διέτριβεν ἐν κώμῃ, ἔνθα ἦν ἓν μόνον φρέαρ, καὶ ὅστις εἶχε γυναῖκα ἐκ τῆς ἐσχάτης καὶ ἀκαθάρτου φυλῆς.

ΒΑΡΑΔΒΑΖΑΣ.

71. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἀκούσας πάντων τῶν τοῦ νόμου, ἁμαρτίας πάλιν ποιείτω, καὶ ἀνελεύθερος ἔσω.

72. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος τὰς παραδεδομένας νηστείας μὴ φυλαττέτω, μηδὲ τὰ τοῦ νόμου πραττέτω, ἀλλ' ἄνομα καὶ ἄθεσμα.

73. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἀνίλεως ἔστω πρὸς πᾶν τι ἔμψυχον, ὑπερήφανος (οἰηματίας) ἐπὶ πλούτῳ, φθονερός τε καὶ διάβολος.

74. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ὑβριζόμενος (κακολογούμενος), ἀνθυβριζέτω, (ἀντικακολογείτω), καὶ τυπτόμενος, ἀντιτυπτέτω, ἐλαιοπώλης τε καὶ ἁλατοπώλης ἔστω.

75. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος δωρούμενος διαφημιζέτω, ἀπὸ τῆς γυναικὸς ἑαυτοῦ ζήτω, καὶ μόνος γλυκέα ἐσθιέτω.

76. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἐλθόντα τὸν ξένον ἀποβαλλέτω, καὶ τὰ μὲν ἀγαθὰ τῶν βρωμάτων μόνος ἐσθιέτω, τὰ δὲ φαῦλα ἄλλοις διδότω, καὶ ἀεὶ ἐσθιέτω τὰ τῶν ἐλαχίστων καὶ ἀκαθάρτων βρώματα.

ΓΑΟΥΤΑΜΑΣ.

77. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἔστω ἐπίβουλος, καὶ ἀπατεὼν, καὶ ἐπικλινὴς εἰς πᾶσαν κακουργίαν.

78. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἔστω κατὰ μὲν τὸ κρύφιον κακὸς, κατὰ δὲ τὸ φαινόμενον ἀγαθὸς, φιλαπεχθής τε τῶν Βραχμάνων, καὶ φιλοκατήγορος τῶν τοῦ νόμου.

79. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος, ὡς κακόφρων, ἀποτρεπέτω τοὺς προσκειμένους τῇ πρακτικῇ ἀρετῇ, ὡς ὄντας ἀδυνάτους χρῆσθαι τῇ θεωρητικῇ.

ΒΙΣΒΑΜΙΤΡΑΣ.

80. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος μὴ ἀγαπάτω τὴν περιήγησιν τῶν ἁγίων τόπων, μιαινέτω τοὺς ἁγίους τόπους, καὶ ἁμαρτανέτω ἐν τοῖς ἁγίοις τόποις.

81. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος τῶν ἄλλων κατηγορείτω, ἀλλοτρίας γυναικὸς ἐράτω, καὶ ἀλλότρια χρήματα ἁρπαζέτω.

82. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἀεὶ ὑποκλινὴς ἔστω τῷ Ἔρωτι, μίξιν μετὰ γυναικὸς ποιείτω ἐν ἡμέρᾳ, καὶ ᾀεὶ ἁμαρτανέτω.

83. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος φίλος ἔστω ἀλαζονικῆς καὶ ὑποκριτικῆς ἀρετῆς, καὶ συμπράκτωρ ἀλαζόνων καὶ ὑποκριτῶν, καὶ τὴν ἑαυτοῦ βραχμανικὴν χάριν καταχραινέτω, καὶ καταμιαινέτω.

84. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἔστω βουτυροπώλης, καὶ ἐλαιοπώλης, καὶ βυρσοπώλης, καὶ φαρμακοπώλης.

85. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος τοσοῦτον ἑψέτω, ὅσον ἀρκέσει μόνῳ αὐτῷ, ἀφιεὶς ἀναρίστητον τόν τε θεράπον-

τα καὶ τὸν ξένον, καὶ τὸ βρῶμα τοῦ παρανόμου, καὶ ἀποσυναγώγου ἐσθιέτω.

ΖΑΜΑΔΑΓΝΗΣ.

86. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος φιλοκατήγορος ἔστω τῶν τε Θεῶν καὶ τῶν Βραχμάνων, καὶ τὰ ἄλογα ζῶα κατατρυχούτω, καὶ κακούτω.
87. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος κλεπτικὸς ἔστω, τοῖς κλέπταις συμπραττέτω, καὶ ψευδεῖς κακολογίας καὶ συκοφαντίας λεγέτω.
88. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος φιλοκατήγορος ἔστω τῶν Βεδῶν, τῶν ἐπιστημῶν (νόμων), καὶ τοῦ Βασιλέως.
89. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος τόν τε πατέρα καὶ τὴν μητέρα ἀτιμαζέτω, καὶ ἐκ τῆς περιουσίας τοῦ πενθεροῦ ζήτω.
90. Ὅςτις ἔκλεψε τοὺς λωτοὺς, οὗτος κερδαινέτω ἐκ μεγάλης κακοπαθείας; ἐξ ἀνομίας, καὶ ἐκ τῆς πρὸς τοὺς ἐχθροὺς γονυπετείας.

ΑΡΟΥΝΔΑΤΗ.

91. Ἥτις ἔκλεψε τοὺς λωτοὺς, αὕτη φιλοκέρτομος ἔστω καὶ συκοφάντρια τῶν ἄλλων, καὶ ἐν ἀλλοτρίᾳ οἰκίᾳ φιλοχωρείτω.
92. Ἥτις ἔκλεψε τοὺς λωτοὺς, αὕτη καταφρονείτω τῶν παλαιῶν καὶ θείων γραφῶν καὶ τῶν ἐν τῷ νόμῳ, καὶ ἄλλῳ νόμῳ ἀκολουθείτω.
93. Ἥτις ἔκλεψε τοὺς λωτοὺς, αὕτη ἐγκαταλειπέτω τὸν ἄνδρα, καὶ τοὺς λοιποὺς οἰκείους καὶ γνωστοὺς, καὶ σχέσιν ἐχέτω πρὸς ἀλλοτρίους καὶ ἀγνῶτας.
94. Ἥτις ἔκλεψε τοὺς λωτοὺς, αὕτη ἐριζέτω καὶ διαμαχέ-

σθω τῇ πενθερᾷ, χηρεύουσα ζήτω, καὶ μόνη γλυκέων γευέσθω.

95. Ἥτις ἔκλεψε τοὺς λωτοὺς, αὕτη ἀτιμαζέτω τὸν οἰκεῖον ἄνδρα, ὄντα πτωχὸν, ἀνάπηρον, μικροπρεπῆ (ταπεινὸν), ἐμπαθῆ, ἢ γέροντα.

ΒΑΡΝΕΑ.

96. Ἥτις ἔκλεψε τοὺς λωτοὺς, αὕτη ἐναντία ἔστω τῷ οἰκείῳ δεσπότῃ, καὶ κλοπὴν τῶν χρημάτων αὐτοῦ ποιείτω, καὶ διὰ τὰ πρὸς ζωάρκειαν πάντας προσκυνείτω, καὶ ἱκετευέτω.

97. Ἥτις ἔκλεψε τοὺς λωτοὺς, αὕτη ἐλαχίστη ἔστω, καὶ παρὰ τοῖς ἐλαχίστοις δουλίαν καὶ διακονίαν φιλείτω.

ΠΑΣΣΟΥΣΑΚΚΑΣ.

98. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος ἀγενὴς ἔστω καὶ ὑπόδουλος εἰς γεννήσεις γεννήσεων, καὶ ἄμοιρος παντὸς νομίμου ἔργου.

99. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος προοδευέτω τῶν Βραχμάνων, μηδὲ τῆς ὁδοῦ αὐτοῖς παραχωρείτω, καὶ τὴν προσταγὴν αὐτῶν παραβαινέτω (ἀθετείτω).

ΣΟΥΝΑΣΑΚΚΑΣ.

100. Ὅστις ἔκλεψε τοὺς λωτοὺς, οὗτος φίλος ἔστω τῆς θεολογίας, ἀνέραστος τῶν τοῦ κόσμου τρυφῶν, ἀνεκτικὸς τῶν φύσει ἐναντίων, ἐγκρατὴς, βλέπων ἐξ ἴσου τὴν
101. βῶλον καὶ τὸν λίθον καὶ τὸν χρυσὸν, μονήρης, θεόφρων, καὶ πάσης ζωοκτονίας ἀπέχων, καὶ μετὰ θάνατον ἑνωθήτω τῷ Θεῷ.

ΟΣΙΟΙ.

102. Ὁ ὅρκος οὗτος, ὃν σὺ ἐποίησας, ἐπέραστός ἐστι καὶ εὐάρεστος τοῖς Βραχμᾶσιν· ὅθεν σὺ εἶ ὁ κλέψας τοὺς λωτοὺς, ὦ Σουνασάκκα.

ΣΟΥΝΑΣΑΚΚΑΣ.

103. Ὑπ' ἐμοῦ ἐκρύφθησαν οἱ λωτοὶ, ὦ Βραχμᾶνες, ἀκοῦσαι ἐφιέμενος τοῦ ὑμετέρου νόμου· νῦν δ' ἴστε, ὡς ἐγώ εἰμι ὁ Ἴνδρας.

104. Ἐκ τῆς αὐταρκείας τὴν ἄφθαρτον χώραν τοῦ οὐρανοῦ ἐκτήσασθε· νῦν δ' ἀναβάντες ἐπὶ θείου ὀχήματος, δεῦτε πορευθῶμεν εἰς τὸν οὐρανόν.

ΒΗΣΜΑΣ.

105. Γνόντες δ' οἱ μεγάλοι ὅσιοι, ὡς αὐτός ἐστιν ὁ Ἴνδρας, ἀνέβησαν μετ' αὐτοῦ εἰς τὸν οὐρανὸν, χαίροντες.

106. Καί περ δ' οὗτοι κολακευόμενοι καὶ παραγόμενοι τρυφαῖς πολυειδέσιν, οὐκ ἐποίησαν πλεονεξίαν· διὰ τοῦτο καὶ ἔτυχον τῆς ὑψίστης δόξης.

107. Εἰδότες, ὡς τὸ παρὰ Βασιλέως διδόμενον, κακὸν καὶ ὀλέθριόν ἐστιν, ἔφαγον νεκρὸν σῶμα, καὶ ἔχοντες τὴν αὐτάρκειαν, ἐπορεύθησαν εἰς τὸν οὐρανόν.

108. Ὅστις ἀεὶ ἀκούει τοῦ μεγάλου τούτου κατορθώματος τῶν ὁσίων, οὗτος λυτρωθεὶς τῶν ἁμαρτιῶν, πορεύεται εἰς τὸν οὐρανόν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ πλεονεξίας.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Εἰπέ μοι, ὦ πάτερ, τίς ἐστιν ἡ ἕδρα τῆς ἁμαρτίας; καὶ τίς ἡ μήτηρ ἢ τίς ἡ ἀρχικὴ αἰτία αὐτῆς;

ΒΗΣΜΑΣ.

2. Μηδεμία σοι ἀμφιβολία ἔστω, ὡς ἕδρα τῆς ἁμαρτίας ἐστὶν ἡ πλεονεξία, καὶ μήτηρ ἡ πλεονεξία, καὶ ἀρχικὴ αἰτία ἡ πλεονεξία.
3. Ἐκ γὰρ τῆς πλεονεξίας γεννᾶται ὁ θυμὸς, τὸ μῖσος, ἡ ἄγνοια, ἡ προσπάθεια, ἡ ὑπερηφανία, καὶ ὁ φθόνος.
4. Καθὼς ἡ θάλασσα οὐ πληροῦται ἐκ βαθυῤῥόων καὶ ἀεννάων ποταμῶν, οὕτω καὶ ἡ πλεονεξία ἐκ κτημάτων πολυειδῶν.
5. Ἀκούεται ὡς ὁ Πουρουραβᾶς, ὁ οἰκουμενικὸς ἐκεῖνος Βασιλεὺς, οὐκ ἠρκεῖτο τοῖς οἷς εἶχεν ἀγαθοῖς διὰ τὴν ἣν εἶχε πλεονεξίαν.
6. Ὁ πλεονέκτης ἄπιστός ἐστιν ἐν πᾶσι, κακοποιὸς πρὸς πάντας, καὶ διάστροφος μᾶλλον πάντων (πρὸς πάντας).
7. Ὅτε ἀκραιφνὴς εὐλάβεια τῷ ἀνθρώπῳ γίνεται πρὸς τὸν Βισνοῦν, τότε ἡ πλεονεξία ὄλλυται· ἀλλὰ τοιαύτη εὐλάβεια δύσκτητός ἐστιν.
8. Καὶ οἱ πολυμαθεῖς ὄντες, καὶ πολλῶν ἐπιστημῶν εἰδήμονες ὑπάρχοντες, καὶ ἀπορίας λύοντες, καταπίπτουσιν εἰς τὸν ᾅδην, πλεονεξίᾳ κατεχόμενοι.
9. Πάντα τὰ ἁμαρτήματα τῶν ἀνθρώπων φθίνουσι, φθινού-

σης τῆς πλεονεξίας, καὶ αὐξάνουσιν, αὐξανούσης· μηδεμία ἔςω ἐνταῦθα ἀμφιβολία.

10. Ὅτε ἡ πλεονεξία ἄπεστι, πᾶν κακὸν ἄπεστιν· ὅτε δὲ πάρεστι, δυσκόλως ὁ νοῦς τοῦ ἀνθρώπου κλίνει εἰς τὸ ἀγαθόν.

11. Οἱ σοφοὶ ἄνδρες λέγουσι τὴν πρᾶξιν τῶν τοῦ νόμου τὸ κυρίως ποιητικὸν αἴτιον τῆς τετρακτύος ταύτης, τῆς κτήσεως, τῆς δόσεως (τῆς ἀρετῆς), τῆς τρυφῆς, καὶ τῆς ἀθανασίας.

12. Οὐκ ἔστι δὲ πρᾶξις τῶν τοῦ νόμου τῷ κατεχομένῳ ὑπὸ τῆς ἀνομίας, ἥ ἐστιν ἡ παγχάλεπος πλεονεξία, ἡ ἀναιρετικὴ τῶν τοῦ νόμου.

13. Ὅθεν παντοίῳ τρόπῳ ἄφες τὴν πλεονεξίαν, ὦ μέγα Βασιλεῦ Ἰνδδιστίρα, εἰ ἀγαπᾷς τὸ οἰκεῖον ἄκρον ἀγαθὸν, τὴν ἐν οὐρανῷ ὑπερτάτην δόξαν.

14. Οἱ ἀνέραστοι τῶν τοῦ κόσμου ἡδονῶν, οἱ ὀλιγαρκεῖς, οἱ πραεῖς τῷ πνεύματι καὶ ἄφθονοι, τυγχάνουσι τῆς ὑψίστης χώρας τοῦ Βισνοῦ, ἣν καλοῦσιν οἱ θεόφρονες ἄφθαρτον καὶ αἰωνίαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Περὶ ἱλαρότητος, ἢ ταπεινοφροσύνης.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

1. Ποτέρα ἐστὶν ἀρίστη; ἡ ἄσκησις καὶ σκληραγωγία; ἢ ἡ ἱλαρότης καὶ ταπεινοφροσύνη; Διαλυσόν μου ταύτην τὴν ἀπορίαν πάτερ.

ΒΗΣΜΑΣ.

2. Πολυειδεῖς τρόποι τῆς ἀρετῆς ἐῤῥέθησαν ὑπὸ τῶν ἁγίων ἀνδρῶν· καί τοι δ' ἔχουσιν ἕκαστος τὴν ἰδίαν γνώμην καὶ δόξαν, ὁμοφρονοῦσιν ὅμως, ὡς ἡ ἱλαρότης ἀρίστη ἐστί.
3. Ἡ γὰρ ἱλαρότης ἀρετή ἐστιν ὑπερτάτη, ἀσυγκρίτως ἁγνὴ, καὶ ἁγνιστικὴ πάντων.
4. Ἐπὶ τούτου δ' ἐπάγουσι τοῦτον τὸν παλαιὸν μῦθον, τὸν διάλογον τοῦ Τουλεδδάρα, καὶ τοῦ ὁσίου Ζαζάλιος.
5. Πάλαι Βραχμάν τις, Ζάζαλις τὸ ὄνομα, ἄσκησιν μεγάλην ἐποίει καὶ θεωρίαν ἐν ἐρήμῳ παρὰ τῇ ὄχθῃ τοῦ ὠκεανοῦ.
6. Πολλῶν δ' ἐτῶν (ἐν πολλοῖς δ' ἔτεσι) ἱσταμένου ἀκλονήτου, δίκην στύλου, ζεῦγος ὀρνέων καλιὰν ἔπηξεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ.
7. Ἀνεξίκακος δ' ὢν καὶ εὔσπλαγχνος, παρέβλεψε τοὺς ὄρνεις, οἳ καὶ ὠοτόκησαν, θαῤῥήσαντες.
8. Ἐξῆλθον δὲ καὶ νεοττοὶ ἐκ τῶν ὠῶν μετέπειτα, καὶ ηὐξήθησαν ἐν τῇ καλιᾷ· ὁ δὲ Ζάζαλις ἀκίνητος ἦν.
9. Ὅτε δὲ οἱ νεοττοὶ πτερωθέντες ἀνέπτησαν, τότε ὁ Ζάζαλις ἐκινήθη.
10. Μέγα δὲ φρονῶν, ἀναφωνήσας ἔφη· « οὐκ ἔστιν ἐν κόσμῳ

ὅμοιος ἐμοὶ κατὰ τὴν ἄσκησιν.» Φωνὴ δ' ἐξαίφνης ἐν αἰθέρι ἐγένετο λέγουσα·

11. «Ἐν Βαραναςῇ τῇ πόλει οἰκεῖ Τουλαδδάρας (Ζυγοςάτης) μεγαλόφρων· οὐχ οὕτως ὅμως μεγαλοῤῥημονεῖ, ὡς σὺ αὐτός.»

12. Ταύτης τῆς φωνῆς ἀκούσας ὁ ὅσιος Ζάζαλις, ἀφίκετο ἐπὶ τὴν πόλιν Βαρανασὴν μετ' οὐ πολὺν χρόνον, ἰδεῖν ἐφιέμενος ἐκεῖνον τὸν Τουλαδδάραν.

13. Εἶδε δ' ἐκεῖ τὸν Τουλαδδάραν, πωλοῦντα πολλὰ ὑγροφυῆ (βούτυρον, μέλι, ἅλας κτλ.)· εἶδε δὲ καὶ ὁ Τουλαδδάρας αὐτὸν, ὃν καὶ προσκυνήσας, ἔλεξεν ὧδε·

ΤΟΥΛΑΔΔΑΡΑΣ.

14. Γνωστός μοι εἶ, ὦ ἄριστε Βραχμὰν, καί τοι οὐδέποτε ἤκουσα περὶ σοῦ· γνωστὸν δέ μοι καὶ τὸ τέλος τῆς ἐνθάδε σου ἀφίξεως.

15. Σκληραγωγίᾳ ἄκρᾳ χρωμένου, ὄρνεις ἐνεόττευσαν ἐπὶ τῆς κορυφῆς σου· καυχωμένῳ σοι δ' ἐπὶ τούτῳ, φωνὴ ἐξ οὐρανοῦ ἐγένετο περὶ ἐμοῦ.

16. Ταύτης τῆς φωνῆς ἀκούσας, ἐνθάδε ἀφίκου, ἰδεῖν με ἐφιέμενος· εἰπὲ οὖν ἐν τάχει, τί εὐάρεστόν σοι ποιήσω, ὦ ἄριστε Βραχμάν;

ΖΑΖΑΛΙΣ.

17. Πῶς ἐγένετό σοι ἡ θεωρητικὴ καὶ προγνωστικὴ ἀρετὴ, πωλοῦντι πᾶν ὑγροφυὲς καὶ εὐῶδες; τοῦτο εἰπέ μοι.

ΤΟΥΛΑΔΔΑΡΑΣ.

18. Οὔτε παιδείαν καὶ μάθησίν τινα ἐγυμνάσθην, οὔτε παῤ

ἄλλου εἰδότος ἤκουσα· ἀπεκαλύφθη μοι δὲ τοῦτο τὸ προγνωστικὸν ἐκ τῆς γυμνάσεως καὶ ἕξεως τῆς ἐν τῇ προτέρᾳ γενέσει.

19. Ὧ τινι ὁ ἄνθρωπος προσφύεται ἀεὶ ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ, τοῦτο ἕξις γίνεται· ἐνταῦθα μηδεμία ἔστω ἀμφιβολία.

20. Ὅςτις βλέπων τοὺς μὲν πάσχοντας, συμπάσχει, τοὺς δὲ χαίροντας, συγχαίρει, οὗτος ἔχει τὸ θεωρητικὸν καὶ προγνωστικὸν ἰδίωμα.

21. Ἡ ζωὴ γίνεται οὐκ ἐξ ἀδικίας πρὸς ἄλλους, οὐδ' ἐκ πλεονεξίας· αὕτη ἐστὶν ἡ ἀρίστη ἀρετή· τοιαύτην δὲ ζωὴν ἐγὼ ζῶ.

22. Ἐγὼ χόρτοις καὶ ξύλοις συνειλεγμένοις κατεσκευασάμην τὴν κατοικίαν ταύτην· πιπράσκω δὲ πᾶν εἶδος ὑγροφυὲς, ἐκτὸς οἴνου καὶ κρέατος.

23. Ὅςτις ἐν τῷ πωλεῖν ἀπάτῃ χρῆται πρὸς ἠλιθίους καὶ τυφλοὺς, εἰς τὸν φοβερὸν ᾅδην οὗτος πορεύεται, καὶ ὁ πλοῦτος τούτου ἀπόλλυται.

24. Ὃς εὐμενής ἐστι καὶ φιλόφρων πρὸς πάντας, ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ, οὗτος οἶδε τὴν θεωρητικὴν καὶ προγνωστικὴν ἀρετήν.

25. Ἐξ οὗ πᾶς ἄνθρωπος φοβεῖται, ὡς ἀπὸ στόματος τοῦ θανάτου, ἐπειδὴ ὑπάρχει ἰταμὸς καὶ σκληρὸς ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ, οὗτος κακῆς στάσεως τυγχάνει μετὰ θάνατον.

26. Ἐγὼ, ὦ Βραχμὰν, οὔτ' ἐπαινῶ τὰ τῶν ἄλλων ἔργα, οὔτε κατηγορῶ· ἐγὼ ὁ αὐτός εἰμι ἐν πᾶσιν· ἰδὲ τὴν ἐμὴν ἐγκράτειαν.

27. Ἐγὼ ἐν τοῖς ὑπὸ τὴν αἴσθησιν ὅμοιός εἰμι τῷ χωλῷ, τῷ τυφλῷ, τῷ κωφῷ, τῷ εὐνούχῳ, τῷ ἀλάλῳ, καὶ τῷ

ἠλιθίῳ· οἱ ἐστερήθησαν τῶν αἰσθητικῶν δυνάμεων, αἵ εἰσι θύραι τῆς ἡδονῆς καὶ τρυφῆς.

28. Καθὼς ὁ γέρων, ὁ παῖς, καὶ ὁ νοσηλευόμενος, ἀνέραστοί εἰσι τῶν ὑπὸ τὴν αἴσθησιν, οὕτω καὶ αἱ ἐπιθυμίαι τῶν ἡδονῶν καὶ τρυφῶν ᾤχοντο ἀπ' ἐμοῦ.

29. Ἐγὼ ὁ αὐτός εἰμι καὶ ἐν φίλοις καὶ ἐν ἐχθροῖς· ὁ αὐτός εἰμι καὶ ἐν ζημίᾳ καὶ ἐν κέρδει· καὶ ὁ αὐτὸς ἔλεός ἐςί μοι ἐν πᾶσι τοῖς ἐμψύχοις (πρὸς πάντα τὰ πνοὴν ἔχοντα).

30. Καὶ οἱ θεοὶ, ἐπειδὴ ἀνωτέρας δόξης ἐπιθυμοῦσιν, ἀποροῦσιν εἰς τὴν διαγωγὴν καὶ γνώμην τοῦ βλέποντος πάντας ὡς ἑαυτὸν, καὶ τὰ πάντα ἐξ ἴσου, εἴτε ἀγαθὰ, εἴτε κακὰ, καὶ μηδεμιᾶς δόξης ἐπιθυμοῦντος.

31. Ὅτε ὁ ἄνθρωπος καὶ ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ κλίσιν (γνώμην) οὐκ ἔχει κακὴν πρὸς ἅπαντα τὰ ἔμψυχα, τότε τυγχάνει τοῦ ὑψίστου Θείου.

32. Ἀμφότεροι οὗτοι ἐν ἐμοὶ οἱ αὐτοί εἰσι, καὶ ὁ ἐπαινῶν με καὶ ὁ κατηγορῶν μου· οὐδὲν γάρ ἐστιν οὔτε ἀγαπητόν μοι, οὔτε μισητόν μοι, ἐπειδὴ οὔτε ἀγάπην, οὔτε μῖσος ἔχω πρός τι.

33. Ἅπαντες οἱ ποταμοὶ ὅμοιοί εἰσι κατὰ τὴν ἁγιότητα, καὶ ἅπαντα τὰ ὄρη, καὶ ἅπαντα τὰ ἱερὰ τεμένη· μηδεμία ἔστω ἀμφιβολία.

34. Ἡ ἱλαρότης ἐστὶ τὸ μέγα ἱερὸν τέμενος· ἡ ἱλαρότης ἐστὶν ἡ μεγάλη ἄσκησις· ἡ ἱλαρότης ἐστὶν ἡ μεγάλη γνῶσις τῶν ὄντων· ἡ ἱλαρότης ἐστὶν ἡ μεγάλη θεωρία.

35. Καὶ ὁ ἄγαμος, καὶ ὁ ἔγγαμος, καὶ ὁ ὑλόβιος, καὶ ὁ μοναστὴς καὶ ἀγύρτης, ἅπαντες οὗτοι τυγχάνουσι τῆς ὑψίστης στάσεως διὰ τῆς ἱλαρότητος.

36. Πάντα ταῦτα ἀνωφελῆ εἰσι τῷ μὴ ἔχοντι ἱλαρὰν τὴν ψυχήν· ἡ δόσις, ἡ θυσία, ἡ ἄσκησις, ἡ καθαριότης, ἡ

προσκύνησις ἁγίων τόπων, καὶ ἡ μάθησις καὶ γνῶσις τῆς Βέδας.

37. Ἐκεῖνος λέγεται ἱλαρὸς καὶ ἁγνὸς, ὃς ἐλυτρώθη πάντων τῶν κακῶν τῆς ἀγάπης, τοῦ μίσους, τοῦ ψεύδους, τοῦ θυμοῦ, τῆς πλεονεξίας, τῆς ἀγνοίας, τῆς ὑπερηφανίας, καὶ τῶν λοιπῶν.

38. Πᾶσα παιδεία καὶ μάθησις διδάσκεται ὑπὸ τῶν σοφῶν ἀνδρῶν, εἰς κτῆσιν τῆς ἱλαρότητος καὶ ἁγνότητος· ὅθεν οὗτινος ἡ καρδία ἀεί ἐστιν ἱλαρὰ, ἐκεῖνος ἐστὶν ὁ εἰδήμων πάσης μαθήσεως.

39. Ἡ γὰρ μάθησις, ἡ μὴ ἀφορῶσα εἰς πρᾶξιν τῆς ἀρετῆς, εἰς ἀπάθειαν, καὶ εἰς ἱλαρότητα, ἀλλ' εἰς μόνην τὴν εὐφράδειαν, ὁμοία ἐστὶ τῇ τοῦ κόρακος ἀσήμῳ φωνῇ.

ΒΗΣΜΑΣ.

40. Ταῦτα τὰ περὶ ἀρετῆς εἰπὼν ὁ Τουλαδδάρας πρὸς τὸν Ζάζαλιν, ἔδειξε πρὸς αὐτὸν τοὺς νεοττοὺς ἐκείνους παρισταμένους.

ΤΟΥΛΑΔΔΑΡΑΣ.

41. Οὗτοί εἰσιν ἐκεῖνοι οἱ νεοττοὶ, ὦ Βραχμὰν, οἳ ἐγεννήθησαν ἐπὶ τῆς κεφαλῆς σου· κάλεσον αὐτούς· σὺ γὰρ αὐτῶν εἶ θετὸς πατήρ.

ΒΗΣΜΑΣ.

42. Κληθέντες δ' οἱ νεοττοὶ ὑπὸ τοῦ Ζαζάλιος, ἐξηρεύξαντο πρὸς αὐτὸν λόγους θείους περὶ ἀρετῆς.

ΝΕΟΤΤΟΙ.

43. Ἄφες, ὦ Βραχμὰν, ταύτην τὴν ἅμιλλαν, καὶ τὴν ὑπερ-

φροσύνην, καὶ θὲς τὴν διάνοιαν ἐν τῇ ἱλαρότητι· ἐκ δὲ τούτου τεύξῃ τῆς ὑπερτάτης δόξης.

44. Ἐκ τῆς ὑπερφροσύνης ὄλλυται ἐκείνη σου ἡ ἄσκησις, ἡ μετὰ πολλοῦ πόνου γενομένη· ἀπολωλείας δὲ τῆς ἀσκήσεως, οὐ τεύξῃ τῆς ὑπερτάτης δόξης.

45. Ὅθεν ἀφεὶς τὴν ἄγνοιαν, τὴν φθοροποιὸν τῆς ἀσκήσεως, θὲς τὴν διάνοιαν ἐν τῇ ἱλαρότητι, καὶ ἔσο ἐκτενὴς εἰς τὴν θεωρίαν.

46. Εἰς μάτην πονεῖ ὁ ῥακενδύτης, ὁ πλοκαμοφόρος, ὁ τρεῖς βακτηρίας ἔχων, ἢ ὁ κεκαρμένος τὰς τρίχας, οὗ ἡ καρδία οὐκ ἔστιν ἱλαρά.

47. Οὐχ ὁ ἐξωτερικὸς σχηματισμὸς αἴτιός ἐστι τῆς ἀρετῆς· καὶ λαμπρὰ γὰρ ἐνδεδυμένος, καὶ κεκοσμημένος, καὶ τὸν κόσμον οἰκῶν, κατορθώσειεν ἂν τὰ τῆς ἀρετῆς ὁ ἄνθρωπος, ὅτε ὁ αὐτὸς διάκειται ἐν πᾶσιν.

48. Εἰ καὶ ὁ καρπὸς τοῦ δένδρου Κατάκα καθαρτικός ἐστι τοῦ τεθολωμένου ὕδατος, τὸ ὕδωρ ὅμως οὐ καθαίρεται ἐκ μόνου τοῦ ὀνόματος αὐτοῦ.

49. Καὶ ἐν ἐρήμῳ πάθη γίνονται τοῖς ἐμπαθέσι, καὶ ἐν κόσμῳ ἄσκησις γίνεται, καὶ χαλιναγωγία τῶν παθῶν. Ὅστις κλίνει εἰς τὰ ἀγαθὰ καὶ ἄμεμπτα, καὶ ἐκκλίνει ἀπὸ τῶν κακῶν καὶ μεμπτῶν, τούτῳ ἡ ἐν κόσμῳ διαγωγὴ ἐρημική ἐστιν ἄσκησις.

50. Ἡμεῖς ἐκ φίλτρου ἤλθομεν ἐνθάδε, εἰπεῖν σοι ἐφιέμενοι τὴν τῆς ἀρετῆς πρᾶξιν. Ἱλαρὸς ἔσο, καὶ τὴν ἅμιλλαν ἄφες.

ΒΗΣΜΑΣ.

51. Οἱ μὲν δὴ νεοττοὶ τοιαῦτα εἰπόντες, ἀπῆλθον· ὁ δὲ Ζάζαλις, διδαχθεὶς καὶ ὑπὸ τῶν νεοττῶν καὶ ὑπὸ τοῦ

Τουλαδδάρα, ἱλαρὸς γενόμενος καὶ ταπεινόφρων, ἔτυχε τῆς ὑψίστης δόξης.

52. Ἴσθι οὖν, ὦ μέγα Βασιλεῦ, ὡς ἡ ἱλαρότης ἀνωτέρα ἐςὶ τῆς ἀσκήσεως· ὁ μὲν γὰρ ἀσκητὴς εἰς τὸν οὐρανὸν πορεύεται, ὁ δ' ἱλαρὸς τὴν ψυχὴν εἰς τὴν χώραν τοῦ Βράχμα.

53. Ταῦτα δὲ πάντα ἐῤῥέθησάν σοι ὑπ' ἐμοῦ, ὡς ἔχει· θὲς οὖν τὴν διάνοιαν ἐν τῇ ἱλαρότητι, καὶ ἔσο ἀτενὴς εἰς τὴν θεωρίαν.

54. Ὅςτις ἀκούει ἀεὶ, ἢ ἀναγινώσκει εὐλαβῶς ταῦτα τὰ περὶ ἀρετῆς ἐξαίρετα λόγια, οὗτος τυγχάνει τῆς ὑψίςης δόξης.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Περὶ ἀρετῆς.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

1. Ἄλλοι μὲν ἐπαινοῦσι τὸν πλοῦτον, ἄλλοι δὲ τὴν ἀρετήν· εἰπέ μοι, ὦ πάτερ, ποτέρου τούτων ἡ κτῆσις ἀρίςη ἐςί;

ΒΗΣΜΑΣ.

2. Οἱ σοφοὶ ἄνδρες τὸν μὲν πλοῦτον λέγουσιν ἀνθρωπικὸν καὶ πρόσκαιρον, τὴν δ' ἀρετὴν θεῖον πλοῦτον καὶ θείων ἀγαθῶν δότειραν.

3. Ἐπὶ τούτου δ' ἐπάγουσι τοῦτον τὸν παλαιὸν λόγον, τὴν ἣν χάριν δηλονότι ἐποίησεν ὁ θεῖος Ἄγγελος Κουνδαδδάρας πρὸς τὸν αἰτοῦντα Βραχμᾶνα.

4. Βραχμάν τις ἀκτήμων, πλεονεξίᾳ νικώμενος, ἐδέετο τοῦ Θεοῦ ὑπὲρ κτήσεως πλούτου· ἀλλ' οὐκ ἐτύγχανε τοῦ ποθουμένου.

5. Ἀνελογίζετο μὲν οὖν, τίνος ἄλλου Θεοῦ δεηθείη, ὃς εἰσακούσεται αὐτοῦ εὐθέως, μὴ ἐνοχλούμενος ὑπὸ τῶν ἀνθρώπων.
6. Εἶδε δὲ παραστάντα τὸν διάκονον τῶν θεῶν Κουνδαδδάραν· καὶ ἰδὼν, ταῦτα διαλογίζετο· « Οὗτος ποιήσει μοι τὸ ἐφετόν.
7. »Ὢν γὰρ ἀεὶ παρὰ τοῖς θεοῖς, καὶ μὴ ἐνοχλούμενος ὑπὸ τῶν ἀνθρώπων ἐν δεήσεσι, πλοῦτον πολὺν δώσει μοι ταχέως. »
8. Μύροις δὲ, καὶ στεφάνοις, καὶ θυμιάμασι, καὶ καλλιερήμασι, καὶ προσφοραῖς ἐθεράπευεν αὐτὸν ὁ Βραχμάν.
9. Μετὰ δὲ χρόνον βραχὺν, ἡσθεὶς ὁ Κουνδαδδάρας ἐπὶ τῇ εὐποιΐα τοῦ Βραχμᾶνος, τοιαῦτα ἔλεγεν ἐν ἑαυτῷ·
10. «Τῷ μὲν Βραχμανοκτόνῳ, καὶ τῷ οἰνοπότῃ, καὶ τῷ κλέπτῃ καὶ τῷ παραβάτῃ τῶν τοῦ νόμου, ἄφεσίς ἐστιν, ὡς λέγουσιν οἱ σοφοὶ, τῷ δ' ἀχαρίστῳ οὐδαμῶς.
11. »Ὁ ἀχάριστος ὅμοιός ἐστι τῷ κυνοφάγῳ· ὅθεν οὐ δεῖ οὔτε λέγειν περὶ αὐτοῦ, οὔτε συλλαλεῖν αὐτῷ, οὔτε ἅπτεσθαι αὐτοῦ, οὔτ' ὁρᾷν αὐτόν. »
12. Τοιαῦτα διανοηθεὶς ὁ Κουνδαδδάρας, ἐλθὼν εἰς τὸ βουλευτήριον τῶν θεῶν, ἔθετο τὴν κεφαλὴν ἑαυτοῦ κατὰ γῆς πρὸ αὐτῶν.
13. Οἱ δὲ θεοὶ ἠρώτησαν αὐτὸν, κεκλιμένην ἔχοντα τὴν ἑαυτοῦ κεφαλὴν κατὰ γῆς « Τί αἰτεῖς, ὦ Κουνδαδδάρα ;»

ΚΟΥΝΔΑΔΔΑΡΑΣ.

14. Βραχμάν τις ἐδεήθη μου· ὅθεν εἰ ὑμῖν δοκεῖ, γενέσθω αὐτῷ χάρις τις, παρακαλῶ.

ΘΕΟΙ.

15. Ἀνάστα, ἀνάστα, ὦ Κουνδαδδάρα· εὖ σοι γένοιτο· εὔθυμος ἔσο· ὅσον πλοῦτον θέλει, τοσοῦτος αὐτῷ δίδοται.

ΒΗΣΜΑΣ.

16. Ἐννοήσας δ' ὁ Κουνδαδδάρας, ὡς ὁ ἀνθρωπικὸς πλοῦτος ἀβέβαιός ἐστιν, ᾔτησε κλίσιν βεβαίαν εἰς τὴν ἀρετήν.

ΚΟΥΝΔΑΔΔΑΡΑΣ.

17. Ἐγὼ οὐκ αἰτῶ ὑπὲρ ἐκείνου μέγαν πλοῦτον, γῆν, ἢ βασιλείαν· ἔστω δὲ ἐπικλινὴς (ἐπιῤῥεπὴς) εἰς τὴν ἀρετήν.
18. Ἐκ γὰρ τῆς ἀρετῆς γίνεται πάντα ταῦτα· μάθησις, εὐμορφία, πλοῦτος, ἀνδρεία, εὐγένεια, ὑγιεία, βασιλεία, οὐρανὸς, καὶ ἀθανασία.
19. Ὁ φρόνιμος οὐκ ἀφίησι τὴν ἀρετὴν ἕνεκα χρηματολογίας, προσπαθείας, ὀργῆς, φθόνου, τρυφῆς ἐφετῶν, ἢ ἕνεκα φόβου.
20. Ὅςτις ἀφεὶς τὴν ἀρετὴν, ἀσπάζεται τὸν πλοῦτον ἐκ πλεονεξίας, οὗτος, ἀφεὶς σωρὸν χρυσοῦ, σωρὸν χοὸς ἀναλαβεῖν ἐφίεται.
21. Καὶ οἱ ἅγιοι ἄνδρες, καὶ οἱ θεοὶ, καὶ πάντες οἱ δαίμονες οὐ τὸν πλούσιον καὶ τρυφηλὸν τιμῶσιν, ἀλλὰ τὸν ἐνάρετον.
22. Ὁ ὢν ἐνάρετος μὲν, πτωχὸς δὲ, ἀναβαίνει εἰς τὸν οὐρανόν· ὁ δ' ὢν πλούσιος μὲν, ἄμοιρος δ' ἀρετῆς, καταβαίνει εἰς τὸν ᾅδην.
23. Τί ὄφελος ἐκ πλούτου τῷ ἀποθανόντι, ὃν ἄλλοι ἀπολαμβάνουσι; βελτίων δ' ἡ ἀρετὴ, ἣ παρακολουθεῖ καὶ ἀποθανόντι τῷ ἀνθρώπῳ.

24. Ἔστω οὖν ὁ Βραχμὰν αὐτὸς ἀτενὴς ἀεὶ εἰς τὴν ἀρετήν, ἐκ δὲ τῆς ἀρετῆς τυχέτω τῆς τελειότητος· αὕτη ἡ χάρις αἰτεῖται παρ' ἐμοῦ.

ΘΕΟΙ.

25. Ἐπειδὴ καρπός ἐστι τῆς ἀρετῆς, καὶ βασιλεία, καὶ πάντα τὰ λοιπὰ ἀγαθά, τρυφάτω αὐτὸς ὁ Βραχμὰν τοῦ τῆς ἀρετῆς καρποῦ, τῶν ἀγαθῶν δηλαδὴ πάντων, μὴ πειραθεὶς σωματικοῦ πόνου καὶ σκληραγωγίας.

ΒΗΣΜΑΣ.

26. Καίτοι δὲ οἱ θεοὶ πολλάκις εἶπον τῷ Κουνδαδδάρᾳ ὑπὲρ πλούτου, αὐτὸς ὅμως ἱκέτευεν ὑπὲρ ἀρετῆς· οἱ δὲ θεοὶ ἐχάρησαν.

27. Καὶ χαρέντες ἔφασαν, ὡς ὁ Βραχμὰν ἀρετῆς δοχεῖον ἔσεται· ἐκ δὲ τῆς ἀρετῆς ἐντελεχείας τεύξεται.

28. Λαβὼν δὲ μετὰ χαρᾶς ὁ Κουνδαδδάρας τὴν χάριν, διελογίζετο τρόπον, ὅπως τῷ Βραχμᾶνι ἀποστροφὴ τοῦ πλούτου γενήσεται.

29. Καὶ καλέσας αὐτὸν, κατεσκληκότα ταῖς τοῦ πλούτου φροντίσι, λαβὼν ῥάκη, ἔθετο αὐτὰ παρ' αὐτῷ.

30. Ἰδὼν δ' ὁ Βραχμὰν ἐκεῖνα τὰ ῥάκη, μεγάλην ἀποστροφὴν καὶ καταφρόνησιν τῶν τοῦ κόσμου σχὼν, τοιαῦτα ἐν ἑαυτῷ ἔλεγεν·

31. « Οὗτος τοιαῦτα ἀγαθὰ οἶδε δοῦναι, οἷα οὐδεὶς ἄλλος· ἀλλὰ καὶ οὕτως, κρείττονα ἔκρινε χάριν ποιῆσαί μοι.

32. » Ὅθεν ἀφεὶς τὴν κακὴν καὶ κακοδότιν ἐπιθυμίαν τοῦ πλούτου, πορεύομαι ἐπὶ τὴν ἔρημον εἰς πρᾶξιν ἀρετῆς.

33. » Ὅστις γὰρ καταφρονῶν τῆς ἀρετῆς, μοχθεῖ εἰς κτῆσιν πλούτου, οὗτος ὅμοιός ἐστι τῷ διψῶντι, ὃς ἀφεὶς τὴν

θάλασσαν, θέει εἰς τὴν πεδιάδα, ἢ ἐκ τῆς θερμότητος τοῦ ἡλίου φαίνεται, ὅτι κυμαίνει, ὡς θάλασσα.

34. »Ἐμβρόντητοί εἰσι τῇ τύχῃ, καὶ κακῶς καὶ δυστυχῶς ἔχουσιν, οἱ λέγοντες, ὡς οὔτε τὸ μὴ πεπρωμένον ἐκτελεῖται, οὔτε τοῦ πεπρωμένου ἀνατροπὴ γίνεται.

35. »Ὅςτις πρότερον ἔπραξεν ἀρετὴν, οὗτος εὑρίσκει μετὰ ταῦτα πλοῦτον· ὅςτις δ' οὐκ ἔπραξε, πόθεν τούτῳ πλοῦτος ;

36. »Ἅπας πόνος ἐστὶ μάταιος, ᾧ ἐναντία ἐστὶν ἡ τύχη· πόνου δ' ὄντος καὶ ἐν κόσμῳ τῷ ἀτυχεῖ ἀνθρώπῳ, διὰ τί μισεῖ τὴν ἐν ἐρήμῳ σκληραγωγίαν ; (μισητὴ ἡ ἐν ἐρήμῳ σκληραγωγία ;)

37. »Ἐναντίας οὔσης τῆς τύχης, καὶ ἀνωφελοῦς τῆς φερεπονίας, οὐκ ἔστιν ἀλλαχοῦ ἄνεσις τῷ ἐνδεεῖ καὶ ἐγκρατεῖ ἀλλ' ἢ ἐν ἐρήμῳ.

38. »Οὕτω δ' ἐμαυτὸν κατεργάσομαι ἄκρᾳ ἀσκήσει καὶ σκληραγωγίᾳ, ὥστε οὐκ ἄπορος ἔσομαι, οὐδ' αἴτησιν πάλιν ποιήσομαι.

39. »Ὅσα ἀγαθὰ ζητοῦσιν οἱ ἄνθρωποι ἐν τοῖς τρισὶ κόσμοις, ταῦτα πάντα εὐπόριστα γίνονται διὰ τῆς ἀσκήσεως· ἡ γὰρ ἄσκησις ἀνυπέρβλητός ἐστι.

40. »Διὰ τῆς ἀσκήσεως ἐν οὐρανῷ οἱ θεοὶ τὴν θεότητα ἐκτήσαντο· καὶ διὰ τῆς ἀσκήσεως οἱ ὅσιοι ἄνδρες ἄκρας τελειότητος ἔτυχον. »

ΒΗΣΜΑΣ.

41. Τοιαῦτα διανοηθεὶς ὁ Βραχμὰν, λαβὼν ἐκεῖνα τὰ ῥάκη, εἰσέδυ τὸ ἄλσος, καὶ ἄσκησιν εἰργάζετο δυσκατέργαςον (δυσέργαστον).

42. Καὶ πρότερον μὲν ἦν ῥιζοφάγος, καὶ καρποφάγος, ἔπειτα

δὲ φυλλοφάγος· ἀφεὶς δὲ τὰ φύλλα, ἀνεμοφάγος ἦν ἐπὶ πολύ.

43. Χάριτι δὲ τοῦ Κουνδαδδάρα ἐγένετο αὐτῷ τῷ φιλαρέτῳ καὶ καρποφάγῳ γνῶσις τῶν ὄντων καὶ θεία φρόνησις.

44. Καὶ τάδε διανοεῖτο· « Εἰ αὐτὸς ὁ Κουνδαδδάρας, ἡσθεὶς, ἐδίδω μοι πλοῦτον, ἢ βασιλείαν, ὡς ᾔτησα, πῶς ἂν ἔζων ἐγὼ ὁ ταλαίπωρος; »

45. Γνοὺς δὲ τὴν εὐχαριστίαν τοῦ Βραχμᾶνος ὁ μεγαλόφρων καὶ φιλόφρων Κουνδαδδάρας, ἐφάνη αὐτῷ,

46. Καὶ ἀντασπασάμενος αὐτὸν, χαίρων, ἔδειξε τὴν δυσανάσχετον κατάστασιν τῶν Βασιλέων, εἰπών·

ΚΟΥΝΔΑΔΔΑΡΑΣ.

Ἰδὲ, ὦ Βραχμὰν, τὴν κατάστασιν τῶν Βασιλέων, ἣν σὺ αἰτῶν ἤθελες πρώην.

ΒΗΣΜΑΣ.

47. Εἶδε δὲ θείῳ ὄμματι ὁ Βραχμὰν πόῤῥωθεν ἀναριθμήτους Βασιλεῖς, ἐμβεβυθισμένους εἰς τὸν βορβορώδη Τάρταρον.

ΚΟΥΝΔΑΔΔΑΡΑΣ.

48. Εἰ σὺ, θεραπεύσας ἐμὲ, τοιαύτης ἐτύγχανες καταστάσεως, ὁποία χάρις ἐγίνετο ἄν σοι ὑπ' ἐμοῦ;

49. Ἰδὲ πάλιν, ἰδὲ ἐκεῖνα τὰ πάθη, ὑφ' ὧν τοῦτο τὸ πᾶν περιειλημένον ἐστὶ, καὶ ἡ θύρα τοῦ οὐρανοῦ περικεκλεισμένη τοῖς κακούργοις καὶ κακοτρόποις.

50. Εἰ ἅπας ὁ κόσμος οὗτος προσκείμενος ἦν τῇ ἀρετῇ, ἦν ἂν ὁ μὲν οὐρανὸς πλήρης, ἡ δὲ γῆ κενή.

ΒΗΣΜΑΣ.

51. Ἐνατενίσας δ' εἶδε τὴν ἐπιθυμίαν, τὴν ὀργὴν, τὴν πλεονεξίαν, τὴν ὑπερηφανίαν, τὸν φόβον, τὸν ὕπνον, τὸν φθόνον, καὶ τὴν ἀκηδίαν, ἱστάμενα πέριξ τῶν ἀνθρώπων.
52. Ταῦτα δὲ πάντα τῇ προσταγῇ τῶν θεῶν ἐμποδὼν γίνονται τοῖς ἀνθρώποις, καὶ ὑπὸ τούτων αἱ χῶραι τῶν θεῶν ἐπείργονται ἀπὸ τῶν ἀνθρώπων.
53. Πεσὼν δ' ὁ Βραχμὰν, προσεκύνησε τὸν Κουνδαδδάραν, καὶ ἔλεξε πρὸς αὐτὸν ἄσμενος·

ΒΡΑΧΜΑΝ.

54. Μεγάλην χάριν ἐποίησάς μοι· οἷα γὰρ ἀγαθὰ οὐδ' ἐν νῷ ἔχουσιν οἱ δοῦλοι, ταῦτα αὐτοῖς οἱ φιλόστοργοι δεσπόται διδόασι.
55. Καθ' ὅ,τι δ' ἠνωχλήθης, ὑπ' ἐμοῦ, τοῦ νικωμένου τῇ πλεονεξίᾳ, καὶ ἀγνοοῦντος τὸ ἄκρον ἐφετὸν, συγγνώμην μοι δοῦναι ἄξιος εἶ.

ΒΗΣΜΑΣ.

56. Εἰπὼν δ' ὁ Κουνδαδδάρας, « Οὕτως ἔστω, » περιπτυξάμενος τὸν Βραχμᾶνα, ἄφαντος ἐγένετο.
57. Χάριτι δὲ τοῦ Κουνδαδδάρα καὶ τῶν θεῶν κατ' ἐξοχὴν, ἔτυχε τῆς θείας γνώσεως ὁ Βραχμὰν, ἐξ ἴσου βλέπων τὴν βῶλον, τὸν λίθον, καὶ τὸν χρυσόν.
58. Διὰ δὲ τῆς θείας γνώσεως τυχὼν τῆς τελειότητος, αἰθεροβατῶν, περιήρχετο, ὡς Θεὸς, πάντας τοὺς τόπους ἐν ἀνέσει.
59. Ἄμοιρος δ' ὢν παντὸς πάθους, καὶ προσκείμενος ἀεὶ τῇ θεωρίᾳ, δι' ὀλίγου χρόνου ἀπήλαυσε τῆς χώρας τοῦ Βισνοῦ.
60. Εἴρηταί σοι ὑπ' ἐμοῦ, ὅ,τι ἠρώτησάς με, καὶ ὅτι ἐκ τῆς

ἀρετῆς καὶ κτήματα καὶ τρυφαὶ γίνονται, καὶ ἡ ὑψίστη στάσις.

61. Ἴσθι οὖν, ὦ μέγα Βασιλεῦ, ὡς ἡ ἀρετὴ κρείττων ἐστὶ τοῦ πλούτου· ἐκ γὰρ τῆς ἀρετῆς, καὶ ὁ οὐρανὸς, καὶ ἡ λύτρωσις, καὶ ἡ χώρα τοῦ Βισνοῦ ἐπίκτητος γίνεται.

62. Ὅςτις ἐγειρόμενος περὶ τὴν ἕω, διδάσκει ταύτην τὴν θείαν ἱστορίαν, οὗτος ἐνάρετος γίνεται, καὶ τῆς ἀθανασίας τυγχάνει.

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ΄.

Περὶ ἀποστροφῆς τῶν τοῦ κόσμου.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

1. Εἰ ὁ φιλόπλουτος καὶ φιλοκερδὴς οὐ τυγχάνει πλούτου ἐκ πολλῆς φιλεργίας καὶ φιλοπονίας, τί ποιήσας, ἄνεσιν εὑρήσει;

ΒΗΣΜΑΣ.

2. Ὧτινι ἐστὶν ἡ πρὸς πάντας ἰσότης, ἡ ἀπραγμοσύνη, ἡ ἀληθολογία, ἡ ἀποστροφὴ τῶν τοῦ κόσμου, καὶ ἡ ὀρθὴ κρίσις, οὗτος ἔχει ἄνεσιν.

3. Ταῦτα τὰ πέντε λέγουσιν οἱ σοφοὶ αἴτια τῆς ἀνέσεως· οὗτός ἐστιν ὁ οὐρανὸς, καὶ ἡ λύτρωσις, καὶ ἡ ἄκρα ἡδονή.

4. Ὧτινι ἐστὶ ταῦτα, τούτου ἐν τῇ χειρί ἐστι τοῦτο τὸ πᾶν· ᾧ ἐστι στερεὰ θεοφροσύνη, τούτου ἐστὶν ὁ οὐρανός.

5. Ἐπὶ τούτου δ' ἐπάγουσι ταύτην τὴν παλαιὰν ἱστορίαν, ὅ,τι δηλονότι εἴρηκεν ὁ Μανκὴς, ἀποστροφὴν ποιήσας τῶν τοῦ κόσμου· σὺ δὲ θὲς αὐτὰ ἐν νῷ, ὦ Ἰνδδιστίρας.

6. Ὁ Μανκὴς, πλούτου ἐφιέμενος, καὶ πολλάκις ἀποτυγχά-

νων, ἠγόρασε ζεῦγος βοῶν διὰ τῶν ἐναπολειφθέντων ὀλίγων χρημάτων.

7. Φέροντες δ' οἱ βόες τὸν ζυγὸν, καὶ δαμαζόμενοι, ἔδραμον αἰφνιδίως ἐπὶ κάμηλον, καθημένην ἐν μέσῳ.

8. Ἀνας άσα δ' ἡ κάμηλος, ἄρασα κατὰ συγκυρίαν ἀμφοτέρους τοὺς ἐζευγμένους βόας, ἔφερεν αὐτοὺς δρόμῳ.

9. Ἰδὼν δ' ὁ Μανκὴς ἐκπνεύσαντας τοὺς φερομένους βιαίως βόας ὑπὸ τῆς ἰσχυρᾶς καμήλου, ἔλεξε τὰ ἑξῆς·

10. «Καὶ εὔφρων, καὶ ἀσθενὴς, καὶ φιλόπονος, καὶ ἐπιδέξιος ὢν ὁ ἄνθρωπος, οὐδαμῶς δύναται πλοῦτον κτήσασθαι, ὃς οὐκ ἔστιν εἱμαρμένος.

11. »Ἰδὲ τοῦτο τὸ ἐκ τῆς τύχης συμβάν μοι δεινὸν, φιλοπόνῳ ὑπάρχοντι, καὶ τὰ πρέποντα πράττοντι!

12. »Ἄλλως μὲν τὰ πράγματα μελετῶνται ὑπὸ τῶν φιλοκτημόνων, ἄλλως δ' αὐτὰ φέρονται ὑπὸ τῆς τύχης· αὕτη ἐς ὶν ἡ ἐμὴ δόξα.

13. »Οἳ ἐγκαταλείπουσι τὰ ὄντα κτήματα, οὗτοι ἔργον δυσέργαστον πράττουσιν· ἐγὼ δὲ καὶ τὰ μὴ ὄντα ἐγκαταλιπεῖν οὐ δύναμαι.

14. »Αὕτη μου ἡ ζωὴ, τοιαύτη οὖσα, πολύπονος ἐςὶ καὶ πανάθλιος· ἀνωφελῆ γὰρ γίνονται τὰ πολλὰ καὶ διάφορα ἐπιχειρήματά μου.

15. Ὁ ὢν δυνατὸς μὲν, ἀτυχὴς δὲ, οὐ τυγχάνει πλούτου· πλοῦτος δὲ φαίνεται παρὰ τοῖς εὐτυχέσιν, εἰ καὶ παῖδες, γυναῖκες, γέροντες, ἢ ἐμπαθεῖς ὑπάρχουσι, τουτέστιν, ἀδύνατοι.

16. »Ὁποῖον νεανίευμα τῶν ἐμπαθῶν, τῶν παίδων, τῶν γυναικῶν, καὶ τῶν γερόντων, οἳ πλοῦτον ἔχουσι; ἐξ ἀγνοίας ἄρα ὁ ἄνθρωπος πονεῖ εἰς κτῆσιν πλούτου· πᾶν ἀγαθὸν γίνεται ἐκ τῆς προτέρας ἀγαθοεργίας.

17. »Δι' ἐπῳδῆς, βίας, γνώσεως, ἢ ἀνδρείας οὐ πορίζεται τὸ ἀπόριστον ὁ ἄνθρωπος· διὰ τί οὖν τοσοῦτος πόνος εἰς κτῆσιν τοῦ ἀκτήτου;

18. »Εἰ ἐποίει ὁ φιλάρετος, ὅσα ποιεῖ ὁ ἄπορος μὲν, φιλόπλουτος δὲ, τίς ἂν εἴη ἐν κόσμῳ τληπαθής;

19. »Πόνος ἐν συλλογῇ χρημάτων! πόνος ἐν φυλακῇ συλλεχθέντων! πόνος (ἄχθος) ἐν τῇ ὀλέσει! πόνος (ἄχθος) ἐν τῇ ἀναλώσει! ὢ πλούτου πολυπόνου!

20. »Πολὺ τὸ διάφορον τοῦ ἐραστοῦ χρημάτων, καὶ τοῦ ἀνεράστου· ὁ μὲν γὰρ ἐραστὴς χρημάτων, κατώδυνός ἐστιν, ὁ δ' ἀνέραστος, γηθόσυνος.

21. »Ἀφιστάμενος οὖν πάσης θελήσεως τῆς καρδίας, καὶ ζῶν ἐκ τοῦ παρατυχόντος, οὐ καταθλίψω πάλιν ἐμαυτὸν ἐκ πλεονεξίας.

22. »Συζεύξας δὲ τὴν διάνοιαν (στερεὰν δὲ ποιήσας τὴν διάνοιαν) τῇ θεωρίᾳ, τοιαύτην ἀρετὴν συντόνως ἐργάσομαι, ὥστε οὐ τεύξομαι τοιαύτης ἐπιπόνου παλιγγενεσίας.

23. »Ὢ! ὀρθῶς ἔχει τὸ εἰρημένον ὑπὸ τοῦ Σούκα, ἀρνησαμένου πάντα τὰ τοῦ κόσμου, καὶ ἀναχωρήσαντος εἰς τὴν ἔρημον ἐκ τῆς πατρικῆς οἰκίας.

24. »Ἄλλος μὲν τρυφᾷ τρυφὰς πάσας· ἄλλος δὲ καταφρονεῖ αὐτῶν· ἀλλ' ἡ καταφρόνησις πάσης τρυφῆς, βελτίων ἐστὶ τῆς ἀπολαύσεως.

25. »Ὅστις, φιλήδονος ὢν, οὐ καταφρονεῖ τῶν τρυφῶν, ἵνα κορεσθῇ τῆς ἡδονῆς αὐτῶν, οὗτος ὄλλυται ἐκ τῆς ἡδονῆς.

26. »Οὐκ ἔστι τοιαύτη ἡδονὴ ἡδυτέρα ἐν τοῖς τρισὶ κόσμοις, οἵα ἡ ἡδονὴ τοῦ ἀρνησαμένου τὰ τοῦ κόσμου, καὶ καταφρονήσαντος πάσης τρυφῆς.

27. »Εἰδὼς τοίνυν τὸ φρόνημα ἐκείνου τοῦ Σούκα, τοῦ μεγάλου ὁσίου καὶ θεόφρονος, ἀφήσω παντελῶς τὴν ἐπιθυμίαν τῆς σαρκὸς, τὴν πηγὴν πάντων τῶν κακῶν.

28.»Οὐκ ἔστιν ἄλλος δεσμὸς ἐν κόσμῳ, ἀλλ' ἢ ὁ δεσμὸς τῆς ἐπιθυμίας· ὁ γὰρ λυτρωθεὶς τοῦ δεσμοῦ τῆς ἐπιθυμίας, οὐκ ἀναγεννᾶται ἐνταῦθα.

29.»Γινώσκω, ὦ ἐπιθυμία, τὴν ῥίζαν σου· σὺ ἔχεις τὸ εἶναι ἐκ τῆς θελήσεως τῆς καρδίας· ἐγὼ μὲν δὴ οὐ ποιήσω τὴν θέλησιν τῆς καρδίας, ἐκ δὲ τούτου σὺ οὐχ ἕξεις τὸ εἶναι.

30.»Σὺ οὐκ οἶδας, τί ἐστι εὔκτητον, καὶ τί δύσκτητον· σὺ δυσπλήρωτος οὖσα, ὡς τὸ χάος, καταθλίβεις ἐμέ ἀεί.

31.»Σοῦ νικηθείσης, νικητὸν ἅπαν γίνεται, ὡς λέγουσιν οἱ σοφοί· ὅθεν καταδαμάσω σὲ τὴν δυσνίκητον ἐχθρὰν τῆς ψυχῆς.

32.»Ὀψὲ ἐγὼ ἔγνων, ὡς ἡ αὐτάρκεια μεγάλη ἀνεσίς ἐστιν· ἀπωλεσθέντος τοῦ ζεύγους τῶν βοῶν, αὐτάρκης ἔσομαι, καὶ ἐν ἀνέσει ὑπνώσομαι.

33.»Ἀνέξομαι τῶν μὴ ἀνεχομένων, οὐδὲ τρόπον ποιήσομαι κακὸν ἀντιδιδόναι· καὶ ἀποσχὼν ἀπεχθείας, μειλιχίους λόγους λέξω, μηδαμῶς φροντίζων τῆς τῶν ἄλλων κακολογίας.

34.»Σήμερον ἐγὼ εὕρηκα τὴν καταφυγὴν, δηλονότι τὴν αὐτάρκειαν, τὴν εὐθύτητα, τὴν ἀνοχὴν, τὴν ἐγκράτειαν, τὴν ἀλήθειαν, τὴν καρτερίαν, τὴν ἱλαρότητα, καὶ τὴν πρὸς πάντας εὐσπλαγχνίαν.

35.»Ἥτε ἐν γῇ χαρὰ καὶ ἡδονὴ, καὶ ἡ ἐν οὐρανῷ, οὐκ ἔστιν οὐδὲ τὸ ἑκκαιδεκατημόριον τῆς ἐκ τῆς αὐταρκείας χαρᾶς καὶ ἡδονῆς.

36.»Ὦ πλεονεξία, ἐχθρὰ τῆς ἀποστροφῆς τῶν τῆς γῆς καὶ τῶν τοῦ οὐρανοῦ, ὑφ' ὧν σὺ ἀπεῤῥίφθης, ὡς σκύβαλον, οὗτοί εἰσιν ὑπερχαρεῖς (πανευδαίμονες).

37. Ἀφεὶς ἔγωγε τὴν ἐπιθυμίαν, τὸν φόβον, τὸν θυμὸν, τὴν ἔχθραν, τὴν πλεονεξίαν, καὶ τὸν φθόνον, εἰσδύσομαι εἰς τὸ Θεῖον, ὡς εἰς ψυχρὰν δεξαμενὴν ἐν ὥρᾳ θέρους.

38. »Ἄνευ τοῦ ἀφεῖναι ταῦτα τὰ πάθη, οὐχ εὑρίσκει ἄνεσιν ὁ ἄνθρωπος· οὐχ εὑρίσκει τὸ ὕψιστον Θεῖον, οὐδὲ γίνεται ἄφοβος, καὶ ἱλαρός· ἀφεὶς πάντα, ἐν ἀνέσει ἔσται.

39. »Ὅταν ἀπείρξω τὴν ἐξιοῦσαν ἐπιθυμίαν ἐκ τῆς καρδίας, τότε τυγχάνω τοῦ Θεοῦ· τοῦτό ἐστιν ἡ θεία φρόνησις, καὶ ἡ θεωρία· τοῦτο μόνον ἀρκεῖ, τὸ δὲ λοιπὰ περιττά.

40. Ἀφεὶς πᾶσαν τρυφὴν, καὶ καθείρξας τὴν ἐπιθυμίαν ἐν τῇ καρδίᾳ, ἐντεύξομαι τῷ ὑψίστῳ Θείῳ, οὗ ἐπιθυμοῦσιν οἱ λυτρώσεως ἐφιέμενοι.

41. »Νικήσας τὴν ἐπιθυμίαν τὴν φυσικὴν καὶ μεγάλην ἐχθρὰν τῆς ψυχῆς, τεύξομαι τοῦ ὑψίστου Θείου. Ἀπὸ τῆς σήμερον ἐγώ εἰμι ἐν ἀνέσει.»

ΒΗΣΜΑΣ.

42. Οὕτως ὁ Μανκὴς ἔσχε τὴν ἀποστροφὴν τῶν τοῦ κόσμου, ἀπολεσθέντων τῶν βοῶν· καὶ ἀφεὶς πᾶσαν ἐπιθυμίαν, ἔτυχε τοῦ ὑψίστου Θείου.

43. Ὅταν γὰρ ὁ ἄνθρωπος ἀφῇ πᾶσαν ἐπιθυμίαν, τὴν οὖσαν ἐν καρδίᾳ, τότε τυγχάνει τῆς ἀθανασίας· ἐνταῦθα οὐδεμία ἀμφιβολία.

44. Ὁ Μανκὴς, ἐνθυμούμενος τὸν ὄλεθρον τῶν μετὰ πόνου κτηθέντων βοῶν, κατεφρόνησε τῶν τοῦ κόσμου, καὶ ἀνέραστος ὢν πάσης τρυφῆς, εἰργάσατο ἀρετὴν, τὴν φέρουσαν τὰ ἐπίγεια καὶ οὐράνια ἀγαθά.

45. Διὰ δὲ τῶν ἀγαθῶν ἔργων ἔτυχε μετὰ ταῦτα τῆς μονίμου χώρας τοῦ Βισνοῦ, ἥτις ἐπίκτητος γίνεται διὰ τῆς ἐκ τῆς ἀρετῆς αὐτογνωσίας. Τί δὲ δύσκτητον τοῖς μεγαλόφροσιν ;

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Περὶ μιμήσεως ἀγαθῶν ἔργων.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Εἰπέ μοι, ὦ ἐγκρατέστατε Πάτερ, τίς ἐστιν ἡ ἀρίστη ὁδὸς τῷ πράττοντι τὰ ἀγαθὰ ἔργα, ἡ ἐκ προςαγῆς τοῦ πνευματικοῦ πατρὸς, ἢ οἴκοθεν διὰ πόνου καὶ προθυμίας;
2. Ἡ ὁδὸς τῆς ἐγκρατείας ἐστὶν ἀρίστη; ἢ ἡ ὁδὸς τῆς πράξεως τῶν νομίμων καὶ ἐθίμων; ἢ ἡ ὁδὸς τῆς θεογνωσίας καὶ θεωρίας;

ΒΗΣΜΑΣ.

3. Ἥτις ὀρθὴ κρίσις τοῦ νοὸς γίνεται διὰ πολλῶν γεννήσεων, διὰ ταύτης οἱ ἄνθρωποι μένουσιν ἐπὶ τῶν οἰκείων ἐθίμων καὶ νομίμων, καὶ ἔπειτα ἀπολαύουσι τοῦ ὑψίστου Θείου.
4. Ἀκούομεν, ὡς ὁ προφητάναξ Ναχούσσας, ὁ προγενέστερος τῶν προγόνων, ἠρώτησε τὸν ἐγκρατῆ καὶ φιλόσοφον Βοδδέαν.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

5. Τί ἠρώτησεν ὁ μέγας Βασιλεύς; καὶ τί ἀπεκρίνατο ὁ μεγαλόνους Βοδδέας; ἢ πῶς ἀποστροφὴν (ἀπόγνωσιν) τῶν τοῦ κόσμου ἐποίησεν; εἰπέ μοι, ὦ ἐγκρατέστατε.

ΒΗΣΜΑΣ.

6. Ταύτην τὴν παλαιὰν ἱστορίαν λέγουσιν, ὅ,τι δηλονότι ἠρώτησεν ὁ Βασιλεὺς Ναχούσσας τὸν ἐγκρατῆ καὶ ὅσιον Βοδδέαν.

ΝΑΧΟΥΣΣΑΣ.

7. Ποίαν ὁδηγίαν νοὸς σχὼν, οἰκεῖς τὸν κόσμον, ὡς ἄϋλος, ἀνέραστος ὢν πάσης τρυφῆς; εἰπέ μοι, ὦ ὅσιε.

ΒΟΔΔΕΑΣ.

8. Ἓξ οὗτοι ἐγένοντο ἐμοὶ διδάσκαλοι· ἡ Πιγγαλὰ, ὁ Ἀετὸς, ὁ Ὄφις, ἡ Μέλισσα, ὁ Βελοποιὸς, καὶ ἡ Νεάνις.

9. Ἡ πόρνη Πιγγαλὰ, προσδοκῶσα τὴν ἔλευσιν τοῦ ἐρωμένου ἐν ῥητῇ ὥρᾳ, ἀπέτυχε· λίαν δὲ καμοῦσα καὶ θλιβεῖσα ἐκ τούτου, σώφρων ἐγένετο, εἰποῦσα·

10. «Τὸ μὲν προσδοκᾷν μεγάλη ἐστὶ θλίψις, τὸ δὲ μὴ προσδοκᾷν μεγάλη ἄνεσις·» ἡ Πιγγαλὰ, ἀφεῖσα τὴν προσδοκίαν, ἡδέως ὑπνώττει.

11. Τὸν Ἀετὸν, ἔχοντα κρέας ἐν στόματι, ἰδόντες οἱ λοιποὶ, ἠνώχλουν, καὶ κατένυττον αὐτόν· ἀφεὶς δὲ τὸ κρέας, ἀνενόχλητος ἦν.

12. Ἡ ἔγερσις τοῦ οἴκου οὐ γίνεται εἰς ἄνεσιν, ἀλλ' εἰς θλίψιν· ὁ Ὄφις, εἰσδὺς εἰς τρώγλην, ποιηθεῖσαν ὑπ' ἄλλου, ἀναπαύεται.

13. Καθὼς ἡ Μέλισσα τὸ μέλι συλλέγει ἐκ πολλῶν καὶ διαφόρων ἀνθέων, οὕτω καὶ ὁ φρόνιμος συλλέγει τὸ ἐξαίρετον καὶ ἄριστον ἐκ πολλῶν σπουδαίων ἀνδρῶν, καὶ ἐπιστημονικῶν βίβλων.

14. Βελοποιός τις ἔχων τὸν νοῦν αὐτοῦ εἰς τὴν βελοποιΐαν, οὐκ ᾔσθετο τὸν Βασιλέα, διαβάντα πλησίον μετὰ κρότου πολλοῦ καὶ μεγάλης παρατάξεως.

15. Ἐκ μὲν πολλῶν ὁμιλίας ἔρις ἀναγκαίως καὶ μάχη γίνεται, ἐκ δὲ δυοῖν ὁμιλίας συνδιάλεξις· ἔστω (διαγέτω) οὖν ὁ φιλήσυχος μόνος, μιμούμενος τὴν Νεάνιδα ἐκείνην, ἣ συντρίψασα τὰ πολλὰ περικάρπια διὰ τὸν κρότον, ὃν

ἐποίουν συγκρουόμενα, ὅτε ἔπτισσε τὴν ὄρυζαν ἐν ὅλμῳ, ἀφῆκε μόνον ἕν.

16. Τούτων ἐγὼ τὰ ἔργα ἐμιμήθην ἀκριβῶς· ἀφεὶς δὲ πᾶσαν ἐπιθυμίαν καὶ τρυφὴν, διάγω ἐν κόσμῳ, ὡς ἄϋλος.

ΒΗΣΜΑΣ.

17. Οὕτως εἰπὼν ὁ Βραχμὰν Βοδδέας τῷ μεγάλῳ Βασιλεῖ Ναχούσσᾳ, ἀπῆλθεν εἰς τὸ ἑαυτοῦ ἀσκητήριον· ὁ δὲ Βασιλεὺς εἰς τὴν ἑαυτοῦ πόλιν.

18. Γίνωσκε, ὦ μέγα Βασιλεῦ, ὡς οἱ ἐφιέμενοι τῶν οὐρανίων ἀγαθῶν, μιμηταὶ γίνονται τῶν τοῦ διδασκάλου ἀγαθῶν ἔργων· οὕτως ὁ Βοδδέας, διάγων ἐν ἀνέσει, ἔτυχε τῆς ἀϊδίου χώρας τοῦ ὑψίστου Θείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Περὶ φρονήσεως.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

1. Ἀπάντων τῶν κτημάτων τί ἐστιν ἀνώτερον; ταύτην μου τὴν ἀπορίαν λύσαι ἄξιος εἶ, ὦ Πάτερ.

ΒΗΣΜΑΣ.

2. Οὐκ ἔστι κτῆσις ἄλλη μείζων τῆς φρονήσεως· ὁ γὰρ ἐχέφρων ἄνεσιν εὑρίσκει κἂν τούτῳ κἀν τῷ μέλλοντι βίῳ.

3. Διὰ τῆς φρονήσεως ἔτυχε τῆς θείας λήξεως (τῆς ἀθανασίας) ὁ Βαλὴς, μετὰ τὴν στέρησιν τῆς βασιλείας, ὅ,τε Πραχλάδας καὶ ὁ Ναμουσὴς, καὶ ὁ Μανκής· τί οὖν ἄλλο ταύτης ἀνώτερον;

4. Ἐπὶ τούτου ἐπάγουσι τοῦτον τὸν παλαιὸν μῦθον, τὸν διά-

λογον τοῦ Ἴνδρα καὶ τοῦ Βραχμᾶνος Κασσέπα· σὺ δὲ θὲς τοῦτον ἐν νῷ, ὦ Ἰνδδιστίρα.

5. Πλούσιός τις ἐκ τῆς Βαϊσσαϊκῆς φυλῆς, μαινόμενος τῷ πλούτῳ ἔῤῥιψε κατὰ γῆς διὰ τῆς ἐλασίας τῆς ἁμάξης Βραχμᾶνα, Κασσέπαν τοὔνομα, πεζῇ βαδίζοντα.

6. Λίαν δὲ δεινοπαθῶν καὶ στένων ὁ Βραχμὰν, ἔλεξε τάδε ἐξ ἀπογνώσεως· « Τεθνήξομαι· τί γὰρ ὄφελος ζωῆς ἐμοὶ, ἀθλίῳ ὄντι ἐν κόσμῳ; »

7. Ἐπιστὰς δ᾽ ὁ Ἴνδρας ἐν σχήματι Κυνολύκου, ἐνουθέτει αὐτὸν τὸν τάλανα, δύσθυμον (μικρόψυχον) ὄντα, καὶ γνώμην θανάτου ἔχοντα.

ΚΥΝΟΛΥΚΟΣ.

8. Ὅτε ἡ γνώμη σου κλίνει εἰς τὸ οἰκεῖον κακὸν, τουτέστιν εἰς τὴν αὐτοφονίαν, διὰ τί θλίψιν ἔχεις διὰ τὸ ὑπ᾽ ἄλλου γενόμενόν σοι κακὸν, τουτέστι διὰ τὴν ἀτιμίαν;

9. Ὅτε δὲ οὐκ ἀγαπᾷς ἐκ ψυχῆς τὰ ὑπ᾽ ἄλλων γινόμενά σοι κακὰ, ἔκκλιναι ἀπὸ τῶν πρὸς ἄλλους γινομένων κακῶν.

10. Ὅ,τι ἔπραξέ τις ἐν τῇ προτέρᾳ γεννήσει, τοῦτο ἀναμφιβόλως ἀπολαμβάνει ἐν τῇ ἐνεστώσῃ· διὰ τί οὖν, ἀνόητε θλίβῃ, ὡς πάσχων ὑπ᾽ ἄλλου;

11. Σὺ πολλὰ πάθη πάσχεις καθ᾽ ἑκάστην· διὰ τί οὖν λυπῇ ματαίως διὰ ταύτην τὴν ἀτιμίαν; ἡ ἀρετή ἐστι τὸ ἀπαλλακτικὸν (ἡ θεράπεια) τῶν δεινῶν· διὰ τί οὖν οὐ πράττεις ἀρετήν;

12. Οἳ οὐ δύνανται ἀρετὴν πρᾶξαι ἐνταῦθα, ὡς ἡμεῖς τὰ ἄλογα ζῶα, οὗτοι ἄχθονται, καὶ λυποῦνται· σὺ δὲ δυνατὸς ὢν εἰς πρᾶξιν ἀρετῆς, διὰ τί μωραίνεις;

13. Οἱ πλεονέκται ἀγαπῶσι καὶ πλουσίους καὶ πλοῦτον· τῷ δ᾽ ἔχοντι ἄφθιτον θησαυρὸν, τὴν αὐτάρκειαν, τίς χρεία πλουσίου, ἢ πλούτου;

9*

14. Οἷα ἄνεσίς ἐστι τοῖς μὴ ἔχουσιν ἔφεσιν πλούτου, καὶ ἱλαροῖς οὖσι τὴν ψυχὴν, πόθεν τοιαύτη τοῖς ἐφιεμένοις πλούτου, καὶ τῇδε κἀκεῖσε θέουσιν;

15. Ὁ ἐρασιχρήματος οὐδαμῶς κορέννυται, εἰ καὶ κτήσαιτο πᾶσαν τὴν γῆν καὶ τὰ ἐν τῇ γῇ ἀγαθὰ πάντα· τίς οὖν ἄνεσις ἐκ κτήσεως πλούτου;

16. Οἱ λέγοντες· « οὗτός ἐστιν ὁ ἐμὸς φίλος, οὗτος ὁ ἐμὸς υἱὸς, αὕτη ἡ ἐμὴ μήτηρ, » ἀφιέντες ταῦτα πάντα ἐξαίφνης, πορεύονται εἰς τὸν φρικτὸν οἶκον τοῦ ᾅδου.

17. Ἄνευ μὲν πλούτου ἀρετὴ γίνεται· ἄνευ δὲ ἀρετῆς πλοῦτος οὐ γίνεται· ἄφες οὖν τὴν ἔφεσιν τοῦ πλούτου, ὃς ὑπεξούσιός ἐστι τῇ ἀρετῇ.

18. Ἡ μὲν φιλοχρηματία μέγα κακόν ἐστιν· ἡ δὲ κτῆσις τῶν χρημάτων μεῖζον, ἡ δὲ στέρησις, μέγιστον.

19. Ὁ προσκείμενος τῇ χρηματολογίᾳ, οὐχ εὑρίσκει ἀγαθόν· ἡ γὰρ πολλὴ χρηματολογία αὐξάνει τὴν παράνοιαν.

20. Ἐκ τυράννου, ἐξ ὕδατος, ἐκ πυρὸς, ἐκ κλέπτου, καὶ ἐκ τῶν οἰκείων φόβος ἐστιν ἀεὶ τοῖς ἔχουσι πλοῦτον, καθὼς τοῖς ἔχουσι πνοὴν ἐκ τοῦ θανάτου.

21. Καθὼς τὸ κρέας καταβροχθίζεται ἐν μὲν ὕδατι ὑπὸ τῶν ἰχθύων, ἐν δὲ γῇ ὑπὸ τῶν θηρίων, ἐν δ' αἰθέρι ὑπὸ τῶν ὀρνίθων, οὕτω καὶ ὁ πλούσιος πανταχοῦ.

22. Ὁ μὲν πτωχὸς ἐπιθυμεῖ πλούτου, ὁ δὲ πλούσιος βασιλείας, ὁ δὲ Βασιλεὺς αὐτοκρατορίας, ὁ δ' αὐτοκράτωρ οἰκουμενικῆς βασιλείας·

23. Ὁ δ' οἰκουμενικὸς Βασιλεὺς ἐπιθυμεῖ τῆς στάσεως τοῦ Ἴνδρα, ὁ δ' Ἴνδρας τῆς τοῦ Βραχμᾶ, καὶ οὕτως ἀνωτέρας, καὶ ἀνωτέρας·

24. Τέλος γὰρ οὐκ ἔστι τῆς πλεονεξίας, καὶ οὐδεὶς ἀφίκετο εἰς τὸ τέλος αὐτῆς· ἄφες οὖν ταύτην τὴν ἀτελεύτητον καὶ δυσπλήρωτον πλεονεξίαν.

25. Ἡ πλεονεξία οὐ κατασβέννυται ἐκ κτήσεως πολλῶν χρημάτων, ἀλλὰ μᾶλλον ἀνακαίει, καθὼς τὸ πῦρ ἐκ ξύλων.
26. Καθὼς τὰ ἐν ὕπνῳ κτηθέντα ἐν βραχεῖ φέρουσι χαράν, οὕτω καὶ τὰ χρήματα καὶ κτήματα τῶν ἀνθρώπων.
27. Τὰ εὐτυχήματα βραχυτελῆ εἰσι, καθὼς τὰ ἐξ ἀνέμου ἀνιστάμενα κύματα τῆς θαλάσσης· καὶ οὐδεὶς ἂν ἀναπαυθείη ἐν αὐτοῖς, καθὼς οὐδ' ἐν σκιαῖς δένδρων, ἐν οἷς ἐμφωλεύουσι δράκοντες.
28. . . . . (1).
29. Οἱ φιλήδονοι, ὦ Βραχμάν, πλοῦτον ζητοῦσιν· οἱ δ' ἐχέφρονες ἐγκαταλείπουσι καὶ τὸν πλοῦτον καὶ τὰς τρυφάς.
30. Ἡ ἔφεσις τοῦ πλούτου ὀλιγωρεῖται ὑπὸ τῶν σοφῶν, ὡς οὖσα τροφὸς μεγάλων δεινῶν· ὅςις δ' αὐτάρκης ἐςὶ καὶ μένει ἐν τοῖς ἰδίοις ἐθίμοις, οὗτος ὑπερχαίρει ἐν οὐρανῷ.
31. Ἢ ὁ ἄνθρωπος ἀφίησι τὸν πλοῦτον, καὶ ἀπέρχεται, ἢ ὁ πλοῦτος τὸν ἄνθρωπον· πάντως γε τὸ ἓν ἀφίησι θάτερον, ἢ πρότερον ἢ ὕστερον· τίς οὖν ὠφέλεια ἐκ τῆς τοῦ πλούτου δίψης;
32. Ἡ φειδώ, ὁ φθόνος, ἡ ὑπόκρισις, ὁ θυμός, ἡ πλεονεξία, ὁ φόβος, ἡ ὑπερηφανία, ταῦτα πάντα τὰ δεινὰ γεννῶνται τοῖς ἀνθρώποις ἐκ τοῦ πλούτου, ὡς λέγουσιν οἱ σοφοί.
33. Πῶς ἀξιοῖς ἐκλιπεῖν τὸ ζῆν διὰ πλοῦτον, ὃς πολλὰ κακὰ ἔχει, καὶ ὑπὸ πολλῶν σοφῶν κατηγορεῖται;
34. Οἱ σοφοὶ ψέγουσι τὴν αὐτοφονίαν καὶ εὐτελοῦς καὶ τριοβολιμαίου ἀνθρώπου, πολλῷ μᾶλλον Βραχμᾶνος καὶ θεολόγου.
35. Βεβυθισμένος ἐν ἀγνοίᾳ, ὡς ἐν ὕπνῳ, ἔνθα φαίνονται καὶ ἀγαθὰ καὶ κακά, διὰ πολλοῦ ὑπνώττεις, ἀσύνετε· ἀνάνηψον νῦν!

(1) Τὸ δίστιχον τοῦτο λείπει ἐν τῷ χειρογράφῳ.

36. Εἴτις, τυχὼν βραχμανικῆς φύσεως διὰ πολλῆς σκληραγωγίας, οὐκ ἐλευθεροῖ ἑαυτὸν ἐκ τοῦ κόσμου, οὗτος ἠπατημένος ἐστί.

37. Ὤ! πόσα ἀγαθὰ ἔχουσιν οἱ ἔχοντες χεῖρας! ἡμῖν μὲν οὖν τοῖς ἀλόγοις ζώοις ἔφεσίς ἐστι χειρῶν, ὡς σοὶ αὐτῷ ἔφεσις πλούτου.

38. Ἡμεῖς τὰ ἄλογα ζῶα οὐ δυνάμεθα ἐξαγαγεῖν τὰς ἐμπεπηγείας ἀκάνθας, ὡς μὴ ἔχοντα χεῖρας, οὐδ᾽ ἀπαλλαγὴν ποιῆσαι τῶν θλιβόντων τὸ ἡμέτερον σῶμα ζωϋφίων.

39. Ἀλλὰ καὶ οὕτως, ἐγὼ οὐκ ἐφίεμαι αὐτοφόνος γενέσθαι, μήπως ἐκ τῆς αὐτοφονίας μεταπέσω εἰς ἄλλην φύσιν, μᾶλλον κακὴν καὶ μοχθηράν.

40. Σὺ οὐ πέφυκας οὔτε χοῖρος, οὔτε κυνόλυκος, οὔπε σκώληξ, οὔτε μῦς, οὔτε ὄφις, οὔτε βάτραχος, οὔτ᾽ ἄλλης τινος ἐλαχίστης φύσεως.

41. Πανευδαίμων σὺ εἶ, ὦ Κασσέπα, ὅταν βλέπω, ὡς ἄλλοι μὲν τυφλοὶ, κωφοὶ, ἀνάπηροι, ὀρφανοὶ, καὶ ἐμπαθεῖς εἰσι, σὺ δὲ ὁλομελὴς καὶ ὑγιής.

42. Διὰ ταύτην οὖν τὴν εὐτυχίαν ἄξιος εἶ σφόδρα ἐπαινεῖσθαι, μάλιστα δὲ, διότι εἶ Βραχμὰν, ἀνώτερος πάντων τῶν ἄλλων τῇ τάξει.

43. Εἰ μὲν δὴ ἀκούεις τῶν ἐμῶν λόγων, καὶ πιστεύεις αὐτοῖς, φρόντισον περὶ κτήσεως ἀρετῆς· οὐ γὰρ δεῖ γενέσθαι αὐτόχειρα.

44. Εἰ δ᾽ οὐκ ἔσται σοι τὰ πρὸς ζωάρκειαν, μετερχομένῳ τὴν ἀρετὴν, οὐκ ἔστι ςαχυολογία, καρπολογία, ἢ ῥίζαι, καὶ λάχανα τῆς γῆς εὔκτητα;

45. Οὗτινος ἡ ἀρετὴ οὐ φθίνει, ὅταν ζῇ καὶ ἐκ σταχυολογίας, οὗτος νομιζέσθω πλούσιος· οἱ γὰρ ἀγαθοὶ καὶ σπουδαῖοι πλοῦτον ἔχουσι τὴν ἀρετήν.

46. Περὶ πολλοῦ δὲ ποιοῦ τὴν τῶν Βεδῶν ἀνάγνωσιν, τὴν

πυρολατρείαν τὴν παρθενίαν, τὴν ἄσκησιν, τὸ μὴ κλέπτειν, τὸ μὴ συκοφαντεῖν, καὶ τὸ ἀνεξικακεῖν.

47. Ἄφες τὴν ψευδολογίαν, τὴν ζωοκτονίαν, τὴν πλεονεξίαν, τὴν σκολιότητα, τὴν ἀσέβειαν, τὴν ὑπερηφανίαν, τὴν ἔριν, καὶ τὰς τρυφάς.

48. Πολυπόθητός ἐστιν ὁ πλοῦτος τοῖς προσέχουσι τὸν νοῦν ταῖς ἡδοναῖς· τοῖς δὲ σοφοῖς ἀνδράσι καὶ ἀνεράστοις τρυφῶν, τί δεῖ πλούτου;

49. Εἰ δὲ, φιλήδονος ὢν, οὐ δύνασαι ὅλως παραλιπεῖν τὰς ἡδονὰς, ἄφες τὴν κοινωνίαν αὐτῶν· ὁ γὰρ ἐν σκότει ὢν, ἀσφαλέστερός ἐστι τοῦ τυφλοῦ.

50. Οὐδαμῶς ἔρως γίνεται τῷ μὴ ἔχοντι κοινωνίαν τῶν τρυφῶν· ὁ γὰρ ἔρως γίνεται ἐκ τῆς ὁράσεως, ἁφῆς, ὀσφρήσεως, καὶ ἀκοῆς.

51. Σὺ οὐδέποτε μέμνησαι τῆς γεύσεως τοῦ οἴνου καὶ τοῦ κρέατος, διότι ἄγευςος εἶ· τούτων ὅμως οὐδὲν ἂν εἴη ἄλλο ἡδύτερον.

52. Καὶ ὅσα δ' ἄλλα γευστά εἰσιν ἐν πορρωτάτοις τόποις, τούτων οὐδεμίαν ἐνθύμησιν ἔχεις, ἐπεὶ ἄγευστος εἶ.

53. Ἐκ τῆς ἐγκρατείας πασῶν τῶν αἰσθήσεων ὁ ἄνθρωπος μεγάλην ἄνεσιν εὑρίσκει καὶ ἀνάπαυσιν.

54. Ὅσον δ' ἀπέχει, καὶ ἔφεσιν οὐκ ἔχει τῶν πιπτόντων ὑπὸ τὰς αἰσθήσεις, τοσοῦτον ἄκρως ἀναπαύεται.

55. Ὅσον δ' ἀπέχει, καὶ φυλάττεται, τοσοῦτον τῶν δεινῶν ἀπαλλάττεται· ἐκ γὰρ τῆς ἀποχῆς καὶ ἀποστροφῆς οὐδὲ μικρόν τι δεινὸν ἔχει.

56. Ἀφεὶς οὖν τὰς δυσαπαλλάκτους καὶ φαρμάκῳ κεχραμμένας τρυφὰς, κάθειρξον ἐν τῇ καρδίᾳ τὰς τῶν αἰσθήσεων ἐνεργείας, καθὼς τὰς ὄρνεις ἐν τῇ κύρτῃ.

57. Ἐκ γὰρ τῶν χαλιναγωγηθεισῶν αἰσθήσεων ὁ ἄνθρωπος

τέρπεται, καθὼς ὁ διψῶν ἐκ τῶν ψυχρῶν ναμάτων, καὶ βλέπει ἑαυτὸν μὲν ἐν τῷ παντὶ, τὸ δὲ πᾶν ἐν ἑαυτῷ.

58. Ἔγκλεισον πάσας τὰς αἰσθήσεις ἐν τῇ διανοίᾳ, τὴν δὲ διάνοιαν ἐν τῷ νοΐ· τὸν δὲ νοῦν ἀνάγαγε εἰς τὸ ὕψιστον Θεῖον.

59. Θεὶς οὖν ἀκλόνητον τὸν νοῦν ἐν τῷ ὑψίστῳ Θείῳ, ταχέως εὑρήσεις ἀνάπαυσιν, καθὼς κατάσϐεσιν τὸ ἄνευ ξύλων πῦρ.

60. Εἰ δ' οὐ δύνῃ ἐννοῆσαι τὸ νοερὸν καὶ ἄϋλον Θεῖον, θὲς ἐν τῇ καρδίᾳ τὸν ἐν ὕλῃ Θεὸν καθ' ἣν ἂν θέλῃς μορφήν.

61. Οἵτινες θεωροῦσι τῷ νοΐ τὸν Θεὸν, τὸν ποιητὴν, καὶ μέγαν ἡγεμόνα τοῦ παντὸς, τούτοις φόϐος οὐκ ἔςι.

ΒΗΣΜΑΣ.

62. Ἀκούσας τούτων πάντων τῶν λόγων τοῦ Κυνολύκου ἐκεῖνος ὁ Βραχμὰν, εἶπε, θαυμάζων·

ΒΡΑΧΜΑΝ.

Εἰπέ μοι, ὦ μεγαλόνοε, τίς εἶ; Βισνοῦς; ἢ Ἴνδρας; ἢ Σίϐας;

ΚΥΝΟΛΥΚΟΣ.

63. Ἐγώ εἰμι ὁ Ἴνδρας· παρεγενόμην δ' ἐνθάδε διὰ χάριν σου· ἀφεὶς οὖν τὴν πλεονεξίαν, ἀνάστα, καὶ ἐργάζου τὰ τῆς ἀρετῆς.

ΒΗΣΜΑΣ.

64. Οὕτω νουθετήσας ἐκεῖνον τὸν Βραχμᾶνα ὁ Ἴνδρας, ἀνῆλθεν εἰς τὸν οὐρανόν· ὁ δὲ Κασσέπας πράξας, ὡς ἤκουσεν, ἔτυχε τῆς λυτρώσεως.

65. Πασῶν ἄρα τῶν κτήσεων ἡ κτῆσις τῆς φρονήσεως κρείττων λέγεται· ὁ γὰρ ἐχέφρων ἄνεσιν εὑρίσκει κἂν τούτῳ κἂν τῷ μέλλοντι βίῳ.

66. . . . . (1).

67. Προσκυνῶ ἐκεῖνον τὸν ἀΐδιον, τὸν ἄποιον, τὸν ἄϋλον, τὸν αὐτόπτην τῶν πράξεων τῶν τριῶν κόσμων, τὸν ἡγεμόνα τοῦ Παντὸς, καὶ ἀπαλλάττοντα τὸν φόβον τῶν παθῶν τῆς παλιγγενεσίας.

68. Ὁ Ἴνδρας μορφὴν λαβὼν κυνολύκου, ἦλθε νουθετήσων τὸν Βραχμᾶνα, τὸν πεπτωκότα καθ᾽ ὁδὸν, καὶ τεθλιμμένον διὰ τὴν ἀτιμίαν, καὶ ἀμετάτρεπτον γνώμην θανάτου πεποιηκότα· τῶν γὰρ μεγαλόφρων μεγάλη χάρις γίνεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ.

Περὶ ματαιότητος τῶν τοῦ κόσμου.

ΙΝΔΑΔΙΣΤΙΡΑΣ.

1. Τοῦ χρόνου τούτου παρερχομένου καὶ πάντα τὰ ὄντα καταδαμάζοντος, εἰπέ μοι, ὦ Πάτερ, « ποῖόν ἐστι τὸ ἄκρον ἀγαθόν; καὶ τί ποιητέον; »

ΒΗΣΜΑΣ.

2. Τοῦτο λέγεται τὸ ἄκρον ἀγαθὸν, ἡ πρὸς πάντα τὰ ἔμψυχα εὐσπλαγχνία, ἡ τῶν αἰσθήσεων χαλιναγωγία, καὶ τὸ φρονεῖν, ὡς πάντα μάταιά ἐστι, καὶ πρόσκαιρα.

3. Ἐπὶ τούτου δ᾽ ἐπάγουσι τοῦτον τὸν παλαιὸν λόγον, τὸν διάλογον πατρὸς καὶ υἱοῦ· σὺ δὲ θὲς αὐτὸν ἐν νῷ, ὦ Ἰνδδιστίρα.

4. Βραχμᾶνός τινος υἱὸς ἐχέφρων, Μεδδαβὴς τοὔνομα, ἠρώ-

(1) Λείπει ἐν τῷ χειρογράφῳ.

τησε τὸν ἑαυτοῦ πατέρα, προσκείμενον τῇ ἀναγνώσει καὶ διδάξει τῶν τῆς Βέδας.

ΥΙΟΣ.

5. Ἐπειδὴ ἡ ζωὴ τῶν ἀνθρώπων φθίνει ταχέως, τί ποιήσειεν ἂν ὁ φρόνιμος, καὶ ἐφιέμενος τοῦ οἰκείου ἀγαθοῦ; τοῦτό μοι εὐθέως εἰπὲ, ὦ Πάτερ, ἵνα μεγάλην ἀρετὴν ἐργάσωμαι.

ΠΑΤΗΡ.

6. Ὁ ἄνθρωπος πρῶτον μὲν ἐν παιδικῇ τῇ ἡλικίᾳ, παρθένος ὢν, μαθέτω τὰς Βέδας· εἶτα δὲ γυναῖκα γημάτω, καὶ τεκνοποιησάτω, διὰ χοὰς, καὶ μνημόσυνα τῶν προπατόρων, σπονδὰς τῷ πυρὶ ποιῶν καὶ θυσίας, κατὰ τὸν νόμον· τελευταῖον δὲ εἰς ἔρημον ἀναχωρησάτω, καὶ ὁσίως ζήτω.

ΥΙΟΣ.

7. Ἀναιρουμένου μὲν τοῦ κόσμου ὑπὸ τοῦ θανάτου, περικυκλουμένου δὲ ὑπὸ τοῦ γήρατος, καὶ ὑπὸ τῶν παθῶν κατατηκομένου, διὰ τί λαλεῖς, ὡς ἀσφαλὴς, καὶ ἀκίνδυνος;

8. Ὅτε κατὰ πάντα τρόπον ἀπαλλαγὴ οὐκ ἔστι τοῦ θανεῖν, πῶς ἂν ἐγὼ ἀναμείναιμι (προσμείναιμι), ὅς εἰμι ἐνειλημένος, ὥσπερ ἐν δικτύῳ;

9. Ἑκάστου ἡμερονυκτίου παρερχομένου, βραχυτέρα ἡ ζωὴ γίνεται· τίς καρτερίαν ἕξει, ὢν ἐν βραχεῖ βίῳ, ὡς ὁ ἰχθὺς ἐν ὀλίγῳ ὕδατι;

10. Πόθεν, ὦ πάτερ, μακρότης ζωῆς τῶν ἀνθρώπων, ὅτε καθ' ὥραν φθίνει ἐκ τῆς ταχείας φορᾶς τοῦ ἅρματος τοῦ ἡλίου;

11. Καθ' ἑκάστην στιγμὴν τὸ σῶμα τοῦτο, φθῖνον, οὐ φαί-

νεται, καθὼς ἡ μὴ ὀπτὴ στάμνος, ἔχουσα ἔνδον ὕδωρ· ὅταν δὲ διαλυθῇ, τότε φαίνεται.

12. Οὐκ ἔστιν ἄλλος ἀναίσθητος οὕτως, ὡς ὁ ἔχων ἐλπίδα σταθερὰν εἰς τὴν ζωὴν, ἥ ἐστιν ἄστατος, ὡς τὸ ὕδωρ τὸ ἐν τῷ ἄκρῳ τοῦ εὐκινήτου φύλλου τοῦ δένδρου Πιππάλα.

13. Ἅμα τῇ γεννήσει παρακολουθεῖ τῷ ἀνθρώπῳ ὅ,τε θάνατος καὶ τὸ γῆρας· καὶ ἀμφοτέροις τούτοις ὑπόκεινται κινητὰ καὶ ἀκίνητα πάντα.

14. Τίς οὖν, βλέπων τὰ τοῦ κόσμου ἄστατα, πεποίθησιν ἔχειν θέλει εἰς τὰ κτήματα, ἢ εἰς τὸ οἰκεῖον σῶμα;

15. Καί περ ἀφισταμένην, γίνωσκε παρισταμένην τὴν φθορὰν, ἐπειδὴ μέλλει γεννήσεσθαι· καὶ ὁ παρὼν γὰρ χρόνος, πρότερον ἦν ἀπών.

16. Ὁ θάνατος πλησιέστερα ἔρχεται καθ' ἑκάστην ἡμέραν ἐπὶ τὰ πνοὴν ἔχοντα, καθὼς καθ' ἕκαστον βῆμα ἐπὶ τὸν κατάδικον, τὸν ἀγόμενον εἰς τὸν τῆς καταδίκης τόπον.

17. Ἀνιστάμενος ὁ ἄνθρωπος ἑκάστοτε, τοῦτο διανοείσθω· « Τίς ἆρα κίνδυνος ἐπικρεμάμενος, σήμερον πεσεῖται; θάνατος; ἢ νόσος; ἢ ἄλλο τι δεινόν; »

18. Ἐγὼ οὐ βλέπω ἐν τούτῳ τῷ κόσμῳ, ὡς ὁ γεννηθεὶς οὐ τεθνήξεται· οὕτω δὲ βεβαιωθεὶς ὁ ἄνθρωπος, πῶς ἂν εἴη ἀσφαλής;

19. Οὔτε τὰ πάθη τοῦ σώματος, οὔτε ὁ θάνατος προσμένουσι τὴν κτῆσιν τῆς ἀρετῆς· ἐν ὅσῳ οὖν ὁ ἄνθρωπος ἔχει δύναμιν, ἐργαζέσθω τὰ τῆς ἀρετῆς.

20. Καὶ παῖς ὢν ὁ ἄνθρωπος, ποιείτω τὰ τῆς ἀρετῆς· ἡ γὰρ ζωὴ πρόσκαιρος· φόβος γάρ ἐστιν ἀεὶ τοῦ συμπτώματος τοῦ θανάτου, καθὼς τῆς πτώσεως τῶν πεπείρων καρπῶν.

21. Ὁ μὲν παῖς ἀποβλέπει εἰς τὴν νεότητα, ὁ δὲ νέος εἰς τὸ

γῆρας· εἰς τί δ' ἀποβλέπει ὁ γέρων, ὃς ἀνέβη εἰς τὰς ἀγκάλας τοῦ θανάτου;

22. Ὁ ἄνθρωπος ὀλίγον φροντιζέτω τοῦ σώματος, ἐκκαθαίρων ἑαυτὸν τῶν ἁμαρτιῶν· τὸ γὰρ σῶμα, καὶ ὑφιστάμενον σαθρὸν καὶ σαπρὸν γίνεται, καθὼς ἡ παλαιὰ ψίαθος (τὸ παλαιὸν ψιάθιον) ὑπὸ τοὺς ὄμβους.

23. Τὰ νυχθήμερα, συντέμνοντα τὴν ζωὴν τῶν ἀνθρώπων παρέρχονται ἀδιαλείπτως, καθὼς ῥέουσι τὰ ῥεύματα τῶν ποταμῶν, καὶ οὐκ ἀναστρέφουσιν.

24. Ὢ! ὁ πανδαμάτωρ οὗτος χρόνος συνάγει, ἀριθμῶν τοὺς μῆνας, τὰ νυχθήμερα, τὰς ὥρας, τὰ λεπτὰ, καὶ τὰς στιγμὰς, καθὼς ὁ τοκιστὴς τοὺς τόκους.

25. Καθὼς ὁ στερὸς καὶ ἁδρὸς οἶκος πίπτει, ὅταν ἔχῃ σαθρὸν καὶ ἀδρανὲς θεμέλιον, οὕτω καὶ ὁ ἄνθρωπος, ὅταν γένηται ὑπὸ τὴν χεῖρα τοῦ θανάτου.

26. Ἅπαντες βιαζόμενοι ἔρχονται εἰς τὴν ἐξουσίαν τοῦ πανδαμάτορος χρόνου· ἀλλ' οἱ προσέχοντες τὸν νοῦν ταῖς τρυφαῖς, οὐδαμῶς φροντίζουσι τοῦ θανάτου.

27. Ἐν ᾗ ἡμέρᾳ οὐδὲν ἀγαθὸν ἐποίησεν ὁ ἄνθρωπος, ταύτην νομιζέτω ὁ φρόνιμος ἄγονον καὶ ἄκαρπον.

28. Ἐν ᾧ λέγει ὁ ἄνθρωπος « ἡ ἐμὴ γυνὴ, ὁ ἐμὸς υἱὸς, οἱ ἐμοὶ φίλοι καὶ οἰκεῖοι, ταῦτά ἐστιν ἐμὰ, » ἁρπάζει αὐτὸν ὁ θάνατος, καθὼς ὁ λύκος τὸ πρόβατον, ἐκφωνοῦν, μέ! μέ! »

29. Ὅτε, ὦ πάτερ, ὑποκείμενος εἶ καὶ θανάτῳ, καὶ γήρατι, καὶ νόσοις, καὶ ἄλλοις πολλοῖς πάθεσι, πῶς ἵστασαι ἄφοβος, ὡς ἀγήρως, καὶ ἀθάνατος;

30. Ὢ τοῦ δεινοῦ! πῶς ἀπέθανεν ἐξαίφνης, ὃς σήμερον ὡράθη ὑπ' ἐμοῦ ὑγιής; θρῆνος ἀκούεται ἀνθρώπων, ἁρπαζομένων ὑπὸ τοῦ θανάτου!

31. Τίς οἶδε πότε ἔσεται καιρὸς τοῦ θανάτου; καὶ νέος

ἄρα ὢν ὁ ἄνθρωπος, φιλάρετος ἐστίν· ἐπειδὴ ἐφήμερος ἐστὶν ἡ ζωή.

32. Ἡ μὲν ζωὴ τέλος ἔχει τὸν θάνατον· ἡ δὲ εὐμορφία καὶ ἡ νεότης τέλος ἔχει τὸ γῆρας· ἡ δὲ εὐτυχία τέλος ἔχει τὴν δυστυχίαν· τίς οὖν, εἰδὼς ταῦτα, κλίσιν ἔχει εἰς ταῦτα;

33. Ὅστις ἔχει φίλον τὸν θάνατον, ἢ ὅστις πέφυκεν ἀγήρως καὶ ἀθάνατος, τούτῳ ἁρμόζει λέγειν τὸ, « αὔριον τοῦτο ὑπ' ἐμοῦ γενήσεται. »

34. Οὐχ ἁρμόζει ἀνθρώπῳ θνητῷ λέγειν τὸ, « οὐχὶ σήμερον, ἀλλ' αὔριον τοῦτο ποιήσω· » ἀφεύκτως ἡ αὔριον ἡμέρα ἔσεται, ἐν ᾗ ἐκεῖνος οὐκ ἔσεται.

35. Οὐδεὶς οἶδε, τί αὔριόν τινι ἔσεται· ὅθεν ὁ νουνεχὴς σήμερον πραττέτω τὰ αὔριον πραχθησόμενα.

36. Τὸ μὲν αὔριον πραχθησόμενον, σήμερον πραχθήτω· τὸ δὲ περὶ δείλην ὀψίαν, ἐν δείλῃ πρωΐᾳ· ὁ γὰρ θάνατος οὐκ ἀναμένει (οὐδὲ φροντίζει) εἴτε τὸ ἔργον τοῦ ἀνθρώπου ἐτελέσθη, εἴτε οὐκ ἐτελέσθη.

37. Ὁ θάνατος ὑπὸ τὴν ἑαυτοῦ ἐξουσίαν ποιεῖ τὸν ἄνθρωπον ἐν ᾧ φρονεῖ, καὶ λέγει ταῦτα· « Τοῦτο μὲν ἐτελέσθη· τοῦτο δὲ τελεστέον ἐστί· τοῦτο δὲ ἡμιτελὲς ὑπάρχει. »

38. Ἐμβεβυθισμένος ὁ ἄνθρωπος τῇ ἀγνοίᾳ καὶ προσπαθείᾳ, μοχθεῖ ὑπὲρ γυναικὸς καὶ παίδων, καὶ πράττων νόμιμα ἢ ἄνομα, δίδωσι τροφὴν αὐτοῖς.

39. Τοῦτον ὅμως, τὸν ἐμφυόμενον τῇ γυναικὶ, τοῖς παισὶ, καὶ τοῖς οἰκείοις, ἁρπάζει ὁ θάνατος, ἀναπηδήσας, καὶ κατατρώγει, καθὼς ἡ τίγρις τὴν ἔλαφον.

40. Ἂν οὗτος ὁ ἄνθρωπος βλέπῃ τὸν θάνατον, ἱστάμενον ἐπὶ τῆς κεφαλῆς, οὐδὲ τὸ βρῶμα οὐκ ἂν ἀρέσειεν αὐτῷ, πολλῷ μᾶλλον τὸ ἀνοσιούργημα.

41. Οἱ παντοίοις βρόχοις προσπαθείας προσφυόμενοι (περιπλακέντες), διόλλυνται ἀλυσιτελῶς, καθὼς διαλύονται αἱ ἐξ ἄμμου συμπεπηγυῖαι γέφυραι.

42. Πόσα εἰσὶν ἑκατὸν ἔτη τοῦ ἀπεράντου χρόνου; ὅστις τοίνυν τοσαύτην ζωὴν ἔχει τὴν πλέον ἐκτεταμένην, πῶς ἂν οὗτος ἀσφαλὴς εἴη;

43. Ἅπαντες οἱ ἄνθρωποι, ὅσοι δεκαετεῖς, ἑκκαιδεκαετεῖς, εἰκοσαετεῖς, καὶ τριακονταετεῖς ὑπάρχουσιν, οὐ ζῶσιν ἐπέκεινα τῶν ἑκατὸν ἐτῶν.

44. Τίνι ἔσεται πεποίθησις εἰς τὰ τοῦ κόσμου, ὃς οἶδε τὰ μὲν εὐτυχήματα, ὡς ἐνύπνια, τὴν δὲ νεότητα, ὡς ἄνθος, τὴν δὲ ζωὴν, ὡς ὠκύθοον ἀστραπήν;

45. Τί ὄφελος ἔξω ἐκ τούτου τοῦ σώματος, ὃ ἀσταθὲς ὑπάρχει, καὶ δεδίττεται τό,τε γῆρας καὶ τὸν θάνατον, καὶ παρακολουθεῖ τῇ γνώμῃ τῆς θανατηφόρου μοίρας;

46. Τίς φρόνιμος πέποιθεν ἐπὶ τὰς ἡδονὰς, ἐπὶ τὴν νεότητα, καὶ ἐπὶ τὴν ζωὴν, αἳ εἰσι παρεμφερεῖς κατὰ τὴν φύσιν τῇ ἐξ ἀχύρων φλογὶ, τῇ τοῦ χειμάῤῥου ῥοῇ, καὶ τοῖς ὀνείροις;

47. Τίς πεποίθησιν ἂν σχοίη πρὸς τὰς ἡδονὰς, πρὸς τὴν νεότητα, καὶ πρὸς τὰ λοιπὰ τούτου τοῦ κόσμου, ὅταν βλέπῃ τὸν ἄνθρωπον, ὑφαρπαζόμενον ὑπὸ τοῦ θανάτου ἄνευ προστασίας καὶ ἄνευ τοῦ εἰσακούεσθαι;

48. Οὗτος ὁ ἄνθρωπος οὐδεμίαν ἄνεσιν εὑρίσκει, περιφερόμενος ὑπὸ τῆς οἰκείας εἱμαρμένης (τῶν οἰκείων ἔργων) εἰς τὸν κόσμον, ὡς εἰς βαθὺν ὠκεανὸν, ὃς ἔχει ὡς δίνην τὸν θάνατον, καὶ ἐν ᾧ οὐκ ἔστιν οὔτ' ἔρεισμα, οὔτε καταφύγιον.

49. Ἐν ἀδημονίᾳ ἀναμένει ὁ θάνατος τὸν ἄνθρωπον, ὃς ταῦτα βουλεύεται· « Τοῦτο ἐγὼ ποιήσω· ἐκ δὲ τούτου ἐκεῖνο γενήσεται. »

50. Ἐγὼ οὐ βλέπω ἐκεῖνον, οὗ ἐγώ εἰμι· οὐδ᾽ ἔστι τις, ὅς ἐςιν ἐμοῦ· ἐγώ εἰμι εἷς μόνος· καὶ οὐδείς ἐστιν ἐμοῦ οὐδ᾽ ἄλλου του ἐγώ.

51. Μόνος ὁ ἄνθρωπος γεννᾶται· μόνος ἀποθνήσκει καὶ μόνος αὐτὸς ἀντιλαμβάνει ἀγαθὰ ἢ φαῦλα ἀνθ᾽ ὧν ἔπραξε.

52. Ῥίψαντες εἰς τὴν γῆν οἱ οἰκεῖοι τὸ νεκρὸν σῶμα, ὡς ξύλον καὶ βῶλον, ἀποστρέφονται· μόνη δ᾽ ἡ ἀρετὴ ἢ ἡ κακία συμπορεύεται τῷ τεθνεῶτι.

53. Πῶς ἵστασαι ἄφοβος, ὅταν ἀκούῃς τῶν παθῶν καὶ τοῦ γήρατος, ἅ εἰσιν ὡς φωναὶ τοῦ θανάτου, ὃς περιφέρεται εἰς τὸν κόσμον, ὡς ὁ ἄλκιμος λέων εἰς τὸν δρυμόν;

54. Πόσαι ἡμέραι εἰσὶν, ὦ πάτερ, ἐν αἷς αἰσίως διάξεις, ἔχων γυναῖκα, παῖδας, καὶ θεράποντας, πλοῦτόν τε καὶ κτήματα;

55. Ἐργάζου ἔργα ἀγαθὰ, ἐν ὅσῳ οὐ κατατήκῃ ὑπὸ τῶν παθῶν, ἐν ὅσῳ τὸ γῆρας οὐκ ἔπεστί σοι, καὶ ἐν ὅσῳ οὐ φθίνει ἡ ζωή.

56. Οἱ ἐμφυόμενοι γυναικὶ, παισὶ, καὶ οἰκείοις, διόλλυνται, καθὼς οἱ γηραλέοι ἐλέφαντες, οἱ ἐμπαγέντες τέλμασι λίμνης.

57. Ὁ μὲν δεδεμένος δεσμοῖς σιδηροῖς ἢ ξυλίνοις, λυτροῦται· ὁ δὲ περιπεπλεγμένος βρόχοις παίδων καὶ γυναικὸς, οὐ λυτροῦται.

58. Περὶ γυναικὸς καὶ παίδων οὐ δεῖ φρονεῖν ταῦτα· « πῶς ἆρα οὗτοι ζήσουσιν οἱ ταλαίπωροι (ἄθλιοι) ἄνευ ἐμοῦ; »

59. Τίνι τρόπῳ ἔμψυχόν ἐστι τὸ, ὃ βλέπεις, ἔμβρυον, ὃ πρότερον ἦν ῥανὶς γόνου ἀναίσθητος, τεθεῖσα ἐν μήτρᾳ ἐκ συνουσίας;

60. Ἐν ᾗ γαστρὶ πᾶν βρώσιμον καὶ πόσιμον πέττεται, καὶ εἰς κόπρον μεταβάλλεται, διὰ τί ἐν ταύτῃ καὶ τὸ ἔμβρυον οὐ πέττεται, ὡς ἡ τροφή;

61. Ὅ,τι τρέφει τὸ ἐν γαστρὶ ἔμβρυον, καὶ εἰς αὔξησιν φέρει, τοῦτο, ὅ ἐστι τὸ εἱμαρμένον, δώσει αὐτῷ, γεννηθέντι, καὶ ἀγαθὰ ἢ κακὰ, κατὰ τὰ προπεπραγμένα ἔργα.

62. Τίς ἀνάγκη φροντίδος καὶ διατηρήσεως ἐκείνου, ὅς ἐστι βῶλος χοὸς, καὶ ὑπεξούσιος τῷ εἱμαρμένῳ, καὶ οὐ δύναται διαφυλάξαι οὐδ' αὐτὸς ἑαυτόν;

63. Ἐκ τῶν οἰκείων ἔργων τῶν προπεπραγμένων ὁ ἄνθρωπος γεννᾶται· ἐκ τῶν οἰκείων ἔργων αὐξάνει· καὶ ἐκ τῶν οἰκείων ἔργων εὑρίσκει ἀγαθὰ ἢ κακὰ, καὶ τελευταῖον τὸν θάνατον.

64 « Ποῦ εἰμι ἐγώ; ποῖ πορευθήσομαι; τίς εἰμι ἐγώ; διὰ τί ἦλθον ἐνθάδε; τίς οἰκεῖος ἐμός; τίνος ἐγώ εἰμι; » ταῦτα λέγε ἐν σεαυτῷ.

65. Οὐδείς ἐστί σοι οἰκεῖος· οὐδὲ σύ τινι οἰκεῖος· ἡ γυνὴ, οἱ οἰκεῖοι, καὶ οἱ φίλοι εἰσὶν, ὡς ἡ κατὰ συγκυρίαν συνέλευσις ἐν ὁδῷ ὁδοιπόρων.

66. Πάλαι μὲν ἦν σοι οἰκεῖος ἄλλος· νῦν δ' ἔστι σοι ἄλλος· ἐν δὲ τῇ μελλούσῃ μετασωματώσει ἔσται σοι ἄλλος, καὶ οὕτως ἄλλος, καὶ ἄλλος πάλιν.

67. Τοιαύτης οὖν καταστάσεως ὄντος τοῦ ἀνθρώπου, τίς ἐστιν οἰκεῖος; ἢ τίς ἀλλότριος; μωρία τοῦτο καὶ ἄγνοια!

68. Ὁ ἄνθρωπος οὐκ ἐννοεῖ, ὡς περιέπλεξεν ἑαυτὸν, ὡς λίνοις, τοῖς ἐξ ἀγνοίας βρόχοις γυναικὸς καὶ παίδων, καθὼς ὁ σηρικὸς σκώληξ.

69. Οὐκ ἂν σχοίη καρτερίαν ὁ φρόνιμος ἐν τούτῳ τῷ κόσμῳ, τῷ κατακαιομένῳ ὑπὸ μεγάλου πυρὸς, τοῦ χρόνου, καθὼς οὐδ' ἐν οἴκῳ πυρπολουμένῳ.

70. Φρόντισον εἰσελθεῖν εἴς τι σπήλαιον ἐρημίας καὶ ἡσυχίας· τί γὰρ ὄφελός σοι ἐκ χρημάτων, οἰκείων, καὶ παίδων, οἳ πάντες τεθνήξονται; ποῖ ἐπορεύθη ὁ πάππος σου, καὶ ὁ πατήρ σου;

71. Ζητῶν ἀπαλλαγὴν πάντων τῶν παθῶν, κατέφυγεν εἰς τὸν Θεὸν, τὸν πανταχοῦ παρόντα, τὸν πανταχῇ διήκοντα, τὸν νοητὸν, τὸν θεωρητὸν τοῖς θεωρητικοῖς, τὸν ὑπερτελῆ, καὶ ἀειχαρῆ.

72. Οὐδέν τι δίδωσιν ὁ πατὴρ καὶ ἡ μήτηρ, οὔτε πλοῦτον οὔτε μάθησιν· ὁ γὰρ ἄνθρωπος ἀπολαμβάνει τὸν καρπὸν τῶν οἰκείων ἔργων.

73. Πανταχόθεν πάντας ὁ χρόνος ἀφαρπάζει, τοὺς ποιηθέντας ὑπὸ τοῦ Βραχμᾶ, καὶ παρακαταθήκην ἔχοντας τὸν καρπὸν τῶν οἰκείων ἔργων.

74. Καθὼς ὁ βάτραχος καταβροχθίζεται ὑπὸ τοῦ ὄφεως, οὕτω καὶ ὁ ἄνθρωπος ὑπὸ τοῦ θανάτου, κράζων, ὀδυρόμενος, ὦ! πάτερ! ὦ! οἰκεῖοι! ὦ! γύναι!

75. Παρὰ τῷ θανάτῳ ἰσοστάσιοί εἰσι πάντες, ὅ,τε σοφὸς, καὶ ὁ βάρβαρος, ὅ,τε δυνατὸς καὶ ὁ ἀδύνατος, καὶ ὁ πλούσιος, καὶ ὁ πτωχός.

76. Τό,τε γῆρας καὶ ὁ θάνατος, ὡς λύκοι, καταβιβρώσκουσι πάντας, καὶ δυνατοὺς, καὶ ἀδυνάτους, καὶ μικροὺς, καὶ μεγάλους.

77. Οὐδεὶς ἀποφεύγει τὸν θάνατον καὶ τὸ γῆρας, οὔτε διὰ τῆς δυνάμεως, οὔτε διὰ τῆς συνέσεως, οὔτε διὰ τῆς δόσεως, ἢ ἀσκήσεως.

78. Ὅτε οἱ Βασιλεῖς, οἱ νικήσαντες πᾶσαν τὴν γῆν μέχρι τῶν περάτων τῶν ἑπτὰ θαλασσῶν, οὐ νικῶσι τὸν θάνατον, τίς ἕτερος ἄνθρωπος καρτερικὸς ἔσται;

79. Ἀδιάλειπτός ἐστιν ἡ στροφὴ ἀμφοτέρων τῶν δεκαπενθημέρων τῆς πληρουμένης, καὶ φθινούσης σελήνης· ὁ δὲ θάνατος εἰς φθορὰν φέρει τὸν γεννηθέντα, καὶ οὐδεμίαν στιγμὴν τοῦ Χρόνου διαλείποι·

80. Τὸ ἡμερονύκτιον τοῦτο συνίσταται ἐξ ὡρῶν, ἡμιωρίων, μοιρῶν, λεπτῶν, καὶ στιγμῶν.

81. Οὗτος ὁ ταχυδρόμος Χρόνος φέρει τὴν ζωὴν τῶν ἀνθρώπων εἰς τὸν ἔσχατον ὅρον, καθὼς ὁ ῥοῦς τοῦ ποταμοῦ τὴν ναῦν εἰς τὸν ὡρισμένον τόπον.

82. Προχωροῦσα ἡ ἡλικία τοῦ ἀνθρώπου, οὐδ' ἐν ἀκαρεῖ τοῦ χρόνου ἵςαται· πράττε τοίνυν, ὅ,τι ἀϊδίως μένει παρὰ τῷ ἀνθρώπῳ, τῷ ὄντι προσκαίρῳ.

83. Προσκαίρου ὄντος τοῦ κόσμου, ὡς τῆς ταχείας λάμψεως τῆς ἀστραπῆς, οἵτινες ἥδονται ἐπ' αὐτῷ, οὗτοι ἄξιοί εἰσι προσκυνήσεως· ἀνδρειότατοι γάρ εἰσι πάντων.

84. Τί ἄλλο εἴπω σοι, πολυλογῶν; εἰ βλέπεις ὀρθῶς, ὄψει ὡς πρόσκαιρός ἐστιν ἡ μάθησις καὶ ἡ πρᾶξις τῶν τῆς Βέδας, ἥν με διδάσκεις.

85. Τοιαύτην οὖν ματαιότητα πάντων τῶν ἀνθρωπείων πραγμάτων εἰδὼς ἔγωγε, ἀφεὶς πᾶν ἄλλο ἐπιχείρημα, θεωρητικὸς ἔσομαι.

86. Ἀλλ' οὐδ' ὁ ἐμαυτοῦ υἱὸς λυτρώσοι με ἐκ τοῦ βυθοῦ τοῦ ᾅδου· φρονῶν δὲ τὰ θεῖα, καὶ λατρεύων τῷ Θεῷ ἐν τῇ ἐμαυτοῦ καρδίᾳ, θυσία ἔσομαι τῷ Θεῷ.

87. Ἐχέφρων Βραχμὰν οὐκ ἔστιν ἄξιος, ὡς αἱματοχαρὴς Δαίμων, θυσίας αἱμάτων θύειν, καὶ σφάγια προσφέρειν, ἅ εἰσι μάταια, καὶ ἴδια τῶν ἐκ τῆς πολεμικῆς φυλῆς.

88. Ὢν δὲ καθαρὸς τὴν καρδίαν, ἀμέτοχος αἱματοχυσίας, ἐπιθυμίας, καὶ ὀργῆς, νικητὴς τῶν αἰσθήσεων, καὶ ὅμοιος πρὸς πάντας, νικήσω τὸν θάνατον, ὡς ἀθάνατος.

89. Ἀφεὶς (Νεκρώσας) τὴν ἐπιθυμίαν καὶ τὴν ἐνέργειαν τῶν αἰσθήσεων, ἐξ ὧν ἡ καρδία πρόσκειται τοῖς ὑπὸ τὴν αἴσθησιν, ἱλαρὸς ἔσομαι τὴν ψυχὴν ἐν θεωρίᾳ.

90. Ἀνατείνας δὲ τὴν διάνοιαν καὶ τὰς αἰσθήσεις εἰς μόνην τὴν θεωρίαν, ἐν τοσούτῳ ἐγκρατὴς ἔσομαι, ἐν ὅσῳ ὁ θάνατος ἐλεύσεται.

91. Ὅταν ὁ ἄνθρωπος, καθείρξας ἐν τῇ καρδίᾳ τὴν διάνοιαν,

ἀπαλλαγεῖσαν τῆς ἐπιθυμίας τῶν ὑπὸ τὴν αἴσθησιν, ἱλαρὸς γένηται καὶ ἁγνὸς, τότε τυγχάνει τῆς ἀνέσεως καὶ τῆς ἀθανασίας.

92. Οἱ ἐσκοτισμένοι τὸν νοῦν τῇ ἐπιθυμίᾳ καὶ τῷ θυμῷ, οἱ συκοφάνται, οἱ ἀχάριστοι, οἱ ἀσεβεῖς, καὶ οἱ κακοήθεις, οὐ βλέπουσιν, ὡς μωροὶ, τὴν ἠνεωγμένην θύραν τῆς ἀθανασίας.

93. Αἱ πολλαὶ ἱπποθυσίαι, καὶ αἱ λοιπαὶ βασιλικαὶ καὶ πολυτελεῖς θυσίαι οὔκ εἰσιν οὐδὲ τὸ ἑκκαιδεκατημόριον τῆς νοερᾶς καὶ θεωρητικῆς θυσίας.

ΒΗΣΜΑΣ.

94. Ἀκούσας ὁ Βραχμὰν τοῦ λόγου τοῦ υἱοῦ, τοῦ εἰδότος τὴν τῆς ἀθανασίας ὁδὸν, οὕτω δὴ καὶ πεποίηκεν, ὡς ὁ υἱὸς αὐτοῦ εἴρηκεν.

95. Οὕτως οὖν προτραπεὶς ὑπὸ τοῦ λόγου τοῦ υἱοῦ ὁ Βραχμὰν, θεωρῶν τὸν ἐντὸς τοῦ σώματος ὄντα νοερὸν Θεὸν, ἀνέραστος ἐγένετο πάσης κοσμικῆς τρυφῆς, ἀπάθειαν σχών.

96. Διὰ τῆς θεωρίας ὁ Βραχμὰν ἔτυχε τοῦ ἀτελευτήτου καὶ ἀναλλοιώτου Θεοῦ, τοῦ περικαλλοῦς, καὶ περιλαμποῦς, τοῦ ὄντος ἐν τῷ δίσκῳ τοῦ ἡλίου, καὶ καθημένου ἐπὶ λωτοῦ, καὶ ἔχοντος ἐν χερσὶ κόγχον, καὶ τροχίσκον.

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Περὶ συμβουλῆς.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Πῶς πάλαι ἀποστροφὴν τῶν τοῦ Κόσμου ἔσχεν ὁ Σούκας, ὁ υἱὸς τοῦ Βεάσα; τοῦτο εἰπέ μοι, ὡς ἔχει, σεβάσμιε Πάτερ.

ΒΗΣΜΑΣ

2. Διδάξας ὁ Βεάσας πᾶσαν τὴν Βέδαν τὸν ἑαυτοῦ υἱὸν, ὃς ἔζη κατὰ τὴν ἀνθρωπείαν φύσιν, καὶ ἄφοβος ἦν, ἐνουθέτησεν αὐτὸν οὑτωσί·

ΒΕΑΣΑΣ

3. Ἀσπάζου, υἱὲ, τὴν ἀρετὴν, νικητὴς ὢν ἀεὶ τῶν παθῶν, τοῦτε ὀξέος ψύχους καὶ τοῦ καύματος, τῆςτε δίψης καὶ τῆς πείνης, καὶ τοῦ θυμοῦ.
4. Ὁ φρόνιμος οὐ πράττει ὅ,τι ἐστὶν ἀντικείμενον τῇ ἀρετῇ, εἰ καὶ πολὺ κέρδος ἔχει· οὐ γὰρ λέγεται ἀγαθὸν καὶ ὠφέλιμον.
5. Μόνον ἀγαθὸν καὶ ὠφέλιμόν ἐστιν ἡ ἀρετὴ, ἣ παρακολουθεῖ τῷ ἀνθρώπῳ καὶ μετὰ θάνατον· τὰ δὲ λοιπὰ πάντα φθείρονται σὺν τῷ σώματι.
6. Ἐν τῷ μέλλοντι βίῳ οὐ παρίσταται εἰς βοήθειαν ὁ πατὴρ, ἡ μήτηρ, ὁ υἱὸς, ἡ γυνὴ, ἢ ὁ συγγενὴς, μόνη δὲ παρίσταται ἡ ἀρετή.
7. Οἵτινες, παραφρονοῦντες, καταφρονοῦσι τῆς ἀρετῆς, τούτοις, τοῖς σκολιὰ ὁδεύουσι, καὶ ὁ παρακολουθῶν προσαπόλλυται.

8. Ὅς ἐστιν ἀπόστροφος τῆς ἀρετῆς, οὗτος καὶ ὄλβιος ὢν, ἄνολβός ἐστι, καὶ εὐσθενὴς, ἀσθενὴς, καὶ εὐμαθὴς, ἀμαθής.

9. Οἷς οὐκ ἔστι σκοπὸς ἡ ἀρετὴ, οὗτοι τοιοῦτοι ὄντες ἄχρηστοί εἰσιν.

10. Ἡ ἀρετή ἐστι μήτηρ, πατὴρ, συγγενὴς καὶ εὐμενής· ἡ ἀρετὴ κλίμαξ ἐστὶ τοῦ οὐρανοῦ· ἐκ τῆς ἀρετῆς τυγχάνει ὁ ἄνθρωπος τοῦ οὐρανοῦ.

11. Μόνης τῆς ἀρετῆς ὁ φρόνιμος στοχάζεται, εἰ καὶ ἡ ζωὴ αὐτοῦ κινδυνεύει· ἐκ γὰρ τῆς ἀρετῆς τυγχάνει τοῦ οὐρανοῦ· τέλος (καρπὸν) γὰρ τῆς ἀρετῆς οἱ σοφοὶ οἴδασι τὴν ἐπίτευξιν τοῦ οὐρανοῦ.

12. Τοῦτο τὸ πᾶν κινητὸν ὁμοῦ καὶ ἀκίνητον συνέχεται (κρατεῖται) ὑπὸ τῆς ἀρετῆς, ἣ ἀναφέρεται εἰς Θεὸν, καὶ ὑπ' ἐκείνου, ὃς ἀφορᾷ εἰς τὸν Θεόν.

13. Ἧ τινι ἀρετῇ ὁ Θεὸς Βισνοῦς, ἐφήδεται ὁ ἀμέτρητος τὴν φύσιν, αὕτη ἐστὶν ἀρίστη, καὶ πάντιμος.

14. Ἡ ἀρετὴ, ἣ ἐν νῷ θεωρεῖται, ἣ παρακελεύεται, ἣ ὁρᾶται, ἣ ἀκούεται, ἣ λέγεται, ἣ ἐπαινεῖται, ἀπαλλάττει πᾶν ἁμάρτημα, καθὼς ὁ ἥλιος ἅπαν τὸ σκότος τῆς νυκτός.

15. Ὁλοψύχως οὖν πράττε ἀεὶ τὴν ἀρετὴν, ὦ τέκνον, μήπως μετὰ θάνατον εἰς τὸ βαθὺ σκότος τοῦ ᾅδου πέσῃς.

16. Οἵ εἰσιν αὐτάρκεις, εὐπαίδευτοι, ἀληθεῖς, εὐθεῖς, εὔσπλαγχνοι, καὶ νικηταὶ τῶν παθῶν, τούτους καὶ θεράπευε, καὶ ἐρῶτα.

17. Δέχου τὴν γνώμην τῶν ἐγκρατῶν καὶ ἐννόμων ἀνδρῶν, καὶ ἄκρᾳ φρονήσει κράτει τῆς διανοίας, τῆς ὁδευούσης ὁδὸν σκολιάν.

18. Ἡ διάνοια πάντων τῶν ἀνθρώπων συλλέγει καὶ ἀγαθὰ καὶ κακά· σὺ δὲ ἀπὸ μὲν τῶν κακῶν εἶργε, εἰς δὲ τἀγαθὰ φέρε αὐτήν.

19. Ἄφες τὴν ἐπιθυμίαν, τὸν θυμὸν, τὸν φόβον, τὴν πλεονεξίαν, τὴν ὑπόκρισιν, τὴν ἔχθραν (ἀπέχθειαν), τὴν ὑπερηφανίαν, τὸν ὕπνον, τὸν φθόνον, τὴν ἀμέλειαν καὶ τὴν ἀσέβειαν.

20. Ἀσπάζου τὴν ἀλήθειαν, τὴν εὐθύτητα, τὴν παρθενίαν, ἀνοχὴν, καὶ τὴν ἀποχὴν τῆς κλοπῆς, τῆς σκαιότητος, καὶ τῆς ζωοκτονίας.

21. Τυχὼν τῆς δυσκτήτου ἀνθρωπείας φύσεως, ἥ ἐστι κλίμαξ ἀπὸ γῆς εἰς οὐρανὸν, πρόσεχε σεαυτῷ, ἵνα μὴ πάλιν πέσῃς.

22. Ἐκπίπτει τῆς ἧς ἔχει χάριτος ὁ Βραχμὰν, ὁ ὢν θυμώδης, πλεονέκτης, ὑπνώδης, ἀμελὴς, καὶ φιλήδονος.

23. Ὅσον οἱ φιλήδονοι ταῖς ἡδοναῖς καὶ τρυφαῖς ἔγκεινται, τοσαύτη κλίσις ἐπιγίνεται αὐτοῖς εἰς αὐτάς.

24. Οἱ ἀπατηθέντες τὸν νοῦν ὑπὸ τῶν ἡδονῶν, αἳ ἀπατῶσι τοὺς μωροὺς, πάθη καὶ δεινὰ εὑρίσκουσιν ἐν φύσεσιν ἀλόγων ζώων.

25. Ὁ ἐγκείμενος ταῖς ἡδοναῖς, οὐχ εὑρίσκει ἀγαθόν· ὅθεν ἄφες, ὦ υἱὲ τὰς ἡδονὰς, ὁλοψύχως, ὡς δηλητήρια φάρμακα.

26. Ἡ διάνοια τῶν ἀνθρώπων, ἡ ἐγκειμένη ταῖς ἡδοναῖς ἐν πολλαῖς γεννήσεσι, δυσκόλως ἀπείργεται ἀπ᾽ αὐτῶν, καθὼς ἡ κακὴ βοῦς ἀπὸ τῶν ληΐων.

27. Ἀναχαιτίσας τὴν εἰς τὰς ἡδονὰς κλίσιν τῶν ἐπαγωγῶν αἰσθήσεων, τρέφε σεαυτὸν τοῖς λειψάνοις τῶν προσφερομένων βρωμάτων τοῖς θεοῖς καὶ τοῖς ξένοις.

28. Ὁ ἄγαμος, ὁ ἔγγαμος, ὁ ὑλόβιος, καὶ ὁ ἀλήτης, ἅπαντες οὗτοι, πράττοντες τὰ ἐντεταλμένα, ἐπιτυγχάνουσι τοῦ ὑψίστου Θείου.

29. Οὐκ ἀπόλλυται ὁ Βραχμὰν, ὁ ὢν εὐθὺς, ἀσκητὴς, ὀλιγαρ-

κὴς, ὅμοιος πρὸς πάντας, ἀληθὴς, νικητὴς τῶν αἰσθήσεων, δότης, ἐγκρατὴς, καὶ ἐλεήμων.

30. Μεγάλη καὶ πλατεῖα ὁδὸς τῆς ἀρετῆς ἐδείχθη σοι ὑπ' ἐμοῦ, υἱέ· ταύτην τὴν εὐθεῖαν ὁδὸν ὅδευε προσεκτικῶς, καὶ μὴ ἄλλην σκολιάν.

31. Ὅς τις θεραπείαν τῶν παθῶν οὐ ποιεῖ ἐνταῦθα, οὗτος, ἐμπαθὴς ὢν, τί ποιήσει, πορευθεὶς εἰς τόπον, ἔνθα οὐκ ἔστιν ἄκος;

32. Ἀπέχου τῆς ἰταμότητος, τῆς ψευδολογίας, τῆς ζωοκτονίας, τοῦ ἀλλοτρίου κτήματος, τῆς ξένης γυναικὸς, τῆς διαβολῆς, τῆς κακηγορίας, καὶ τῆς κακοφροσύνης.

33. Οὐκ ἂν εἴποι ὁ φρόνιμος λόγον, ὃς κωλύει καὶ τὸν οὐρανὸν, καὶ τὴν τῆς ἀρετῆς κατόρθωσιν, καὶ τὴν κτῆσιν καὶ τρυφὴν, αἳ γίνονται ἐκ τῆς ἀρετῆς.

34. Ἐγειρόμενος ἐξ ὕπνου καθ' ἑκάστην, σκέπτου τὸν καρπὸν τῶν ἐνταῦθα ἔργων, καὶ τὰ ἐν τῷ μέλλοντι βίῳ αἴδια ἀγαθά.

35. Τὸ σῶμα τοῦ Βραχμᾶνος οὐ γεννᾶται διὰ τρυφὴν, ἀλλὰ διὰ θλίψιν μὲν μεγάλην ἐνταῦθα, ἄνεσιν δ' ἀτελεύτητον μετὰ θάνατον.

36. Ἀγάπα μὲν τὰ ἐπαινετὰ ἔργα κατὰ πάντα τρόπον, μίσει δὲ τὰ κατηγορημένα· αὕτη ἐστὶν ἡ κυρία ἀρετή.

37. Ἐγὼ μὲν ἐκτείνων τὴν χεῖρα, κραυγάζω· οὐδεὶς δ' ἐμοῦ ἀκούει· διὰ τὶ οὐ πράττεται ἡ ἀρετὴ, ἐξ ἧς γίνεται ἡ κτῆσις καὶ ἡ τρυφή;

38. Ὃς μωρόφρων ὢν, οὐ πράττει ἀρετὴν ἐν νεανικῇ τῇ ἡλικίᾳ, οὗτος ὕστερον γνωσιμαχεῖ, καθὼς ὁ ὁδοιπόρος, ὃς ἀπελείφθη τῆς συνοδίας, κοιμώμενος.

39. Οὐ δεῖ οἰκεῖν, ὦ υἱὲ, ἐν κώμῃ, ἐν πόλει, ἐν τεμένει, ἢ ἐν οἴκῳ, ἔνθα ἐστὶ παράνομος ἀνήρ.

40. Ἀεὶ ὁ φρόνιμος πραττέτω ἀρετὴν ἀόκνως· ἐλθόντος γὰρ

τοῦ θανάτου ἐξαίφνης, οὐχ οἷόν τέ ἐστιν ἀρετὴν πρᾶξαι.

41. Πράττε τὰ ἀγαθὰ ἄνευ ἀναβολῆς· ὁ γὰρ θάνατος ἀναγκαῖός σοι ἐστὶ, καὶ προσέλκει σε πάντας, ἀπράκτων ὄντων τῶν πρακτέων.

42. Τίς ἀνόητος ἐννοεῖ τὰ πάθη, τὸ γῆρας, καὶ τὸν θάνατον; οὐ γὰρ ἂν ἵστατο, ἐκάθητο, ἐκοιμᾶτο, ἢ ἐγέλα, ὥσπερ ἀσφαλής.

43. Τὸ πᾶν τοῦτο περιειλημμένον ἐστὶ γεννήσει καὶ θανάτῳ, καὶ πολλοῖς ἄλλοις δεινοῖς, καὶ πάθεσιν· ἄφες οὖν τοῦτον τὸν μάταιον κόσμον, ὡς μίαν ἔρημον.

44. Οἱ μὲν συγγενεῖς, ἀγχιστεῖς, καὶ οἰκεῖοι ἀναστρέφουσιν οἴκαδε ἐκ τοῦ νεκρικοῦ τόπου· σὺν δὲ τῷ θανόντι πορεύεται, ὅ,τι ζῶν ἔπραξε· πράττε οὖν ἀγαθά.

45. Ὀλιγοχρόνιός ἐστιν ἡ ζωὴ τῶν ἀνθρώπων· ταύτης δὲ τὸ ἥμισυ ὁ ὕπνος ὑφαιρεῖται· ἀλλὰ καὶ αὐτὸ τὸ ἥμισυ ἀνωφελές ἐστιν, ὑποκείμενον παιδικῇ τε καὶ γεροντικῇ ἡλικίᾳ, καὶ πολλοῖς πάθεσι, καὶ ἄχθεσιν.

46. Οἱ μωροὶ καὶ ἐλάχιστοι τῶν ἀνθρώπων ἀποθνήσκουσι μὲν, ἵνα γεννῶνται, γεννῶνται δὲ, ἵνα ἀποθνήσκωσι, καθὼς ὁ χόρτος, οὐχὶ δὲ, ἵνα κτήσωνται ἀρετὴν καὶ ἀθανασίαν.

47. Βλέπεις ἁρπαζομένους ὑπὸ τοῦ θανάτου ὁμογενεῖς, ὁμήλικας, καὶ ὁμοιομόρφους· ἀλλ᾽ οὐδείς σοι ἐστὶ φόβος· ἡ γὰρ καρδία σου σιδηρᾶ ἐστι.

48. Ἐν ἑκατὸν ἀνθρώποις οὐδείς ἐστιν ἑκατονταετής· ἡ ἑκατονταετία κενὴ ἐλπίς ἐστι τοῖς ἀνθρώποις· ἡ γὰρ μεγίστη ζωὴ, ἑβδομήκοντα ἔτη.

49. Τοῦ μὲν σώματος ὄντος δίκην πομφόλυγος, τῆς δὲ ζωῆς δίκην ὄρνιθος, προσκαίρου δὲ τῆς μετὰ τῶν ἐφετῶν οἰκήσεως, πῶς ὑπνοῖς, ὦ υἱέ;

50. Τὸ μὲν ἀνωφελὲς ὠφέλιμον νομίζεις, τὸ δ᾽ ἀβέβαιον βέ-

βαιον, τὸ δ' ἄχρηστον χρήσιμον· διὰ τί τὸ οἰκεῖον ἀγαθὸν οὐκ ἐννοεῖς;

51. Ὁ υἱὸς, ἡ γυνὴ, οἱ οἰκεῖοι, τὸ σῶμα, καὶ πάντα τὰ λοιπὰ κτήματα, ἀβέβαιά ἐστι καὶ ἀλλότρια· σὰ δ' ἐστὶ τὰ ἀγαθὰ ἢ φαῦλα ἔργα.

52. Ὁ ἀεὶ δύων καὶ ἀνατέλλων ἄφθαρτος ἥλιος εἰς φθορὰν φέρει τὰ τῶν ἀνθρώπων πάντα, ἤτοι εὐτυχήματα, ἢ δυστυχήματα.

53. Ὁ θάνατος καταβιβρώσκει τὸν ἄνθρωπον, διαπεπαρμένον ὑπὸ τῆς πλεονεξίας, ὥσπερ ὑπ' ὀβελίσκου, καὶ ἀληλιμμένον ὑπὸ τῆς τρυφῆς, ὥσπερ ὑπὸ βουτύρου, καὶ ὠπτημένον ὑπὸ τοῦ φίλτρου καὶ μίσους, ὥσπερ ὑπὸ πυρός.

54. Διὰ τί οὐ βλέπεις, ὅτι αἱ παρερχόμεναι ἡμέραι, ὥσπερ προπίπτοντα τμήματά εἰσι τῆς ζωῆς σου, ἃ κατατέμνεται ὑπὸ τοῦ θανάτου;

55. Τίς, ὦ υἱὲ, οὐκ ἀπόλλυται, ὅτε ἄφοβός ἐστιν ἐν τόπῳ ἐπικινδύνῳ, καὶ ἀπράγμων ἀντὶ τοῦ πολλὰ πράττειν, καὶ ὑπνοῖ ἀντὶ τοῦ ἀγρυπνεῖν;

56. Πῶς μόνος ὁδὸν ὁδεύσεις, ἐν ᾗ σκότος βαθύ ἐστι, καὶ οὐδεὶς ἀκούει, οὐδὲ χεῖρα δίδωσι, καὶ ἐν ᾗ οὔτ' ἐφόδιον ὑπάρχει, οὔτε τόπος ἀναπαύσεως;

57. Ἐπειδὴ εἰς σκότος δεῖ εἰσελθεῖν, ἔχε πάσῃ φροντίδι λύχνον, οὗ γαστὴρ μέν ἐστιν ἡ ἀλήθεια, ἔλαιον δὲ ἡ ἄσκησις, θρυαλλὶς δὲ ἡ εὐσπλαγχνία, φλὸξ δὲ ἡ ἀνεξικακία.

58. Πῶς καρτερίαν ἔχεις ἐνειλημένος ἐν τοῖς τοῦ κόσμου πάθεσιν, ὡς ἡ ἔλαφος ἐν ἄρκυσιν; ἀπελεύσεσθαι μέλλεις ἀναγκαίως, καταλιπὼν πάντα.

59. Ὅτε θάνατος, γῆρας, νόσοι, καὶ πάθη πολυειδῆ συμφυῆ ἐστι τῷ σώματί σου, πῶς ἵστασαι, ὥσπερ ἀσφαλής;

60. Πῶς ἄνεσιν ἔχει ὁ ἄνθρωπος, ὢν ἐν τῷ πολυδείνῳ κό-

σμῳ, ὡς ὁ ἰχθὺς ἐν δικτύῳ; ὁ θάνατος παρίσταται τῷ ἀνθρώπῳ, καὶ ἱσταμένῳ, καὶ κινουμένῳ.

61. Διὰ τί οὐ βλέπεις ἐρχόμενον τὸν θάνατον, ὡς ἐχθρὸν ὁπλοφόρον, οὗ τὸ μὲν γῆράς ἐστιν ὁδηγὸς, τὰ δὲ χαλεπὰ πάθη στρατός;

62. Οὐδεὶς ἀκολουθήσει σοι, ἀπερχομένῳ· μόνῳ δεῖ σοι πορευθῆναι, παραλαβόντι μετὰ σεαυτοῦ, ὅ,τι ἀγαθὸν ἢ κακὸν ἔπραξας.

63. Ἀποθανὼν ὁ ἄνθρωπος, παραλαβὼν ὅ,τι ἀγαθὸν ἢ κακὸν ἔπραξεν, ἄλλῃ πῃ πορεύεται· οἱ δὲ συγγενεῖς, καὶ οἰκεῖοι, καὶ φίλοι, ἄλλῃ πῃ πορεύονται.

64. Οὐ συμπορεύονται τῷ ἀνθρώπῳ οὔτε φίλοι, καὶ οἰκεῖοι, οὔτε υἱοὶ, καὶ γυνὴ, ἢ ἄλλα κτήματα, φροντίδι κτηθέντα· ἐξαίφνης καταλιπὼν πάντα τὰ ἐφετὰ, ἀπέρχεται, ἀποληψόμενος τὸν καρπὸν τῶν ἑαυτοῦ ἔργων.

65. Μητέρες, πατέρες, γυναῖκες, καὶ υἱοὶ, μυρίοι μυριάκις γενόμενοι, παρῆλθον· τίνος εἶ σύ; ἢ τίνος εἰσὶν ἐκεῖνοι;

66. Οὔτ' ἐκείνων χρεία σοι ἐστὶν, οὔτε σοῦ χρεία ἐστὶν ἐκείνοις· μόνοι ἐκεῖνοι ἀπῆλθον· μόνος καὶ σὺ ἀπελεύσῃ.

67. « Τοῦτο ποιήσω ἐν τῇ ὥρᾳ τῶν ὄμβρων· τοῦτο ἐν τῷ θέρει, κἀκεῖνο ἐν τῷ χειμῶνι· » ταῦτα ἔχεις ἐν διανοίᾳ· οὐκ ἐννοεῖς ὅμως, ἀνόητε, τὰ ἐν μέσῳ συμπίπτοντα.

68. Καὶ βλέπων, προσκόπτεις· καὶ ἀκούων, οὐ συνίῃς· καὶ συνετὸς ὢν, δελεάζῃ ὑπὸ τῶν ἐπαγωγῶν αἰσθήσεων.

69. Ἰδὲ τοὺς τάλανας ἀνθρώπους, ἐμπεριειλημμένους τοῖς βρόχοις τῆς ἀγνοίας, ὡς τοὺς ἰχθῦς τοῖς δικτύοις τοῦ ἁλιέως.

70. Ὁ κόσμος οὗτος σχοινίον ἐστὶ, δέον τὸν ἔχοντα προσπάθειαν καὶ κλίσιν εἰς αὐτόν· ὁ μὲν ἀγαθοποιὸς, ἐκκόπτων τὸν δεσμὸν, ἀνέρχεται εἰς τὸν οὐρανόν· ὁ δὲ κακοποιὸς οὐ δύναται ἐκκόψαι αὐτόν.

71. Ἐπιβὰς τῆς ἀληθείας, τῆς αὐταρκείας, τῆς εὐθύτητος, τῆς ἱλαρότητος, τῆς ἀσκήσεως, καὶ τῆς ἀποχῆς τῆς ζωοκτονίας, ὥσπερ νηὸς, διάπλευσον ἐπιμελῶς τοῦτον τὸν κόσμον, ὡς πέλαγος.

72. Μεγάλου κινδύνου ἀνεγερθέντος, ἀνάστα· τί κάθησαι; ποίησον μεγάλην καὶ σκληρὰν ἄσκησιν, τὴν ἀναιροῦσαν τὸν κίνδυνον.

73. Οὔτε υἱοὶ, οὔτε γυνὴ, οὔτε οἰκεῖοι, οὔτε ὁμόφρονες φίλοι ἐπακολουθήσουσιν ἐν θανάτῳ· μόνος δὲ σὺ πορευθήσῃ.

74. Ὅ,τι ὁ ἄνθρωπος αὐτὸς ἔπραξεν, ἤτοι ἀγαθὸν ἢ κακὸν, τοῦτο μόνον σύνεστιν αὐτῷ, ἀποθανόντι.

75. Οὐδαμῶς ἄλλοι ἐν τῷ μέλλοντι βίῳ μετέχουσι τῶν ἀγαθῶν ἢ κακῶν ἔργων, ὧν ἔπραξεν ὁ ἄνθρωπος, ἀλλὰ μόνος αὐτὸς ἀπολαμβάνει τὸν καρπὸν τῶν οἰκείων ἔργων.

76. Τί ὄφελος ἐξ οἰκείων, ἢ ἀλλοτρίων; μόνος γὰρ αὐτὸς ὁδεύσεις τὴν μετὰ θάνατον ὁδὸν, καὶ οὐδεὶς ἕτερος συνοδεύσει σοι.

77. Ἡ μὲν ὄρυζα ἕψεται εἰς βρῶσιν τοῦ ἀνθρώπου· ὁ δ' ἄνθρωπος ἀποθνήσκει πρὶν τῆς ἑψήσεως τῆς ὀρύζης.

78. Παρῆλθεν ἡ παιδικὴ ἡλικία ἑκκαίδεκα ἐτῶν, καὶ ἦλθεν ἡ νεανικὴ ἡλικία εἴκοσι καὶ πέντε ἐτῶν· ἀλλὰ καὶ αὕτη παρέρχεται· συλλογὴν οὖν ποίησον ἀρετῆς.

79. Τὸ γῆρας σαθρὸν ποιεῖ τοῦτό σου τὸ σῶμα, καὶ εἰς φθορὰν φέρει τὸ εὐσθενὲς, τὸ εὐμελὲς, καὶ τὸ εὐειδές· θησαύρισον οὖν ἀρετήν.

80. Ἐκεῖνον τὸν πλοῦτον κτῆσαι, ὃς οὔτε ὑπὸ τυράννου ἁρπάζεται, οὔτε ὑπὸ ληστοῦ ληΐζεται, οὐδ' ἀποθανόντος γε τοῦ ἀνθρώπου ἀπαλλάττεται.

81. Χιλιάκις, ὦ υἱὲ, λέγω σοι τοῦτο· « ἐργάζου τὰ τῆς ἀρετῆς ἐπιμελῶς· πρόσκαιρος γάρ ἐστιν ἡ ζωή. »

82. Οὐκ ἔστιν οἰκεῖος, ἢ φίλος τοιοῦτος, οἷα ἡ ἀρετή· οὐκ

ἔστι κτῆσις ὁμοία τῇ ἀρετῇ· οὐκ ἔστι δόξα ἀνωτέρα τῆς ἀρετῆς.

83. Ὅστις καὶ βλέπων ἔμπροσθεν τὸν θάνατον, οὐ πράττει τὰ τῆς ἀρετῆς, τούτου ἡ γέννησις ἄχρηστος καὶ ἀλυσιτελής ἐστιν, ὡς ὁ ἐπὶ τοῦ λαιμοῦ τῆς αἰγὸς μαστός.

84. Εἰ καὶ σχολὴν οὐκ ἔχεις, ὦ υἱέ, πράττε ἀρετὴν ἐν τῷ μεταξύ· καὶ ὁ βοῦς γὰρ, καί περ δεδεμένος περὶ τὸν δῖνον τῆς ἅλω, ἁρπάζει ἄχυρα ἐν τῷ μεταξὺ εἰς τροφήν.

85. Καὶ μιᾶς γε ἡμέρας παρελθούσης ἄνευ πράξεως ἀρετῆς, δεῖ τῷ ἀνθρώπῳ ἐλεεινολογεῖν ἐπὶ πολὺ, ὡσπερεὶ ἐσυλήθη ὑπὸ λῃστῶν.

86. Ὡς ἐπὶ τὸ πολὺ, τῷ ἀπέχοντι τῆς κακίας, καὶ προσκειμένῳ τῇ ἀρετῇ, θεοφροσύνη γίνεται· ἐκ δὲ τῆς θεοφροσύνης τυγχάνει, τῆς ἀθανασίας.

87. Ὁ προσκείμενος τῇ ἀρετῇ, καὶ ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ, καὶ μὴ ἀποβλέπων εἰς τὸν καρπὸν τῶν ἔργων· τυγχάνει τῆς ἀθανασίας.

ΣΟΥΚΑΣ.

88. Πολυειδῶς ἐδιδάχθη μοι ὑπὸ σοῦ, ὦ θεσπέσιε τὰ τῆς ἀρετῆς, καὶ τὸ πρόσκαιρον τῶν ἀνθρώπων· νῦν δ' ἄξιος εἶ εἰπεῖν μοι καὶ περὶ αὐτῆς τῆς ἀθανασίας.

ΒΕΑΣΑΣ.

89. Οὐ τυγχάνει ὁ ἄνθρωπος τῆς ἀθανασίας ἄνευ τῆς ἐγκαταλείψεως τῶν τοῦ κόσμου, ἄνευ τῆς χαλιναγωγίας τῶν αἰσθήσεων, καὶ ἄνευ τῆς σκληραγωγίας, καὶ τῆς τῶν ὄντων γνώσεως.

90. Οὗτος ἐν ὀλίγῳ ἀθάνατος γίνεται, οὗ ἡ μὲν ζωή ἐστι δι'

ἀρετὴν, ἡ δ' ἀρετὴ διὰ γνῶσιν τῶν ὄντων, ἡ δὲ γνῶσις τῶν ὄντων διὰ θεοφροσύνην.

91. Ἡ ἐγκατάλειψις πάντων τῶν ἐφετῶν, ἡ ἀνοχὴ τῶν φύσει ἐναντίων, καὶ ἡ πρὸς πάντας ταὐτότης, ὁδός ἐστι μεγάλη τῆς ἀθανασίας.

92. Ἐγκαθειργνύων ἐν ἑαυτῷ τὰς αἰσθήσεις καὶ τὴν διάνοιαν, καὶ ἀναβιβάζων τὸν νοῦν αὐτοῦ εἰς θεωρίαν, καὶ μόνος ἀεὶ ὢν, τυγχάνει τοῦ ὑψίστου Θείου ὁ ἄνθρωπος.

93. Δι' ἔντευξιν τοῦ Θεοῦ γίνεται ἡ γνῶσις τῶν ὄντων, καὶ ἡ μεγάλη ἄσκησις, καὶ θεωρία· ἡ ἔντευξις τοῦ Θεοῦ τὸ τελικόν ἐστιν αἴτιον.

94. Ὅτε ὁ ἄνθρωπος θεωρίαν συντείνει εἰς Θεὸν, καὶ οὐδεμίαν διαφορὰν βλέπει τῆς οὐσίας τῆς ἑαυτοῦ ψυχῆς καὶ τῆς τοῦ Θεοῦ, τότε ἀληθῶς ἐστι θεωρητικός· τὰ γὰρ τῆς πρακτικῆς ἀρετῆς ὀργανικὰ καὶ τελικά ἐστιν αἴτια τῆς θεωρετικῆς.

95. Εἰς ταύτην τὴν θεωρίαν ἀτενῆ ἀεὶ ἔχε τὴν διάνοιαν· μηδὲ ζήτει τὰ τοῦ κόσμου (τὰ τῆς ὕλης)· ταῦτα γὰρ αἴτιά ἐστι τῆς ἀποτυχίας.

ΒΗΣΜΑΣ.

96. τούτου τοῦ λόγου ἀκούσας ὁ Σούκας, ἀνεχώρησεν, ἐγκαταλιπὼν τοὺς ἑαυτοῦ γονεῖς, ἀφορῶν εἰς τὴν ἀθανασίαν.

97. Ἐπορεύθη δ' εἰς τὴν ἔρημον ἐπ' ἀσκήσει, ἀνέραστος ὢν τῶν τοῦ κόσμου (ὑλικῶν), ἐξ ἴσου βλέπων πάντας, καὶ προσκείμενος τῇ θεωρίᾳ.

98. Προσκυνήσας τὸν Θεὸν, καὶ τὸν πατέρα αὐτοῦ, τὸν ὅσιον ἄνδρα, αὐτὸς ὁ μεγαλόφρων καὶ φιλάρετος, ἀνεχώρησεν, ἔχων τὴν ἐνέργειαν τῶν αἰσθήσεων καὶ τῆς διανοίας αὐτοῦ εἰς αἴτησιν τῆς ἄκρας ἡδονῆς.

99. Καὶ σὺ οὖν, ὦ μέγα Βασιλεῦ, γνοὺς (μαθὼν) τὴν πρὸς

τὸν Σούκαν συμβουλὴν, ἔσο ἀεὶ προσκείμενος τῇ θεωρίᾳ, ἵνα τύχῃς τῆς ἀθανασίας.

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

100. Τοιαῦτα ἀκούσας παρὰ τοῦ Βήσμα ὁ Ἰνδδιστίρας, λίαν ἐχάρη· καὶ πράττων τὰ τῆς ἀρετῆς, εἶχε τὴν διάνοιαν αὐτοῦ ἀτενῆ εἰς μόνην τὴν θεωρίαν.

101. Ὅστις ἀκούει ἀεὶ τούτων τῶν ῥηθέντων ὑπὸ τοῦ Βεάσα, οὗτος, ἀπαλλαγεὶς τῶν ἁμαρτιῶν, τυγχάνει τοῦ ὑψίστου Θείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Περὶ γεωδοσίας.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

1. Ἐπειδὴ ἡ μὲν Βέδα προστάττει πολυειδεῖς δόσεις, οἱ δὲ Βασιλεῖς πολλὰ δύνανται δοῦναι, τί ἐστι τὸ ἐξαίρετον, ὃ δοθείη ἂν παρ᾽ αὐτῶν τῶν Βασιλέων;

ΒΗΣΜΑΣ.

2. Ἁπασῶν τῶν δόσεων ὑπερτέρα λέγεται ἡ γεωδοσία· ταύτην γὰρ οἱ σοφοὶ λέγουσιν ἁπασῶν τῶν ἁμαρτιῶν ἀπαλλακτικὴν, καὶ τοῦ οὐρανοῦ πρόξενον.
3. Ὅτι ἐν τῇ γεωδοσίᾳ ἅπασαι αἱ δόσεις ἐμπεριέχονται, οὐδεμία ἀμφιβολία· ὅθεν ὁ γεωδότης, παντοδότης λέγεται ὑπὸ τῶν σοφῶν.
4. Ὁ δοὺς γῆν, πάντα ταῦτα ἔδωκε, χρυσὸν, ἄργυρον, ἱμάτια, καὶ πολυειδεῖς καρπούς.
5. Ὁ δοὺς γῆν, ἔδωκε λίμνας, φρέατα, δένδρα καρποφόρα,

καὶ ἀνθοφόρα, καὶ πάντα τὰ ὑγρὸν χυμὸν ἔχοντα· πάντα γὰρ ταῦτα τῆς γῆς εἰσι γεννήματα.

6. Ὅς ἂν δῷ γῆν πάμφορον καὶ ληϊοφόρον (εὐλήϊον), τούτου ἡ ἐν οὐρανῷ στάσις (μονὴ) διαμένει, ἕως οὗ ἡ γῆ μένει.

7. Οὐ τοιαύτης ἀμοιβῆς τυγχάνει ὁ θύσας θυσίας πολυτελεῖς καὶ πολυειδεῖς, οἵας ὁ γῆν δούς.

8. Οἱ ἀσκηταὶ, οἱ θύται, οἱ ἀληθοεπεῖς, οἱ πολυμαθεῖς, οἱ φιλοδιδάσκαλοι, καὶ οἱ φιλόθεοι, οὐχ ὑπερτεροῦσι τοῦ γεωδότου.

9. Οἱ ῥιψοκινδυνεύσαντες, καὶ ἀναιρεθέντες ἐν πολέμῳ ὑπὲρ τοῦ οἰκείου δεσπότου, εἰς οὐρανὸν ἐλθόντες οὐχ ὑπερτεροῦσι τοῦ γεωδότου.

10. Οἱ τὰ ἀρχαῖα εἰδότες, τοῦτον τὸν ἀρχαῖον λέγουσι λόγον, οὗ ἀκούσας ὁ Παρασσουράμας, ἔδωκε πᾶσαν τὴν γῆν τῷ Κασσέπᾳ.

11. «Ἐμὲ μὴ δοὺς, οὐ τεύξῃ ἐμοῦ· ἐμὲ δοὺς, τεύξῃ ἐμοῦ (δηλονότι μεγάλης δόξης) ἔντε τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι βίῳ· δίδοτε οὖν ἐμὲ, ὦ ἄνθρωποι[1]. »

12. Ὅς δίδωσι τὴν γῆν, οὗτός ἐστιν ἥρως, ἀνδρεῖος, πεπαιδευμένος, ἐγκρατὴς, ἀγαθουργὸς καὶ μεγαλουργός.

13. Οἱ τοῦ ᾅδου ὑπηρέται, αἱ ποιναὶ, ἡ ὀξεῖα θερμότης τοῦ πυρὸς, καὶ οἱ δεινοὶ βρόχοι οὐ προσέρχονται τῷ γεωδότῃ.

14. Ὁ δοὺς Βραχμᾶνι γῆν, πᾶν ἀγαθὸν φέρουσαν, πάντα τὰ ἐν οὐρανῷ ἀγαθὰ ἀπολαμβάνει, ἕως οὗ διαμένει ἡ γῆ.

15. Πάντων τῶν ἐφετῶν τυγχάνει ὁ δοὺς εὔφορον γῆν Βραχμᾶνι, εἰδήμονι τῶν τῆς Βέδας, πτωχῷ ὄντι, πολλοὺς τρέφοντι, καὶ ἐν ἀπορίᾳ (κακουμένῳ) ὄντι.

16. Ὅς δίδωσι γῆν Βραχμᾶνι, εἰδότι τὰ τῆς Βέδας, εὐ-

(1) ἡ γῆ λέγει ταῦτα.

γνώμονι ὄντι καὶ εὐσεβεῖ, οὗτος καρπὸν (μισθὸν) ἄφθαρτον (ἀΐδιον) ἀντιλαμβάνει.

17. Ἐπὶ τούτου ἐπάγουσι ταύτην τὴν παλαιὰν ἱστορίαν, τὸν διάλογον τοῦ Βριχασπατοῦ, καὶ τοῦ μεγαλοδυνάμου Ἴνδρα.

ΙΝΔΡΑΣ.

18. Ἐκ τίνος δόσεως, ἧς τὸν καρπὸν ἄθφιτον, λέγουσι, χαίρει ἡδέως ὁ ἄνθρωπος, ἐλθὼν εἰς οὐρανόν; τοῦτο εἰπεῖν μοι ἄξιος εἶ.

ΒΡΙΧΑΣΠΑΤΗΣ.

19. Πάλαι ὁ ἐμὸς Πάππος Βραχμᾶς ἐρωτηθεὶς, εἶπεν ὡς οὐδεμία ἄλλη δόσις κρείττων ἐστὶ τῆς γεωδοσίας.

20. Ὁ δοὺς γῆν ἔγκαρπον, διασώζει τοῦ ᾅδου ἕνδεκα ἀγχιστεῖς, ἓξ προγόνους, καὶ πέντε ἐπιγόνους.

21. Ὅστις δίδωσιν ἀξίῳ Βραχμᾶνι γῆν, ἔχουσαν λήϊα ἐκ σακχαροκαλάμων, κριθῆς, ἢ σίτου, οὗτος οὐκ ἐκπίπτει τοῦ οὐρανοῦ.

22. Τῆς γεωδοσίας ἄνθη μέν ἐστιν κλίναι λαμπραὶ, θρόνος, σκιάδιον, καλοὶ ἵπποι, καὶ καλαὶ γυναῖκες, καρπὸς δὲ ὁ οὐρανός.

23. Καθὼς αὔξησις τῆς σελήνης γίνεται καθ' ἑκάστην ἡμέραν, οὕτω καὶ ὁ μισθὸς τῆς γεωδοσίας αὐξάνει ἐν ἑκάστῳ καρπισμῷ.

24. Ὅ,τι ἁμάρτημα πράττει ὁ ἄνθρωπος, βιαζόμενος, ἅπαν τοῦτο ἐξαλείφεται διὰ τῆς γεωδοσίας, εἰ καὶ ὀλίγη τυγχάνει οὖσα.

25. Ὁ ἐμβρυοκτόνος, ὁ βραχμανοκτόνος, ὁ βοοκτόνος, ὁ πατροκτόνος, καὶ ὁ ἐπιβὰς τοῦ λέχους τοῦ διδασκάλου, ἀπαλλάττεται τοῦ ἐγκλήματος, γῆν πάμφορον δούς· ἐνταῦθα οὐδεμία ἀμφιβολία.

26. Ἐν ἀνέσει διάγει ὁ ἄνθρωπος, ὁ δωρούμενος γῆν (εἰς τροφὴν) Βραχμᾶνι ἀπόρῳ, πολλοὺς οἰκείους τρέφοντι, εἰδήμονι τῆς Βέδας ὄντι, καὶ πυρολάτρῃ.

27. Κἂν μέγα ἁμάρτημα πράξῃ ὁ ἄνθρωπος, δοὺς ὅμως γῆν Βραχμᾶνι, ἀπαλλάττει ἐκεῖνο τὸ ἁμάρτημα, καθὼς ὁ ὄφις τὸ γηραλέον δέρμα, τὴν λεβηρίδα.

28. Οὗτινος ἡ μὲν μάθησίς ἐστι διὰ τὸν Θεὸν (εἰς γνῶσιν τοῦ Θεοῦ), ὁ δὲ νοῦς εἰς θεωρίαν τοῦ Θεοῦ, καὶ οὗτινος ἐν τῇ καρδίᾳ ἐστιν ὁ παντουργὸς Θεός,

29. Τούτῳ δοτέα ἐστὶ γῆ πάμφορος· καὶ γάρ, κατὰ τὴν ἐμὴν γνώμην, οὐκ ἔστιν ἄλλος ἀξιώτερον δοχεῖον τῆς γεωδοσίας, ἢ ὁ τοιοῦτος.

30. Οἱ τὰ τοῦ νόμου εἰδότες ἅγιοι ἄνδρες λέγουσιν, ὡς ὀλίγην ἔχουσι διαφορὰν, ὅ,τε ἱπποθυσίαν θύων, καὶ ὁ γῆν δωρούμενος.

31. Οὐδέποτε γῆν δοτέον Βραχμᾶνι ἀσυνέτῳ, μικροπρεπεῖ, ἀμυήτῳ τῶν τῆς Βέδας, ἀμαθεῖ, καὶ ἐναγεῖ.

32. Τῷ γεωδότῃ παρίσταται ἐν οὐρανῷ θεῖον φορεῖον, ἀφικνούμενον ᾗ ἐφίεται ὁ φερόμενος, περιπολούμενον θείαις νύμφαις, καὶ παρέχον πᾶν ἀγαθόν.

33. Δοὺς ὁ ἄνθρωπος γῆν Βραχμᾶνι, εἰδήμονι τῆς Βέδας, ἀγαθοφυεῖ, πυρολάτρῃ, καὶ σταθερῷ περὶ τὴν ἐγκράτειαν, οὐ πορεύεται εἰς τὸν οἶκον τοῦ ᾅδου.

34. Καὶ οἱ Βασιλεῖς, οἱ κακὰ πράττοντες, καὶ κακὰ διανοούμενοι, δόντες γῆν, ἀπαλλάττονται εὐθὺς τῶν ἐγκλημάτων πάντων.

35. Οὐκ ἔστιν ἄλλη τοιαύτη δόσις, οἵα ἡ γεωδοσία· οὐκ ἔστιν ἄλλη τοιαύτη ἀποθήκη, οἵα ἡ γεωδοσία· οὐκ ἔςιν ἄλλη τοιαύτη ἀρετὴ, οἵα ἡ γεωδοσία, οὐδ' ἄλλη τοιαύτη κακία, οἵα ἡ ψευδολογία.

ΒΗΣΜΑΣ.

36. Ἀκούσας ὁ Ἴνδρας, οἷός ἐστιν ὁ μισθὸς τῆς γεωδοσίας, ἔδωκε πᾶσαν τὴν γῆν τῷ Βριχασπατῇ.

37. Καὶ σὺ τοίνυν, ὦ μέγα Βασιλεῦ, δὸς τὴν γῆν, ἣν ἐκτήσω τῇ οἰκείᾳ δυνάμει, Βραχμᾶσιν ἐγκρατέσι, καὶ τῆς Βέδας εἰδήμοσιν.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

38. Ἠκούσθη μοι, ὦ ἄριστε τῶν ἀπογόνων τοῦ Κουροῦ, οἷά ἐστι τὰ ἀγαθὰ τῆς γεωδοσίας· νῦν δ' εἰπέ μοι, οἷά ἐστι τὰ κακὰ τοῖς ἁρπάζουσιν αὐτὴν τὴν δοθεῖσαν γῆν.

ΒΗΣΜΑΣ.

39. Ἑξηκοντακισχίλια ἔτη χαίρει ἐν οὐρανῷ ὁ γεωδότης· τοσαῦτα δ' ἔτη ἐν ᾅδῃ κολάζεται ὁ ἀφαιρῶν τὴν δοθεῖσαν γῆν, καὶ ὁ ὁμοφρονῶν (συναινῶν).

40. Οἱ ἁρπάζονταις γῆν δοθεῖσαν Βραχμᾶνι, γεννῶνται ὄφεις μέλανες, ἐνδιαιτώμενοι ἐν ὄρεσιν ἀνύδροις, καὶ ἐν κοιλώμασι ξηρῶν δένδρων.

41. Οὐκ ἀφαιρετέον γῆν, κτῆμα Βραχμᾶνός τινος, ὅς ἐστιν εἰδήμων τῶν τῆς Βέδας, καὶ ἐνδεής, καὶ πολλοὺς οἰκείους τρέφει.

42. Ἀφαιρεθείσης γῆς πτωχῶν, ἐνδεῶν, καὶ ἀπόρων, τὰ χεόμενα θερμὰ δάκρυα αὐτῶν κατακαίουσιν ἅπαν τὸ γένος τοῦ ἀφελόντος.

43. Καὶ μεγάλων ἁμαρτημάτων ἄφεσις θεωρεῖται ἐν ταῖς ἱεραῖς Γραφαῖς· τοῖς δ' ἁρπάζουσι τὸ δοθὲν Βραχμᾶνι οὐδαμῶς ἄφεσις θεωρεῖται.

44. Ὅστις ἁρπάζει γῆν, ἣν αὐτὸς ἔδωκεν, ἢ ἄλλος, οὗτος γεννᾶται σκώληξ ἐν κόπρῳ ἑξηκοντακισχίλια ἔτη κατὰ

διαδοχήν· μετὰ δὲ ταῦτα γεννᾶται πάλιν καὶ πολλάκις ἐν φύσεσιν ἑτέρων ἀλόγων ζώων.

45. Ἐγὼ οὐ βλέπω νῦν ἐκείνους, οἳ πρότερον ἦσαν κύριοι ταύτης τῆς γῆς, ἣ ἔχει ὄρη, ἄλση, πόλεις, κώμας, ποταμοὺς, καὶ θαλάσσας.

46. Πάλαι μὲν, ὦ Βασιλεῦ, αὕτη ἡ γῆ ἦν τοῦ Διλήπα, τοῦ Ναχούσσα, τοῦ Ἰαϊάτου, τοῦ Ἀμβαρήσσα, τοῦ Μανδδάτα, τοῦ Βαράτα,

47. Καὶ ἄλλων μυρίων Βασιλέων, οὓς ἐπαριθμῆσαι οὐ δύναμαι· μετὰ δὲ τούτους σὺ αὐτὸς αὐτῆς τῆς γῆς Βασιλεὺς ἐγένου, καὶ μετὰ σὲ ἄλλος αὐτῆς ἔσεται.

48. Ἀλλὰ καὶ οὕτως, οἱ Βασιλεῖς, παρανοοῦντες ἐξ οἰήσεως, οὐ διδόασι ταύτην τὴν γῆν Βραχμᾶσι, μάλιστα δὲ ἁρπάζουσιν αὐτὴν ἐκ τῶν χειρῶν αὐτῶν, δοθεῖσαν αὐτοῖς παρ' ἄλλων.

49. Ἔχε, ὦ Ἰνδδιστίρα, ὑπὸ τὴν οἰκείαν φροντίδα καὶ προστασίαν τὴν γῆν, τὴν δοθεῖσαν τοῖς Βραχμᾶσι παρὰ προτέρων Βασιλέων· ἡ γὰρ φροντὶς καὶ προστασία κρείττων ἐστὶ τῆς δόσεως.

50. Παρ' ὧν Βασιλέων ἐδόθη ἡ γῆ καθ' ἕκαστον χρόνον, οὗτοι πάντες κατὰ μέρος ἀπέλαβον τὸν μισθόν.

51. Καὶ σὺ οὖν, ὦ μέγα Βασιλεῦ, εἰ ἐφίεσαι ἀϊδίου δόξης, μηδαμῶς ἀφελοῦ γῆν, δοθεῖσαν Βραχμᾶσι.

52. Διαφορᾶς προσπεσούσης περὶ γῆς ὅρου, ὅς ἐστιν ἀφανὴς, δοτέον μέρος τῆς οἰκείας γῆς, ἀλλ' οὐ σφετεριστέον τῆς ἀλλοτρίας· ἐκ γὰρ τῆς σφετερίσεως ὑπεύθυνος γίνεται ὁ ἄνθρωπος.

53. Ἐκ μὲν τῆς δόσεως ἀπόλαυσις γίνεται τοῦ οὐρανοῦ, ἐκ δὲ τῆς ἁρπαγῆς ἔγκλημα βέβαιον· οὐ δεῖ ἄρα τῷ φρονίμῳ ἁρπάζειν ἀλλοτρίαν γῆν.

54. Ὅστις ἀναγινώσκει εἰς ἐπήκοον ἐν ἐπιταφίῳ δείπνῳ τοῦ-

τον τὸν ἔπαινον τῆς γεωδοσίας, τούτου τοῖς κατοιχομένοις προπάτορσι τροφοδοσία διηνεκὴς πάρεστι.

ΚΕΦΑΛΑΙΟΝ ΚΒʹ.

Περὶ βοοδοσίας.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Οἱ σοφοὶ λέγουσιν, ὡς ἡ βοοδοσία μεγάλη καὶ ἄκρα ἀρετή ἐστιν· ἄξιος οὖν εἰπεῖν μοι περὶ τούτου ἐκτεταμένως.

ΒΗΣΜΑΣ.

2. Οὐδεμία τις ἄλλη δόσις ὑπερτέρα ἐστὶ τῆς βοοδοσίας· δοθεῖσα γὰρ βοῦς, ἢ ἐκτήθη μετὰ δικαίου, ἅπαν τὸ γένος διασώζει ἐκ τῶν δεινῶν τοῦ κόσμου.
3. Ὁ Βραχμᾶς εἶπεν, ὡς τὸ γάλα τῶν βοῶν ἀμβροσία ἐστί· διὸ ὅςτις δίδωσι δάμαλιν, οὗτος ἄμβροτος γίνεται.
4. Μεγαλύνεται ἐν οὐρανῷ ὁ ἄνθρωπος, δοὺς δάμαλιν ἀγαθὴν καὶ λευκὴν μετὰ λευκοῦ μόσχου, μεθ' ἱματίου ἐπὶ τῶν νώτων, καὶ μετὰ χρυσῶν κεράτων.
5. Ὅτε ἡ Βοῦς ἐν τῷ τίκτειν τὸν ἥμισυν μόσχον ἔχῃ ἔξω τῆς μήτρας, γῆ ὀνομάζεται· ὅθεν ὅςτις τοιαύτην βοῦν δίδωσι, παρὰ τούτου γῆ ἐδόθη.
6. Ὁ μὲν ἔχων περιουσίαν δεκάβοιον, δότω μίαν βοῦν· ὁ δ' ἔχων ἑκατόμβοιον, δότω δέκα· ὁ δ' ἔχων χιλιόβοιον περιουσίαν, δότω ἑκατόν· ἅπαντες δ' οὗτοι ἶσον τὸν μισθὸν ἔχουσιν.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

7. Ποία τις βοῦς δοτέα ἐστί; καὶ ποία τις οὐ δοτέα; ἢ ποίῳ τινι δοτέα; καὶ ποίῳ τινι οὐ δοτέα;

8. Δοτέα ἐστὶ Βραχμᾶνι βοῦς, ἣ ἐστι νέα, εὐειδής, ἀγαθοφυής, πολυγάλακτος, μόσχον ἔχουσα, κτηθεῖσα δικαίως.

9. Οὐδέποτε δοτέα ἐστὶ βοῦς, ἣ ἐστι γηραλέα, ἢ ἐμπαθής, ἢ ἐλλιπομελής, ἢ κακοφυής, ἢ στεῖρα, ἢ μὴ ἔχουσα ζῶντα τὸν μόσχον, ἢ πόῤῥω ὄντα, ἢ ἀδίκως κτηθεῖσα.

10. Αγαθὴν δάμαλιν δότω ὁ ἄνθρωπος Βραχμᾶνι ἀπόρῳ, πολλοὺς οἰκείους τρέφοντι, εἰδήμονι τῆς Βέδας ὄντι, πυρολάτρῃ, φιλοξένῳ, καὶ ἐγκρατεῖ.

11. Οὐδέποτε δοτέα δάμαλις Βραχμᾶνι ἀγενεῖ, ἀμαθεῖ, πλεονέκτῃ, συκοφάντῃ, καὶ ἀμελοῦντι τῶν τοῖς θεοῖς καὶ νεκροῖς νομιζομένων ἐναγισμάτων καὶ σπονδῶν.

12. Οἱ βοοδόται πορεύονται, ἔνθα εἰσὶν οἶκοι χρυσότευκτοι, κλῖναι λαμπραὶ καὶ πολύτιμοι, καὶ καλαὶ νύμφαι.

13. Ἐκ τῆς βοοδοσίας ὁ ἄνθρωπος πορεύεται εἰς τὸν ἀΐδιον Βραχμαλόκαν, ἐπὶ φορείου ἡλιοειδοῦς, θείοις κοσμήμασι κεκοσμημένος.

14. Καθήμενον δ' αὐτὸν ἐπὶ θείου φορείου εὐφραίνουσι νύμφαι ἀναρίθμητοι, εὐείμονες, βαθύζωνοι, καὶ θείοις κοσμήμασι κεκοσμημέναι.

15. Κοιμώμενος δ' ἐγείρεται ἐκ τῶν ᾀσμάτων τῶν εὐοφθάλμων νυμφῶν, καὶ ἐκ τῶν ἤχων τῶν αὐλῶν, καὶ τῶν κιθαρῶν, καὶ τῶν περιπεζίων αὐτῶν.

16. Ἐπὶ τούτου δ' ἐπάγουσι ταύτην τὴν παλαιὰν ἱστορίαν, τὴν διάλεξιν τοῦ ὁσίου Οὐδδαλακῆ, καὶ τοῦ υἱοῦ αὐτοῦ Νασικάτα.

17. Ὁ ὅσιος Οὐδδαλακὴς τελέσαι θέλων λατρείαν καὶ σπονδὴν τῷ Θεῷ κατ' ἰδίαν, εἶπε τῷ υἱῷ αὐτοῦ, ὃς ὠνομάζετο Νασικάτας « Διακόνει μοι. »

18. Τελεσθείσης δὲ τῆς λατρείας ἐκείνης, ἐλθὼν οἴκαδε ὁ ὅσιος, εἶπε πρὸς τὸν υἱόν·

19. «Πορευθεὶς, κόμισον τὰ ξύλα, τὴν ψίαθον, τὰ ἄνθη, καὶ

τὴν ὑδρίαν, ὧν ἐπελαθόμην παρὰ τῇ ὄχθῃ τοῦ ποταμοῦ, σχολάζων τῇ λατρείᾳ.»

20. Ὁ δὲ πορευθεὶς, οὐχ εὕρηκεν αὐτὰ, ὡς παρενεχθέντα ὑπὸ τοῦ ῥεύματος τοῦ ποταμοῦ· καὶ ἐλθὼν, ἀνήγγειλεν, ὡς οὐκ εἶδε τὰ ἅπερ ζητεῖ.

21. Ἐπειδὴ δὲ ὁ Οὐδδαλακὴς ἐθλίβετο ὑπὸ πείνης καὶ δίψης, θυμωθεὶς, κατηράσατο τοῦ παιδὸς, εἰπών· « Ἰδὲ τὸν Ἰάμαν (τὸν ἅδην).»

22. Πληγεὶς δ' ὁ υἱὸς ὑπὸ τοῦ λόγου τοῦ πατρὸς, ὡς ὑπὸ κεραυνοῦ, εἶπεν εὐλαβῶς· « Ἵλεώς μοι ἔσο· » καὶ εὐθέως ἔπεσε κατὰ γῆς ἄπνους.

23. Ἰδὼν δ' ὁ πατὴρ πεσόντα τὸν υἱὸν, λίαν λυπηθεὶς ἔφη· « Τί πεποίηκα ἐγώ; » καὶ ἀγκαλισάμενος αὐτὸν, ἔκλαιε καὶ ἐθρήνει.

24. Οἱ δ' ἐν τῇ ἐρήμῳ οἰκοῦντες ὅσιοι πάντες, ἀκούσαντες τοῦ θρήνου, συνελθόντες, παρίσταντο, συμπάσχοντες.

25. Ἐκ δὲ τῶν καταῤῥεόντων πατρικῶν δακρύων, ἐλθὼν εἰς ἑαυτὸν ὁ Νασικάτας, ἀνέστη, ὡσπερεὶ ὕπνον ὕπνοι βαθύν.

26. Πρὸς ὃν καὶ εἶπεν ὁ Οὐδδαλακὴς, ἀναστάντα ὥσπερ ἐξ ὕπνου· « Εἰπὲ ἡμῖν, ὦ υἱὲ, πᾶν ὅ,τι εἶδες ἐκεῖ ».

27. « Ἰδών με, ἔφη, ἐκεῖ ὁ Θεὸς Ἰάμας, εἶπε· « Σὺ οὐ τέθνηκας, ὦ μέγα ὅσιε· ὁ γὰρ πατὴρ εἴρηκέ σοι· *Ἰδὲ τὸν Ἰάμαν*· τὸ δὲ ῥῆμα ἐκείνου οὐχ οἷόν τέ ἐστι ψευδὲς γενέσθαι.»

28. « Ἰδὼν οὖν ἐμὲ, Ἄπιθι, ὦ ἀγαθὲ, ἔφη· ὁ γὰρ σὸς γεννήτωρ λυπεῖται· ὅ,τι δὲ θυμῆρές σοί ἐστιν, εἰπέ μοι, ἵνα τοῦτο ποιήσω ».

29. Τοιαῦτα εἰπόντος τοῦ Ἰάμα μετὰ πολλῆς καὶ ἄκρας τῆς φιλοφροσύνης, ἱκέτευσα αὐτὸν, εἰπών·
« Εἰ εὐάρεστόν σοι ἐστὶν, ὦ Θεέ, δεῖξόν μοι τὰς μονὰς τῶν διδόντων βοῦν ».

30. Ὁδὲ, ἀναβιβάσας με εἰς θεῖον φορεῖον, ἔδειξέ μοι χώρας ὑπερφυεῖς.

31. Εἶδον δ' ἐγὼ ἐκεῖ φορεῖα ἀναρίθμητα, ὅλα χρυσᾶ, καὶ ὅλα λαμπρὰ, ὡς τὸν ἥλιον,

32. Πολυειδέσι πολυτίμοις λίθοις κεκοσμημένα, διακόνους ἔχοντα θείας νύμφας, βρίθοντα πᾶσιν ἐφετοῖς, αὐτοκίνητα, καὶ ἄλλα πρὸς τούτοις στάσιμα, καὶ ἀκίνητα.

33. Ποταμοὶ δ' ἦσαν, ῥέοντες μέλι, γάλα, βούτυρον καὶ ὀξύγαλα, καὶ σωροὶ, ὡς ὄρη, ἀναρίθμητοι βρωτῶν, καὶ ἡδέων τρωγαλίων.

34. Ἰδὼν δ' ἔγωγε πάντα ταῦτα, ἠρώτησα τὸν Ἰάμαν, θαυμάζων τὴν ψυχήν· « Οὗτοι οἱ ἀείρροοι ποταμοὶ γάλακτος καὶ βουτύρου, τίνι εἰς γεῦσιν ἐπιτεταγμένοι εἰσίν; »

35. Ὁ δ' ἀπεκρίνετο· « Αἱ μὲν πανευφρόσυνοι αὗται χῶραι εἰς τροφήν εἰσι τοῖς φιλοδώροις, καὶ καλοκἀγάθοις ἀνδράσιν· οἱ δὲ θεῖοι οὗτοι ποταμοὶ εἰς γεῦσιν τοῖς βοοδόταις ».

36. Ἀκούσας δὲ τοῦ λόγου τοῦ Ἰάμα, ἠρώτησα πάλιν αὐτόν. « Ὁ δὲ μὴ δυνάμενος δοῦναι βοῦν, πῶς ἂν τύχοι τοιαύτης χώρας, οἵας τυγχάνουσιν οἱ βοοδόται; »

37. Καὶ ὃς ἔφη· « Ὅστις ἐν ἀπορίᾳ βοῶν δίδωσι σήσαμον ἐπ' ὀνόματι δαμάλεως, ὥς ἐστιν ἐπιτεταγμένον, οὗτος τρυφᾷ τοῦ θείου ποταμοῦ, ἐξ οὗ ῥέει πᾶν ἐφετόν.

38. » Ὅστις δ' ἐν ἀπορίᾳ σησάμου δίδωσιν ἐκ καρδίας σάμνον ὕδατος ἐπ' ὀνόματι δαμάλεως, οὗτος ἐπιτυγχάνει ἀναμφιβόλως τῶν ἐφετῶν ἁπάντων.

39. » Ὅστις δίδωσι βούτυρον ἐπ' ὀνόματι δαμάλεως, ἢ σήσαμον ἢ καὶ στάμνον ὕδατος, οὗτος οὐκ ἐκπίπτει τοῦ οὐρανοῦ.

40. » Ὅστις δίδωσι κατὰ τὴν ἐντολὴν βούτυρον ἐπ' ὀνόματι δαμάλεως Βραχμᾶνι ἐγκρατεῖ, ἱλαρῷ, καὶ ὀπαδῷ τοῦ Βισνοῦ, οὗτος τυγχάνει τῆς χώρας τοῦ Βισνοῦ.

41. »Ὅςτις, ἔννομος ὢν, δίδωσι βούτυρον ἐπ' ὀνόματι δαμάλεως, οὗτος ἀπαλλάττει τοῦ ᾅδου τὸν πατέρα, καὶ τὸν πάππον, καὶ τοὺς λοιποὺς προπάτορας, μέχρι τρὶς ἑπτὰ γενεῶν. »

42. Δείξας ταῦτα πάντα ὁ Ἰάμας ἄσμενος, εἶπε πάλιν πρὸς ἐμέ· « Ἔσο προσκείμενος τῇ δόσει, ὦ βέλτιστε· μάλιστα δὲ δίδοθι βόας, καὶ ἄλλα εἴδη, ὑγρὸν χυμὸν ἔχοντα.

43. »Ὅςτις δίδωσι δάμαλιν ἀγαθοφυῆ μετὰ χρυσῶν κεράτων, καὶ ὠμοφορίου, καὶ ἀμολγέως ἐξ ὀρειχάλκου, οὗτος τρυφᾷ τοῦ οὐρανοῦ τοσαῦτα ἔτη, ὅσαι τρίχες εἰσὶν ἐπὶ τῆς δαμάλεως.

44. »Ὅςτις δίδωσι Βραχμᾶνι ταῦρον δεδαμασμένον, ζύγιον, νέον, μέγαν, ἰσχυρὸν καὶ εὔτονον, οὗτος τυγχάνει τῆς ἐν οὐρανῷ χώρας τοῦ δόντος δέκα δαμάλεις. »

45. Τοιαῦτα εἰπόντος τοῦ Θεοῦ Ἰάμα, κλίνας τὴν κεφαλὴν, προσεκύνησα· καὶ λαβὼν ἄδειαν παρ' αὐτοῦ ἐπανῆλθον πρὸς σὲ, ὦ πάτερ.

46. Αὕτη δ' ἡ ἀράσου χάρις ἐγένετο πρὸς ἐμὲ, δι' ἧς εἶδον ἐκεῖ τὸν Θεὸν Ἰάμαν. Βεβαιωθεὶς δ' ἐκεῖ τὸ μέγα τῆς ἀνταμοιβῆς τῆς γεωδοσίας, οὐ παύσομαι βοῦς διδόναι.

47. Καὶ τοῦτο δέ μοι ἐπέταξεν ὁ Θεὸς Ἰάμας· « Λέγε τοῖς ἀνθρώποις τὰ ἀγαθὰ τῆς βοοδοσίας. » Δοτέον ἄρα Βραχμᾶσι βοῦς εἰς ἀρέσκειαν τοῦ Θεοῦ, καὶ εἰς ἀπόλαυσιν θείας χώρας.

ΒΗΣΜΑΣ.

48. Τούτων ἀκούσαντες πάντες ἐκεῖνοι οἱ ὅσιοι, ἐθαύμασαν· καὶ ἐπαινέσαντες τὰ ἀγαθὰ τῆς βοοδοσίας, ἀπῆλθον εἰς τὰ ἴδια.

49. Ἀκούσας καὶ σὺ, ὦ Ἰνδδιστίρα, τὰ μεγάλα ἀγαθὰ τῆς

βοοδοσίας, δίδοθι βοῦς, καὶ περιέρχου κύκλῳ τῆς βοὸς ἐκ δεξιῶν.

50. Δοὺς ὁ ἄνθρωπος φιλοθέῳ Βραχμᾶνι δάμαλιν ἀγαθοφυῆ μετὰ ὠμοφορίου, καὶ ἀμολγέως ἐξ ὀρειχάλκου, καὶ χρυσῶν κεράτων, ἀγαθῆς καὶ ἀκηράτου χώρας τυγχάνει.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Περὶ τροφοδοσίας.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Εἰπέ μοι, ὦ σεβάσμιε πάτερ, τίς ἁπασῶν τῶν δόσεων μέγα ὄφελος καὶ ταχεῖαν χαρὰν προξενεῖ;

ΒΗΣΜΑΣ.

2. Δι᾽ ὅπερ ἠρώτησάς με, πάλαι ἐγὼ ἠρώτησα τὸν ὅσιον καὶ Θεὸν Ναράδαν· ὅ,τι δ᾽ ἐκεῖνος εἴρηκέ μοι, τοῦτ᾽ ἄκουσόν μου λέγοντος.

ΝΑΡΑΔΑΣ.

3. Οὐδεμία ἄλλη δόσις ὑπερτέρα ἐστὶ τῆς τροφοδοσίας· διὰ γὰρ τῆς τροφῆς πᾶσα ψυχὴ ζῶσα τὸ εἶναι ἔχει.
4. Ἡ τροφὴ ζωή ἐστι τῶν πνοὴν ἐχόντων· οὕτως εἴρηκεν ὁ γενάρχης Βραχμᾶς· διὸ ὁ τροφοδότης ζωοδότης λέγεται ὑπὸ τῶν σοφῶν.
5. Ὁ τροφοδότης ἐνταῦθα μὲν γίνεται πολυκτήμων, πολύπλουτος, περιφανής, πολύβιος, καὶ εὐπαθής· μετὰ δὲ θάνατον εὐδαίμων, καὶ μακάριος.
6. Ὅστις ἀεὶ δίδωσιν ἐκ καρδίας τροφὴν τοῖς ξένοις, οὗτος

πορεύεται εἰς τὴν χώραν, ἔνθα οἰκεῖ ὁ Βραχμᾶς· οὕτως εἴρηκεν ὁ ὅσιος Παρασσάρας.

7. Οὐδεμία δόσις ὁμοία τῇ τροφῇ οὔτ' ἦν, οὔτ' ἔσεται· διὰ τοῦτο οἱ βασιλεῖς τροφὴν κατ' ἐξαίρετον τρόπον διδόναι θέλουσιν.

8. Ὅστις ἔπραξε μεγάλα ἁμαρτήματα, οὗτος, εἰ γένοιτο μετὰ ταῦτα τροφοδότης, ἀπαλλαγεὶς τῶν ἁμαρτημάτων πάντων, πορεύεται εἰς τὸν οὐρανόν.

9. Καθὼς οἱ γεωργοὶ ἐφιέμενοι, ἀναμένουσι βροχὴν, οὕτω καὶ οἱ κατοιχόμενοι, πότε ἀπόγονός τις αὐτῶν, υἱὸς ἢ υἱωνὸς, δώσει τροφήν.

10. Ὅστις δίδωσι τροφὴν ἑτοίμην ὁδοιπόρῳ κεκμηκότι, καὶ μὴ προορασθέντι, οὗτος τεύξεται στάσεως ἀγαθῆς.

11. Αἰτηθεὶς παρὰ Βραχμᾶνος, μὴ ἐρώτα, ὁποίας γενεᾶς εἴη, ἢ Βέδας, καὶ ὁποίαν μάθησιν ἔχοι, ἀλλὰ δὸς ἄνευ ἀνακρίσεως.

12. Ὃς ξένος ἔλθῃ ἐν ὥρᾳ ἀρίστου, εἴτε κακοφυὴς, εἴτε ἀγαθοφυὴς, εἴτε βάρβαρος, εἴτε σοφὸς, οὗτος κλίμαξ ἐστὶ τοῦ οὐρανοῦ.

13. Σίτιζε ἀεὶ σεμνὸν Βραχμᾶνα, ὅστις ποτ'ἂν ᾖ, ἢ γνωστὸς ἢ ἄγνωστος, ἢ ἐχθρὸς, ἢ φίλος.

14. Οὐκ ἔστιν ἄριστος ὁ Βραχμὰν, ὁ ὢν ἀκρατὴς, εἰ καὶ τὰς τέσσαρας Βέδας οἶδεν· ἄριστος δ'ἐστὶν, ὁ ὢν ἐγκρατὴς, εἰ καὶ παντοφάγος, καὶ παντοπώλης, καὶ ἀγράμματος τυγχάνει ὤν.

15. Ἐπειδὴ ὁ Θεὸς ἐν τῇ καρδίᾳ ἐστὶ πάντων τῶν ἀνθρώπων, διὰ τοῦτο νόμιζε, ὡς ὁ ἐλθὼν ξένος, αὐτός ἐστιν ὁ Θεός.

16. Ξενιστέος ἐστὶν ὁ Βραχμὰν ἀλείμματι ἐλαίου κατὰ τοὺς πόδας καὶ κατὰ τὴν κεφαλὴν, τιμῇ, θεραπείᾳ, βρώσει τε καὶ πόσει, μάλιστα δὲ λόγοις ἡδέσιν.

17. Ὅστις, διδοὺς τροφὴν Βραχμᾶσι, δίδωσι καὶ ὑδρίας μετὰ ψυχροῦ ὕδατος, οὗτος τεύξεται τοῦ οὐρανοῦ.

18. Ὁ διδοὺς τροφὴν ξένῳ ἐκ καρδίας, καὶ τοῦ οὐρανοῦ τυγχάνει, καὶ ὑπὸ τῶν θεῶν τιμᾶται.

19. Εἰπὼν, « Ἀρεστὸν ἔστω τῷ Βισνοῦ » σίτιζε ἐκ καρδίας ὅση δύναμις, ἡδέσι σιτίοις Βραχμᾶνα, ἱλαρὸν τὴν καρδίαν.

20. Εἰπὼν ἐκ καρδίας, « Ἀρεστὸν ἔστω τῷ Θεῷ Βισνοῦ », σίτιζε ἀεὶ Βραχμᾶνα ἀγαθὸν, τιμῶν αὐτὸν, καὶ νομίζων, ὡς αὐτός ἐστιν ὁ Θεός.

21. Ὁ ἐφιέμενος τρυφῆς, διδότω Βραχμᾶνι, ᾗ δύναμις, ἡδὺ βρῶμα, εὐτρεπὲς, σακχαρῶδες, καὶ βουτυρῶδες, καὶ πρὸς τούτῳ ὀξύγαλα.

22. Ὅστις, ἐπαγγειλάμενος, οὐ δίδωσι τροφὴν Βραχμᾶσιν, ὀλιγόνους ὢν, οὗτος κάτεισιν εἰς τὸν δεινὸν ᾅδην καὶ ἀναγεννᾶται ἐν φύσεσιν ἀλόγων ζώων.

23. Ὅστις ἐν κόσμῳ ὢν, φιλόξενός ἐστιν, ὀλιγαρκὴς, ἐγκρατὴς τῶν αἰσθήσεων, φίλος τῆς σκληραγωγίας, καὶ ἀναγνώσεως τῆς Βέδας, τούτου οὐκ ἔστι πόῤῥω ὁ οὐρανός.

ΒΗΣΜΑΣ.

24. Τοιαῦτα ἀκούσας λέγοντος τοῦ Ναράδα, ἐδίδων ἀεὶ τροφὴν τοῖς χρείαν ἔχουσιν· ἡ γὰρ τροφή ἐστι ζωή· δίδοθι οὖν τροφὴν καὶ σὺ, ὦ Ἰνδδιστίρα.

25. Οἱ τροφοδόται, ὦ Βασιλεῦ, ζωοδόται εἰσί· τῆς δὲ ζωοδοσίας οὐδεμία ἄλλη δόσις ἀνωτέρα ἐστὶν ἐν κόσμῳ.

26. Ἤκουσας, ὦ Βασιλεῦ, λέγοντος τοῦ ἁγίου ἀνδρὸς Ῥομάσσα, οἵαν ἀμοιβὴν ἔλαβε πάλαι ὁ Σιβὴς, δοὺς καὶ τὴν ἑαυτοῦ ζωὴν εἰς διατήρησιν τῆς ζωῆς τῆς περιστερᾶς.

27. Τοιαύτης στάσεως οἵας ἔτυχεν ὁ Σιβὴς, τυγχάνει μετὰ θάνατον, ὅστις δίδωσιν ἀεὶ μετὰ προθυμίας τροφὴν τοῖς

ξένοις· οὗτος ἔρχεται εἰς χώραν ὑπερτάτην, ἣ δύσκτητός ἐστι καὶ τοῖς θεοῖς.

28. Ὅστις ἐν ἑνὶ ὅλῳ ἔτει δίδωσι Βραχμᾶνι ἀξίῳ βρώματα μετὰ καρυκείας, βουτύρου καὶ γάλακτος καὶ ὀξυγάλακτος, τούτου ἡ ἐν οὐρανῷ χώρα (στάσις) ἀΐδιος μένει καὶ ἄφθαρτος.

29. Ἐπὶ τούτου δ' ἐπάγουσι ταύτην τὴν παλαιὰν ἱστορίαν, τὸν διάλογον τοῦ Βανξοῦ καὶ τοῦ Βατοῦ· σὺ δ' ἄκουσόν μου λέγοντος.

30. Ὁ Βανξοῦς, ἀρνησάμενος τὰ τοῦ κόσμου, διῆγεν ἐπὶ πολὺ νῆστις ἐν τῇ πόλει Πραϊάγᾳ· ὁ δὲ μαθητὴς αὐτοῦ, ᾧ ὄνομα Βατοῦς, διηκόνει αὐτῷ.

31. Ἠρώτησε δ' αὐτὸν τὸν ἅγιον πατέρα, ὃς ἔπασχεν ἐκ πείνης, καὶ κατεσκληκὼς ἦν.

ΒΑΤΟΥΣ.

32. Εἰπέ μοι, ὦ θειότατε, ὁποία ἐστὶν ἡ ὀδύνη τοῦ πάθους τῆς πείνης;

ΒΑΝΞΟΥΣ.

33. Ἡ ὀδύνη τοῦ πεπληγμένου ξίφει, βέλει, λόγχῃ, κορύνῃ, ἢ ἄλλῳ εἴδει ὅπλου, ἡττᾶται τῆς ἐκ τῆς πείνης ὀδύνης.

34. Τὸ ἆσθμα, ὁ βὴξ, ἡ φθίσις, ὁ πυρετὸς, ἡ ἐπιληψία, καὶ ὅσα ἄλλα τοιαῦτα πάθη, καὶ αὐτὸ τὸ πῦρ, ταῦτα πάντα ἥττονά ἐστι τῆς πείνης.

35. Ὁ κεκοσμημένος τὸ σῶμα πολυτίμοις λίθοις, καὶ χρυσῷ, καὶ λαμπρῷ διαδήματι, καὶ ἐνωτίοις, οὐκ ἀγλαΐζεται, ὅταν πεινᾷ, ἀλλὰ φαίνεται, ὡς νεκρός.

36. Καθὼς τὸ ἐπὶ γῆς ὕδωρ ξηραίνεται ὑπὸ τῶν ἀκτίνων τοῦ ἡλίου, οὕτω καὶ τὸ τῆς γαστρὸς πῦρ, ἡ πεῖνα, ξηραίνει τὴν συστατικὴν τοῦ σώματος ὕλην.

37. Ὁ πάσχων πείνῃ οὔτ᾽ ἀκούει, οὔτ᾽ ὀσφραίνεται, οὔτε βλέπει, ἀλλὰ καίεται, τρέμει καὶ ἀναισθητεῖ.
38. Ὁ πάσχων πείνῃ, κατακαίεται συνεχῶς, καὶ οὐκρίνει τὸ ἑῷον, τὸ ἑσπέριον, τὸ βόρειον, ἢ τὸ νότιον μέρος.
39. Ταῦτα πάντα προξενεῖ ἡ πεῖνα· ἀφωνίαν, κωφότητα, τυφλότητα, ἀναισθησίαν, χωλότητα, βδελυγμίαν, καὶ ἀναίδειαν.
40. Ὁ θλιβόμενος ὑπὸ τῆς πείνης, ἀναιρεῖ καὶ πατέρα, καὶ μητέρα, καὶ υἱὸν, καὶ γυναῖκα, καὶ θυγατέρα, καὶ ἀδελφὸν, καὶ πάντα συγγενῆ.
41. Εἰς πᾶσαν κακίαν κλίνει ὁ ἄνθρωπος ἐκ πείνης· οὐ γὰρ δύναται ποιῆσαι τὰ δέοντα· οὐδέγε τοὺς γονεῖς σέβεται, ἢ τὸν διδάσκαλον, ἢ καὶ τὸν Θεόν.
42. Τοιουτότροπα δεινὰ ἐκ πείνης γεννῶνται, ὦ υἱέ· τὰ δ᾽ ἐναντία τούτων γεννῶνται ἐκ τοῦ κόρου.

ΒΑΤΟΥΣ.

43. Ῥηθήτω μοι ὑπὸ σοῦ καὶ τοῦτο, εἰ οἶδας ἤτοι ἐξ ἀκοῆς, ἢ ἐκ πείρας μάλιστα, τὴν ἀρετὴν δηλονότι καὶ χάριν τῆς τροφῆς· ἀκοῦσαι γὰρ ἐφίεμαι, ὡς ἔχει.

ΒΑΝΞΟΥΣ.

44. Ὑπέρτερον τῆς τροφῆς οὔτ᾽ ἐγένετο, οὔτε γενήσεται ἐν κόσμῳ· ἐκ γὰρ τῆς τροφῆς τὴν ἀρχὴν ἔχει καὶ τὸ εἶναι τοῦτο τὸ Πᾶν.
45. Καὶ οἱ θεοὶ, καὶ οἱ δαίμονες, καὶ οἱ γίγαντες, καὶ οἱ ἄνθρωποι, πάντες οὗτοι τὸ εἶναι ἔχουσιν ἐκ τῆς τροφῆς.

ΒΗΣΜΑΣ

46. Δίδοθι τοίνυν τροφὴν παντὶ τρόπῳ τοῖς δεομένοις, ὦ

Ἰνδδιστίρα· ὁ γὰρ τροφοδότης καὶ τερπωλὴν (ἄνεσιν) εὑρίσκει, καὶ στάσιν αἰώνιον καὶ ὑπερτάτην.

47. Ἡ ἀπόλυσις ἀῤῥένων βοῶν, καὶ ἡ προσκύνησις ἁγίων τόπων, καὶ ἄλλα τοιαῦτα εἴδη ἀρετῆς, ἀγαθὰ μέν εἰσιν· οὔκ εἰσι δ' ἄξια οὐδὲ τοῦ ἑκκαιδεκατημορίου τῆς τροφοδοσίας.

48. Ἐκ τῆς τροφῆς γίνεται ζωὴ, δύναμις, εὐρωστία, εὐτονία, καρτερία, ἐνθύμησις, καὶ γόνος.

49. Ἡ θυσία, ἡ καλουμένη Πουνδαρήκα, ἡ Ἰξοῦ, ἡ Σοδασσίκα, ἡ Ἀγνιστάμα, ἡ Ἀτιράτρα, καὶ ἄλλαι πολυειδεῖς θυσίαι, καὶ ἡ ἱπποθυσία, πᾶσαι τελοῦνται ἐκ τῆς τροφῆς.

50. Ὅςτις δίδωσιν ἀεὶ τροφὴν, παρὰ τούτου ἅπασα ἡ γῆ ἐδόθη σὺν αὐτοῖς τοῖς ὄρεσιν, ἄλσεσι, νήσοις, καὶ θαλάσσαις.

51. Ἤκουσας, ὦ υἱέ, παρ' ἐμοῦ, ὃ ἠρώτησας· δίδοθι οὖν τοῖς πεινῶσι καὶ ὀλίγον τι τῆς τροφῆς, ἣν ἔχεις.

ΒΗΣΜΑΣ.

52. Ὁ δὴ Βατοῦς, τῇ διδασκαλίᾳ τοῦ Βανξοῦ, ἦν διδοὺς τροφὴν τοῖς πεινῶσιν ἔκτοτε· καὶ σὺ οὖν, ὦ Ἰνδδιστίρα, τροφοδότης ἔσο τοῖς πεινῶσι.

53. Τὸ ἐκ Βραχμανοκτονίας ἁμάρτημα ἐξαλείφεται τοῦ τροφοδότου· πολλῷ μᾶλλον τὸ ἐκ τοῦ πρὸς τοὺς συγγενεῖς φόνου ἐκείνων, ὧν ὁ βίος ἐστὶ πολεμικός.

54. Ἰσοστάσιον νόμιζε τῇ ἱπποθυσίᾳ τὴν τροφοδοσίαν· καὶ διὰ τοῦτο δίδοθι ἀεὶ τροφὴν τοῖς Βραχμᾶσι, καὶ μάλιστα τοῖς πεινῶσιν· ἡ γὰρ τροφοδοσία ἰσοστάσιός ἐστι πάσαις ταῖς λοιπαῖς δόσεσι, καὶ ταῖς πολυτελέσι θυσίαις.

55. Κορέννυνται πάντες οἱ θεοὶ ἐκ τῆς τροφοδοσίας· ὁ τροφοδότης ἐστὶν, ὡς ὁ λελουμένος ἐν πᾶσι τοῖς ἁγίοις τόποις, ἔστιν ἀπαθὴς, ἔστι σοφός.

56. Ὅστις δίδωσιν ἀεὶ τροφὴν τῷ πεινῶντι, μετὰ πίστεως καὶ προθυμίας, οὗτος εὐφραίνεται ἀεὶ ἐν τῇ χώρᾳ τοῦ Βραχμᾶ.

57. Ὅστις δίδωσι καθ' ἑκάστην τροφὴν, εὐσπλαγχνίᾳ καὶ προθυμίᾳ, τούτῳ τίς χρεία ἄλλων ἀγαθῶν ἔργων; οὗτος ἐλυτρώθη πάντως γε τοῦ Κόσμου.

58. Ὅστις ἐν νεκρικῇ θυσίᾳ ἀναγινώσκει μετὰ προθυμίας τοῦτο τὸ Περὶ τροφοδοσίας Κεφάλαιον, τούτου οἱ κατοιχόμενοι προπάτορες ἥδονται, καὶ οἱ θεοὶ ὁμοῦ, καὶ οἱ ὅσιοι ἄνδρες.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Περὶ σησαμοδοσίας.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Οἱ ἅγιοι ἄνδρες λέγουσιν, ὡς ἡ σησαμοδοσία ἀσύγκριτός ἐστι καὶ ἁγνιστική· εἰπέ μοι, ὦ σεβάσμιε Πάτερ, οἷός ἐστιν ὁ καρπὸς αὐτῆς;

ΒΗΣΜΑΣ·

2. Γίνωσκε ὡς πασῶν τῶν δόσεων ἀρίστη τυγχάνει ἡ σησαμοδοσία, ἀπαλλακτιστὴ οὖσα πασῶν τῶν ἁμαρτιῶν, καθαρτικὴ, καὶ τοῦ οὐρανοῦ πρόξενος.

3. Ἐπὶ τούτου δ' ἐπάγουσι ταύτην τὴν παλαιὰν ἱστορίαν, τὸν διάλογον Βραχμᾶνος καὶ τοῦ μεγάλου Ἰάμα.

4. Ἐν τῇ χώρᾳ τῇ μέσον Ἰαμουνᾶ καὶ τοῦ Γάγγου τῶν ποταμῶν κώμη ἦν μεγάλη, κειμένη ὑπ' ὄρος πλησίον τοῦ Ἰαμουνᾶ.

5. Ἦν δ' ὄνομα τῇ κώμῃ Παρνασσαλά· ᾤκουν δ' αὐτὴν Βραχμᾶνες πολλοὶ, πεπαιδευμένοι, ὡς ἔχουσαν ὕδατα πολλὰ καὶ δένδρα καὶ χλόην. (Παλάσαν καὶ Κούσσαν.)

6. Εἶπε δὲ ὁ Ἰάμας ἑνὶ τῶν ἑαυτοῦ διακόνων, ὃς εἶχε σχῆμα φρικῶδες, χρῶμα, ὄμματα, ῥίνα, καὶ σκέλη τοῦ κολοιοῦ·

7. «Πορεύθητι εἰς τὴν κώμην Παρνασσαλὰν, καὶ κόμισον ἐνθάδε Βραχμᾶνα, ὃς κατάγεται ἐκ τῆς φυλῆς (γενεᾶς) τοῦ Ἀγαστέα, καὶ ὀνομάζεται Σαρμήλας.

8. »Ὅρα δὲ, ἵνα μὴ ἀγάγῃς τὸν ἕτερον Βραχμᾶνα, ὃς κατάγεται ἐκ τῆς αὐτῆς γενεᾶς, καὶ ἔχει τὸ αὐτὸ ὄνομα καὶ σχῆμα, καὶ οἰκεῖ κατὰ τὸ δυτικὸν μέρος.»

9. Πορευθεὶς δ' ὁ διάκονος τοῦ Ἰάμα, ἐποίησε τοὐναντίον· ἤγαγε γὰρ ἐξ ἀγνοίας τὸν ἕτερον Βραχμᾶνα, ὃς ἀπηγορεύθη ὑπὸ τοῦ Ἰάμα.

10. Ἰδὼν δὲ τὸν Βραχμᾶνα ὁ Ἰάμας, τιμήσας αὐτὸν, ἔφη τῷ διακόνῳ· «Ἀπαχθήτω οὗτος καὶ ἀχθήτω ὁ ἕτερος.»

11. Ἀχθόμενος δ' ὁ Βραχμὰν ἐκ τῆς περὶ τὴν παιδείαν ἀσκήσεως, εἶπε τῷ Ἰάμα· «Ἐγὼ ἐνταῦθα διανύω τὸ ἐπίλοιπον τῆς ὡρισμένης μοι ζωῆς.»

ΙΑΜΑΣ.

12. Ἐγὼ οὐδένα φέρω ἐνθάδε ἔξω τοῦ ὡρισμένου χρόνου· κρίνω δὲ μόνον τὸ δίκαιον καὶ τὸ ἄδικον.

13. Πορεύθητι εὐθέως εἰς τὸν οἰκεῖον οἶκον· εἰπὲ δὲ, ἵνα ποιήσω σοι, ὅ,τι ἀγαπᾷς, ὦ ἀγαθὲ Βραχμάν.

ΒΡΑΧΜΑΝ.

14. Τί πράξας ἐν Βίῳ ὁ ἄνθρωπος, μεγάλην ἀρετὴν ἐργάσεται; τοῦτο εἰπέ μοι· σὺ γὰρ οἶδας κρίνειν τὸ ἀγαθὸν καὶ κακὸν τῶν ἀνθρώπων (τὴν ἀρετὴν καὶ τὴν κακίαν).

ΙΑΜΑΣ.

15. Ματαίως δεδίττεται ὁ ἄνθρωπος, ὅταν ἀκούῃ τὸ ὄνομά μου, Ἰάμας, ὅ ἐστι, κολαστὴς, ἢ τιμωρός. Ὅς τις δαμάζει ἑαυτὸν, καὶ οὗτος λέγεται Ἰάμας, τουτέστι, δαμαστὴς, ἢ ἐγκρατής.

16. Δεκαειδής ἐστιν ἡ ἐσωτερικὴ ἐγκράτεια· ἡ ἀγαθότης, ἡ ὑπομονὴ, ἡ εἰλικρίνεια, ἡ εὐσπλαχνία, ἡ ταπείνωσις, ἡ εὐθύτης, ἡ δόσις, ἡ ἱλαρότης, ἡ ἡδύτης, καὶ ἡ ἀποχὴ ἀλλοτρίου πράγματος.

17. Δεκαειδὴς δὲ καὶ ἡ ἐξωτερική· ἡ καθαριότης, ἡ σπουδὴ, ἡ ἄσκησις, ἡ ἀλήθεια, ἡ περὶ τὴν Βέδαν γύμνασις, ἡ σωφροσύνη, ἡ μετριοφαγία, ἡ νηστεία, ἡ ἀχεμυθία, καὶ τὸ λουτρόν.

18. Ὅστις οὕτω δαμάζει ἑαυτὸν, οὗτος πορεύεται εἰς τὴν χώραν τοῦ Βραχμᾶ ἄνευ τοῦ ἰδεῖν με.

19. Ἄκουσον δὲ καὶ ἄλλην μυστικὴν ἀρετὴν, ἣν λέγω σοι· τὸ σήσαμον ἀσύγκριτόν ἐστι καὶ ἁγνιστικόν· μηδαμῶς ἀμφιβάλλῃς εἰς τοῦτο.

20. Κατ᾽ ἀρχὰς τὸ σήσαμον ἐγένετο ἐκ τοῦ σώματος τοῦ γενεσιάρχου Κασσέπα· ἐπειδὴ δὲ θείαν φύσιν ἔχει, διὰ τοῦτο ἄριστον κρίνεται ὅτε δίδοται.

21. Τὸ σήσαμον καὶ τρωγέσθω, καὶ θυέσθω κατὰ τὸν νόμον, καὶ διδόσθω τοῖς Βραχμᾶσι παρὰ τῶν ἐφιεμένων τοῦ οἰκείου ἀγαθοῦ.

22. Ἱσταμένου τοῦ μηνὸς Μάγγα (Ἰαννουαρίου), ἄλειψον τὴν γῆν βολίτῳ ἐν σχήματι τετραγώνῳ.

23. Στρῶσον δὲ ἐπὶ μὲν τῆς γῆς ἐλάφειον δέρμα, ἐπὶ δὲ τοῦ δέρματος νέαν ὀθόνην, ἐπὶ δὲ τῆς ὀθόνης θὲς σήσαμον ὑπὲρ τὸν ἕνα χοίνικα.

24. Ἐπὶ δὲ τοῦ σησάμου σχημάτισον λωτὸν ὀκτάφυλλον· ἐπὶ δὲ τοῦ ὀμφαλοῦ τοῦ λωτοῦ θὲς χρυσίον.

25. Τίμησον δὲ *τὴν ἐπὶ τοῦ χρυσοῦ εἰκόνα τοῦ Θεοῦ* μύροις, καὶ ἄνθεσι, καὶ ὀρύζῃ, καὶ λίθοις πολυτίμοις, καὶ μαργαρίταις, τὸ κατὰ δύναμιν.

26. Πέριξ δὲ τοῦ σησάμου θὲς μίαν στάμνον ἐλαίου, ἑτέραν βουτύρου, καὶ τρίτην ὀξυγάλακτος, καὶ ἑκκαίδεκα προσέτι ἀγγεῖα ὀσπρίων διαφόρων.

27. Οὕτω δὲ τιμῶν τὸ λωτοειδὲς ἐκεῖνο σήσαμον δι' ἑνὸς ἡμερονυκτίου, ἢ δύω, ἢ τριῶν, ὦ Βραχμάν,

28. Πρῶτον μὲν ἐσθίων μόνον σήσαμον, εἶτα δὲ νῆστις ὢν εἰς ἁγνισμὸν τοῦ οἰκείου σώματος, θεωρῶν ἐν νοῒ τὸν Θεόν,

29. Τὸν ποιητὴν τοῦ Παντὸς, τὸν ἀθάνατον, τὸν ὑπέρτατον, τὸν ἔχοντα κόγχον, δίσκον, καὶ κορύνην ἐν χερσὶ, τὸν ἀναλλοίωτον,

30. Τὸν ἔχοντα τὴν Λαξμὴν ἐπὶ τοῦ στήθους, τὸν γόνον τοῦ παντὸς, τὸν αἴτιον πάντων τῶν αἰτίων, τὸν σοφὸν, τὸν παλαιὸν, τὸν Κύριον τοῦ παντὸς, τὸν λωτόφθαλμον,

31. Τὸν καθήμενον ἐπὶ τοῦ λωτοῦ, τὸν παντοδύναμον. Οὕτω θεωρῶν ἐν νοῒ τὸν Θεὸν εὐλαβῶς, καὶ προσκυνῶν αὐτὸν συννεχῶς,

32. Δὸς τὸ λωτοειδὲς σήσαμον, ὡς δεῖ, καὶ ὡς νενόμισται, Βραχμᾶνι ὁσίῳ, ἱλαρῷ,

33. Θεολόγῳ, καὶ ἀμοίρῳ ἐπιθυμίας καὶ ἔχθρας.

34. Εἰπὼν δὲ, «Ἀρεστόν σοι ἔστω, ὦ Θεέ» δὸς τὸ λωτοειδὲς σήσαμον, καθαρὸς ὢν, καὶ εὐλαβής,

35. Καὶ εἰπὲ, «Ὦ Θεὲ ὑπέρθεε, χρυσόφθαλμε, παντουργέ, ὀλέτωρ τῶν κακῶν, πανάγαθε, πανάρετε, παντεπίσκοπε, παντοκράτωρ,

36. »Ποίησόν με πλήρη πλούτου καὶ καρπῶν, ἄμοιρον πάντων τῶν δεινῶν, κτήτορα υἱῶν, υἱωνῶν, καὶ δούλων,

37. »Ἄνοσον, πολυθρέμμονα, πανευτυχῆ, καὶ πανελευθέριον· ἐγώ εἰμι σοὶ λατρευτής.»

38. Οὕτω δεηθεὶς τοῦ ὑπερθέου καὶ αἰωνίου Βισνοῦ, δὸς τὸ λωτοειδὲς σήσαμον εἰς ἐπιτυχίαν πάσης εὐτυχίας.

39. Ὅστις τὸν ἐκ σησάμου λωτὸν δίδωσιν οὕτως, ὡς νενόμισται, οὗτος οὐ βλέπει τὸν πολύοχλον ᾅδην.

40. Καὶ αὐτὸς δὲ ἁγνὸς καὶ μακάριος γίνεται καὶ τοὺς γονεῖς ἑαυτοῦ καὶ πάππους καὶ προπάππους ἐλευθεροῖ, καὶ πᾶσαν ὁμοῦ τὴν ἑαυτοῦ γενεάν.

41. Ὁ διδοὺς σήσαμον, ἀρετὴν μὲν ζητῶν, ἀρετὴν εὑρίσκει· πλοῦτον δὲ ζητῶν, πλοῦτον εὑρίσκει· ἀθανασίαν δὲ ζητῶν, ἀθανασίαν εὑρίσκει·

42. Οὐ μὴν ἀλλὰ καὶ ὁ πατροκτόνος, καὶ ὁ Βραχμανοκτόνος, καὶ ὁ ἐπιβὰς τοῦ λέχους τοῦ διδασκάλου, καὶ ὁ παγκάκιστος ἀπαλλάττεται τοῦ ἐγκλήματος· οὐδεμία ἐνταῦθα ἀμφιβολία.

43. Οἱ κατοιχόμενοι ἐφιέμενοι περιμένουσιν, εἴποτέ τις υἱὸς ἢ υἱωνὸς ἢ ἄλλος τις ἐκ τῆς γενεᾶς αὐτῶν δοίη λωτὸν ἐκ σησάμου.

44. Εἴτις πολύολβος ὢν καὶ πολύδωρος, δοίη Βραχμᾶνι περιβόλαια, καὶ κοσμήματα, καὶ ὀχήματα, καὶ κώμας καὶ γῆν,

45. Ὅστις καρπὸς τούτῳ ἐκ τοιαύτης δόσεως γίνεται, οὗτος ὁ καρπὸς τέλος ἔχει· οὐδεμία ἐνταῦθα ἀμφιβολία.

46. Εἴτις δὲ δοίη κατὰ τὸν νόμον σήσαμον, ὅςτις τούτῳ καρπὸς γίνεται ἐκ τοιαύτης δόσεως, τούτου τοῦ καρποῦ τέλος οὐκ ἔστι· καὶ οὐδεὶς δύναται ἐπαινέσαι, ὡς δεῖ, κἂν ἑκατονταετῆ ζωὴν ἔχοι.

47. Ἀεὶ τοίνυν διδόσθω σήσαμον, ὡς δύναμις· ἐκ γὰρ τῆς σησαμοδοσίας πάντων τῶν ἐφετῶν ἀπολαύουσιν οἱ ἄνθρωποι ἀναμφιβόλως.

48. Ὅςις θεὶς ἐν ἐλαφείῳ δέρματι ὠμῷ σήσαμον μετὰ βουτύρου,

μέλιτος καὶ χρυσίου, δίδωσι Βραχμᾶνι, οὗτος ἀπαλλάττεται πασῶν τῶν ἁμαρτιῶν.

49. Ὁλοψύχως δοτέον ἐστὶν ὕδωρ ἀεὶ εἰς πόσιν ἐν κώμῃ, ἐν πόλει, ἢ ἐν ὁδῷ, ἔνθα οὐκ ἔστιν ὕδωρ.

50. Ὅστις ποιεῖ ποτιστήριον ἀναπαυτικὸν, οὗτος ἀγαθῆς, στάσεως τυγχάνει, δυσκτήτου ἄλλοις κἀντούτῳ κἂν τῷ μέλλοντι βίῳ.

51. Φρέατα οὖν καὶ λίμνας ἀνόρυττε καὶ ποτιστήρια κατασκεύαζε μετὰ οἰκημάτων, εἰς ἄνεσιν τῶν ἀνθρώπων.

52. Δίδοθι βρῶμα λιπαρὸν ἐν καθαρῷ πινακίῳ, μεμιγμένον ὀξυγάλακτι, ἢ ὀρυζόγαλα, κατὰ τὸν νόμον.

53. Ὅστις σιτίζων τοὺς Βραχμᾶνας, δίδωσι καὶ ὑδρίας ὕδατος ψυχροῦ, οὗτος τυγχάνει τῆς ἐν οὐρανῷ δόξης.

54. Ὅστις δίδωσι Βραχμᾶνι οὐρανίσκον εἰς ἀπαλλαγὴν τῆς βροχῆς καὶ τῆς θερμότητος τοῦ ἡλίου, οὗτος παντὸς κακοῦ ἀπαλλάττεται, καὶ πλούτου καὶ παίδων τυγχάνει.

55. Ὅστις, εὔσπλαγχνος ὢν, δίδωσιν οἰκιακὰ σκεύη, ἢ οἶκον σὺν τοῖς ἐπίπλοις, ἢ προῖκα εἰς γάμον πτωχῆς,

56. Οὗτος πορεύεται εἰς τὸ οἴκημα τοῦ μεγάλου Ἴνδρα ἐν λαμπρῷ καὶ θείῳ φορείῳ, θεραπευόμενος ὑπὸ θείων νυμφῶν.

57. Ὅστις ὑποδήματα δίδωσι Βραχμᾶνι, κατακαιομένῳ τοὺς πόδας, τούτῳ οὐδέποτε γίνεται αἴσθησις τοῦ καύματος.

58· Καὶ ἅρμα δὲ παρίσχεται τούτῳ, ἐζευγμένον ἵπποις, λαμπρὸν, χρυσοῦν, καὶ λίθοις πολυτίμοις κεκοσμημένον.

59. Ὅστις δίδωσι τοῖς Βραχμᾶσι ξύλα εἰς ἀλέαν, οὗτος θερμουργὸς γίνεται, καὶ πάντα τὰ ἐφετὰ τούτῳ ἐκτελοῦνται.

60. Ὅστις ποιεῖ πυρὰ καθ' ὁδὸν ἐν χειμῶνι εἰς ἀλέαν πάντων, οὗτος λαμπρᾶς στάσεως τυγχάνει.

61. Ὅστις δίδωσι τοῖς Βραχμᾶσιν ἄλειμμα ἐκ σανδάνου, καὶ ἀγαλλόχου, καὶ μύρα, καὶ ταμβούλαν, καὶ ἄμμφια, οὗτος εἰς τὸν οὐρανὸν πορεύεται.

62. Σήσαμον, χρυσίον, ὕδωρ, βρῶμα, λύχνος, οἶκος, ταῦτα πάντα διδόμενα, θησαυροὶ ἀπόκεινται τοῖς ἐπιθυμοῦσι τοῦ οὐρανοῦ.

63. Ὅ,τι ἂν ᾖ ἐφετὸν ἐν Κόσμῳ, καὶ ὅ,τι ἀγαπητὸν ἐν οἴκῳ, τοῦτο διδότω ἀξίῳ Βραχμᾶνι ὁ ἐφιέμενος ἀφθαρσίας.

ΒΗΣΜΑΣ.

64. Ταῦτα εἰπόντος τοῦ Ἰάμα, ἤχθη ὁ Βραχμὰν οἴκαδε, χαίρων τὴν ψυχὴν, ὑπὸ τοῦ διακόνου τοῦ Ἰάμα, καὶ ἐποίησεν οὕτως, ὡς ἤκουσε.

65. Καὶ σὺ οὖν, ὦ Μέγα Βασιλεῦ, ἀγάπα τὴν σησαμοδοσίαν· ἐκ γὰρ τῆς σησαμοδοσίας καὶ οὐρανὸς ἐπίκτητος γίνεται, καὶ ἀρετὴ, καὶ ἀθανασία.

66· Ἐν ὀνόματι τοῦ Θεοῦ, ὦ Βασιλεῦ, πᾶσαι αἱ δόσεις διδόσθωσαν θεοσεβέσι Βραχμᾶσι παρὰ τῶν φρονίμων.

67. Ὁ Βραχμὰν ἐκεῖνος, ἀκούσας τοῦ μισθοῦ τῆς σησαμοδοσίας, ὃν εἶπεν ὁ Ἰάμας, διδοὺς σήσαμον, ἀνῆλθε πάλιν εἰς τὸν οὐρανὸν σὺν τοῖς οἰκείοις.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Περὶ δόσεως οἰκείου κτήματος, καὶ μὴ ἀλλοτρίου.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Εἰπέ μοι, ὦ σεβάσμιε Πάτερ, τίς ἐστιν ὁ μισθὸς τῆς δόσεως ἐκείνου, ὃς ἁρπάσας βοῦν ἀλλοτρίαν, δίδωσι Βραχμᾶνι;

ΒΗΣΜΑΣ.

2. Ὅστις ἁρπάσας βοῦν ἀλλοτρίαν, δίδωσιν αὐτὴν Βραχμᾶνι, οὗτος οὐδένα μισθὸν ἔχει, τοὐναντίον δὲ, πορεύεται εἰς τὸν ᾅδην.
3. Ἐπὶ τούτου δ' ἐπάγουσι ταύτην τὴν παλαιὰν ἱστορίαν, τὸν διάλογον τοῦ Κρισνᾶ, καὶ τοῦ μεγάλου Βασιλέως Νρήγα.
4. Πάλαι οἱ ἀπόγονοι τοῦ Ἰαδοῦ ᾤκουν ἐν τῇ Δδχραδατῇ μετὰ θεῶν, ἡμιθέων, καὶ ἀνθρώπων ἀγαθοεργῶν.
5. Ἐφάνη δ' ἐκεῖ ἓν μέγα φρέαρ, παλαιὸν, πλῆρες χόρτων καὶ θάμνων, ἐκτισμένον ὀπταῖς πλίνθοις, βαθὺ, καὶ σκοτεινόν.
6. Ἐν ἐκείνῳ δὲ τῷ μεγάλῳ φρέατι εἶδον ἐμφωλεύοντα ἕνα μεγαλόσωμον χαμαιλέοντα.
7. Μεγάλοις δὲ σχοινίοις δήσαντες τὸν χαμαιλέοντα, τὸν ὄντα, ὡς μέγα ὄρος, πολλοὺς τρόπους ἐποίησαν εἰς τὸ ἐξαγαγεῖν αὐτὸν ἐκ τοῦ φρέατος,
8. Ἀλλ' οὐκ ἠδυνήθησαν αὐτὸν ἐξαγαγεῖν· ὅθεν ἀνήγγειλαν περὶ τούτου τῷ Θεῷ Κρισνᾷ, τῷ υἱῷ τῆς Δεβακῆς, ὃς ἐλθὼν ἐξήγαγεν αὐτόν.
9. Ἐξαχθεὶς δὲ, καὶ ἐρωτηθεὶς ὑπὸ τοῦ Κρισνᾶ, τίς εἴη,

ἀπεκρίνατο, ὡς αὐτός ἐστιν ὁ μέγας Βασιλεὺς Νρήγας, ὃς πάλαι ἀναριθμήτους θυσίας ἔθυσεν.

10. Εἰπόντι δ' οὕτως, εἶπεν ὁ Κρισνᾶς· «Σὺ ἀγαθὰ ἔπραξας, ἀλλ' οὐχὶ κακά· πῶς δ' ἄρα τοιαύτης κακῆς στάσεως ἔτυχες; τί ἐστι τοῦτο; εἰπέ.

11. Ἡμεῖς ἠκούσαμεν, ὡς ὑπὲρ τὸν ἀριθμὸν πάλαι δωρήματα ἐδωρήσω· ποῦ ὁ καρπὸς ἐκείνων τῶν μεγάλων σου δωρημάτων;

ΝΡΗΓΑΣ.

12. Βοῦς Βραχμᾶνος, ἀποπλανηθεῖσα, καὶ συναγελασθεῖσα ταῖς ἐμαῖς βουσὶν, ἐδόθη παρ' ἐμοῦ, ἀγνοοῦντος, ἄλλῳ Βραχμᾶνι.

13. Ὁ δὲ ἀπολέσας τὸν Βοῦν, ἀνιχνεύων καθ' ὁδὸν, εἶδεν αὐτὴν, καὶ κρατήσας, ἔφη· «Αὕτη ἐμή ἐστιν· ἐγὼ κύριος ἤμην αὐτῆς πρότερον.»

14. Διαφερόμενοι δ' ἀμφότεροι, ἦλθον πρὸς ἐμέ· καὶ ὁ μὲν ἔλεγέ μοι· «Σὺ εἶ ὁ δούς·» ὁδὲ, «Σὺ εἶ ὁ συλήσας.»

15. Ἐγὼ δ' ἀκούσας, εἶπον πρὸς τὸν λαβόντα· «Ἀντὶ τῆς μιᾶς δαμάλεως λάβε χιλίας, καὶ δὸς αὐτὴν τῷ κυρίῳ·» Ὁ δ' ἔφη·

16. «Ἡ δάμαλις πολυγάλακτός ἐστι, νέα, καὶ ἀγαθοφυής· διὸ οὐ δύναμαι ἀπολεῖψαι αὐτήν·» Οὕτως εἰπὼν, ἀνεχώρησε.

17. Πρὸς δὲ τὸν ἕτερον Βραχμᾶνα εἶπον, παρακαλῶν· «Ἀντὶ μιᾶς δαμάλεως, ἣν ἀπώλεσας, λάβε χιλίας.»

18. Ὁ δ' ἔφη· «Ἐγὼ οὐ λαμβάνω τι δῶρον παρὰ Βασιλέως· ἱκανὸς γάρ εἰμι θρέψαι ἐμαυτόν· ἡ οἰκεία δάμαλις δοθήτω μοι.» Οὕτως εἰπὼν, ἀνεχώρησε.

19. Οὕτω μὲν οὖν διαφερόμενοι ἀμφότεροι οἱ Βραχμᾶνες,

μὴ στέρξαντες λαβεῖν, μήθ' ὁ εἷς, μήθ' ὁ ἕτερος χιλίας δάμαλεις, ἀπῆλθον εἰς τὰ ἴδια.

20. Ἐγὼ δ' ἐν ἐκείνῳ τῷ χρόνῳ κληθεὶς ὑπὸ τοῦ θανάτου, παρεγενόμην πρὸς τὸν Ἰάμαν, τὸν Θεὸν τοῦ νόμου.

21. Ἀσπασάμενός με δ' ὁ θεῖος Ἰάμας, ἔφη· « Οὐκ ἔστι τέλος τοῦ ἀριθμοῦ τῶν ἀγαθῶν σου ἔργων, ὦ Βασιλεῦ.

22. »Ὅση ἄμμος ἐστὶν ἐν γῇ, καὶ ὅσα ἄστρα ἐν οὐρανῷ, καὶ ὅσοι κρουνοὶ τῆς βροχῆς, τοσοῦτον πλοῦτον ἔδωκας.

23. »Ἔστι δέ τι καὶ ἁμάρτημα, ὃ ἔπραξας ἐξ ἀγνοίας· τούτου οὖν τοῦ ἁμαρτήματος τοῦ καρποῦ ἢ πρότερον ἀπόλαυσον, ἢ ὕστερον, ὡς κρίνεις εὔλογον.

24. »Ἀναγκαίως δεῖ ἀπολαῦσαι τοῦ καρποῦ τῶν ἀγαθῶν ἢ κακῶν ἔργων· οὐ γὰρ ἂν ἄλλως πως γένοιτο ἀνάλωμα τοῦ καρποῦ αὐτῶν.

25. »Οὐδείς ἐστι τρόπος θεῖος ἢ ἀνθρώπειος, δι' οὗ τὸ ἔργον τῶν ἀνθρώπων σχοίη ἂν ἀνάλωμα ἄνευ τῆς ἀπολαύσεως·

26. »Τότε τὸ ἁμάρτημα τοῦ ἀνθρώπου ἐξαλείφεται, ὅταν μετάνοια καὶ παιδεία γένηται, ὡς ἐῤῥέθη ὑπὸ τῶν ἁγίων ἀνδρῶν.

27. »Οὐδεὶς δύναται ἐξαλεῖψαι τὴν ἀρετήν σου, ἥ ἐστιν ἀνεξάλειπτος· πρῶτον μὲν οὖν ἀπόλαυσον τοῦ καρποῦ τῶν ἀγαθῶν ἔργων, εἶτα δὲ τοῦ οὗ ἔπραξας ἁμαρτήματος. »

28. Ἐγὼ δ' ἔφην· « Εἰ τὸ ἁμάρτημά μου ἐξαλειφθείη, πρῶτον μὲν ἀπολαύσω τοῦ καρποῦ τοῦ ἁμαρτήματος, εἶτα δὲ τῶν ἀγαθῶν ἔργων.

29. »Πρῶτον ἀπολαύσω τοῦ καρποῦ τοῦ ἁμαρτήματος, ὃ ψέγεται ὑπὸ τῶν ἀγαθῶν ἀνθρώπων. » Οὕτως εἰπὼν τῷ Ἰάμᾳ, ἔπεσον κατὰ γῆς.

30. Ἤκουσα δὲ τοῦ Ἰάμα, λέγοντός μοι ὄπισθεν μεγαλοφώνως· « Ὁ Κρισνᾶς ἔσταί σοι τελευταῖον ὁ λυτρωτής. »

31. Εἶδον δ' ἔπειτα ἐμαυτὸν, πεσόντα κατὰ κεφαλῆς εἰς τὸ φρέαρ, λαβὼν φύσιν ἀλόγου ζώου· ἐνθυμοῦμαι καλῶς.
32. Αὕτη ἐστὶ κυρίως δόσις, τὸ ἀλλοτριωθῆναι τοῦ οἰκείου κτήματος, καὶ ἄλλον ἀποδεῖξαι κύριον τούτου· ἐγὼ δὲ τοὐναντίον ποιήσας, ἰδοὺ πέπτωκα.
33. Ἐγὼ ὑπὸ σοῦ σήμερον ἐλυτρώθην· σὺ εἶ ὁ Θεὸς τῶν θεῶν, ὁ Κύριος τοῦ Κόσμου, καὶ ὁ ὀλέτωρ τῶν κακῶν.
34. Ὦ χιλιόμματε, τὸ ἔρεισμα τοῦ κόσμου, δός μοι ἄδειαν· ἐγὼ πορεύομαι εἰς τὸν οὐρανόν.»

ΒΗΣΜΑΣ.

35. Λαβὼν δ' ἄδειαν παρὰ τοῦ Κυρίου τῶν τριῶν Κόσμων καὶ προσκυνήσας αὐτὸν, ἀναβὰς ὄχημα θεῖον, θείαν μορφὴν ἔχων, ἀνῆλθεν εἰς τὸν οὐρανόν.
36. Ἀνελθόντος εἰς τὸν οὐρανὸν τοῦ Βασιλέως Νρήγα, ὁ Θεὸς Κρισνᾶς εἶπε πρὸς τοὺς περὶ ἑαυτόν·

ΚΡΙΝΣΑΣ.

37. Οὐδαμῶς δεῖ ἁρπάζειν κτῆμα Βραχμᾶνος· τὸ γὰρ κτῆμα τοῦ Βραχμᾶνος εἰς πτῶσιν φέρει τὸν ἁρπάσαντα, καθὼς ἡ βοῦς τοῦ Βραχμᾶνος τὸν Βασιλέα Νρήγαν.
38. Ὅστις δίδωσι μὲν πολλὰς βοῦς, ἁρπάζει δὲ μίαν, οὗτος κολάζεται· κάλλιον γάρ ἐστι τὸ μὴ ἁρπάζειν μίαν βοῦν ἢ τὸ διδόναι πολλάς.
39. Τρεφομένη ἐξ ἀδικίας καὶ ἁρπαγῆς ἡ ἱππικὴ καὶ πεζικὴ δύναμις ταχέως ἀφανίζεται, καθὼς τὰ νέφη ἐν ὥρᾳ Σαράδας (φθινοπώρου).
40. Καὶ μέγα ὂν τὸ πῦρ κατασβέννυται ὑπὸ τοῦ ὕδατος· οὐδεὶς δ' ὅμως τρόπος ἐστὶ τῆς καταπαύσεως τοῦ ἐξ ἀδικίας καὶ ἁρπαγῆς καιομένου πυρός.

41. Τὸ λαμβανόμενον κολακείᾳ καὶ πειθοῖ ξένον πρᾶγμα κατακαίει ἑπτὰ γενεάς· τὸ δὲ λαμβανόμενον βίᾳ κατακαίει δεκαεπτὰ γενεὰς προγόνων, καὶ δεκαεπτὰ ἐπιγόνων.

42. Ὁ ἅρπαξ ἀλλοτρίου κτήματος σκώληξ ἐν κόπρῳ γεννᾶται ἑξακισμύρια καὶ ἑξακισχίλια ἔτη.

43. Καὶ τὸν λίθον καὶ τὸν σίδηρον καταπέψειεν ἂν ὁ ἄνθρωπος μεθόδῳ τινι· οὐδεμία ὅμως μέθοδός ἐστι, δι' ἧς καταπεφθείη ἂν τὸ ἀλλότριον πρᾶγμα.

44. Οὐδέν τι ἐν κόσμῳ δυσπεπτότερόν ἐστι τοῦ ἀλλοτρίου πράγματος· καὶ ἀθεράπευτον δ' ἐστιν, ὡς τὸ θανατηφόρον φάρμακον.

45. Τὸ ἀλλότριον πρᾶγμα δεινότερον λέγεται καὶ τοῦ θανατηφόρου φαρμάκου· τὸ μὲν γὰρ φάρμακον ἕνα μόνον ἀναιρεῖ, τὸ δ' ἀλλότριον πρᾶγμα ἅπασαν τὴν γενεάν.

46. Τὸ μὲν πῦρ τοῦ ἄλσους τὰ δένδρα μόνον καταπυρπολεῖ, τὴν δὲ ῥίζαν ἀφίησιν ἀλύμαντον· τὸ δ' ἐξ ἁρπαγῆς τοῦ ἀλλοτρίου πράγματος πῦρ παγγενῆ τὸν ἄνθρωπον κατακαίει.

47. Ὁ ἐφιέμενος ἄρα τοῦ οἰκείου ἀγαθοῦ ἄνθρωπος μὴ ἁρπαζέτω τὸ ἀλλότριον πρᾶγμα, ὅπερ ἐστὶ δεινότερον τοῦ ἐν ἄλσει πυρὸς καὶ τοῦ δηλητηρίου φαρμάκου.

ΒΗΣΜΑΣ.

48. Οὕτως εἰπὼν ὁ Θεὸς Κρισνᾶς, ὁ Κύριος τοῦ Κόσμου, καὶ ἁγιαστικὸς πάντων, ἐπανῆλθεν εἰς τὴν πόλιν Δβαραβατήν.

49. Ἡ μετὰ τῶν ἀγαθῶν ἀνδρῶν ἔντευξις οὐδέποτ' ἂν ἀνωφελὴς γένοιτο, ὦ Βασιλεῦ. Ὁ Βασιλεὺς Νρήγας ἐλυτρώθη τῆς κολάσεως διὰ τῆς τοῦ ἀγαθοῦ Κρισνᾶ ὁμιλίας.

50. Ἡ τῶν ἀγαθῶν ἀνδρῶν θέα, θίξις, φήμη (εὐφημία), καὶ καὶ ἐνθύμησις ἁγιαστική ἐστιν ὡς ἡ τῶν ἁγίων τόπων.

51. Ταῦτα εἰδώς, θεράπευε καὶ τίμα ἀεὶ τοὺς ἀγαθοὺς καὶ σπουδαίους ἄνδρας, καὶ ἄπεχε τοῦ ἀλλοτρίου κτήματος, εἰ ἐπιθυμεῖς ὑψηλῆς στάσεως.

52. Πολυπραγμονήσας ἀκριβῶς, δίδοθι τὸ οἰκεῖον κτῆμα· ἡ γὰρ δόσις τοῦ ἀλλοτρίου κτήματος ἀνατρέπει τὴν εἰς οὐρανὸν ἀνάβασιν· καὶ φρόνει, ὡς κακὴ στάσις γίνεται τῷ ἁρπάζοντι τὸ ἀλλότριον κτῆμα, καὶ μάλιστα τὸ τοῦ Βραχμᾶνος.

ΚΕΦΑΛΑΙΟΝ ΚΣΤ΄.

Περὶ οἰκήσεως μετ᾽ ἀγαθῶν ἀνδρῶν.

ΙΝΔΑΔΙΣΤΙΡΑΣ.

1. Εἰπέ μοι, ὦ σεβάσμιε πάτερ, οἷα ἀγαθὰ γίνεται ἐκ τῆς μετ᾽ ἀγαθῶν καὶ θείων ἀνδρῶν οἰκήσεως;

ΒΗΣΜΑΣ.

2. Εἰς τοῦτο ἐγὼ διηγήσομαί σοι ταύτην τὴν παλαιὰν ἱςορίαν, τὸν διάλογον τοῦ Βασιλέως Ναχούσσα, καὶ τοῦ μεγάλου ὁσίου Σεβάνα.

3. Ὁ μέγας ὅσιος καὶ μέγας ἀσκητὴς Σεβάνας, ὁ υἱὸς τοῦ Βριγοῦ, τὴν οἴκησιν ἐποιήσατο ἐν τῷ ὕδατι.

4. Αὐτὸς ἀφεὶς τὴν ἐπιθυμίαν, τὸν θυμὸν, τὴν ἀπέχθειαν, τὴν ἄγνοιαν, καὶ τὴν ὑπερηφανίαν, εἰσδὺς διέτριβεν ἐν τοῖς ὕδασιν, ἔνθα συμμίγνυται ὁ Ἰαμουνᾶς καὶ ὁ Γάγγης ποταμός.

5. Οὕτω δ᾽ ὑπήκοοι ἦσαν αὐτῷ αὐτοὶ οἱ ποταμοὶ, ὥστε οὐκ

ὤθουν αὐτὸν τοῖς ῥεύμασιν, οὐδὲ παρηνώχλουν, ἀλλ' ἔῤῥεον ἐκ τῶν πλαγίων.

6. Ἦν δὲ πολὺν χρόνον διατρίβων ἐν τοῖς ὕδασιν, ἱστάμενος ἀκλόνητος, ὡς στύλος, ἐν μεγάλῃ θεωρίᾳ.

7. Καί ποτε ἦλθον κατ' ἐκεῖνο τὸ μέρος ἁλιεῖς· καὶ βαλόντες μέγα δίκτυον, εἵλκυσαν αὐτὸ ἐκ τοῦ ὕδατος πλῆρες.

8. Ἐξήγαγον δ' ἐξ ἐκείνου τοῦ ὕδατος σὺν τοῖς ἰχθύσι καὶ τὸν Σεβάναν ἐκεῖνον.

9. Ἰδόντες δ' αὐτὸν οἱ ἁλιεῖς, φωτοειδῆ ὄντα, φόβῳ συνεσχέθησαν, καὶ πεσόντες κατὰ γῆς, προσεκύνησαν, εἰπόντες·

10. «Ἄξιος εἶ ἀνασχέσθαι ἡμῶν, τῶν πταισάντων ἐξ ἀγνοίας· τί δὲ ποιήσωμέν σοι θυμῆρες; πρόσταξον, ὦ ὅσιε.»

11. Ὁ δὲ βλέπων τὸν προσδοκώμενον ὄλεθρον τῶν ἰχθύων, εἶπεν αὐτοῖς, εὐσπλαγχνίᾳ καὶ συμπαθείᾳ κινούμενος·

12. «Ἐγὼ σὺν τοῖς ἰχθύσιν (Σεβάνας) ἢ ἀναιρεθήσομαι, ἢ πωληθήσομαι· ἐκ γὰρ τῆς συνοικήσεως ἀπολιπεῖν αὐτοὺς τοὺς ταλαιπώρους οὐ δύναμαι, πάσχοντας.

13. »Τίς ἄλλος μᾶλλον ἀπάνθρωπός ἐστιν ἐκείνου, ὃς βλέπων ἄλλους πάσχοντας πάθη παντοῖα, μόνην τὴν ἑαυτοῦ σωτηρίαν ζητεῖ;

14. »Φεῦ! καὶ τῶν σοφῶν ὁ νοῦς ἀποβλέπει εἰς τὸ ἴδιον ὄφελος! ἀλλ' ἡ πρὸς πάντας εὐσπλαγχνία οὐκ ἔστιν ἔξω τῆς ἰδίας ὠφελείας.

15. »Ὅτε δὲ οἱ σοφοὶ καὶ θεωρητικοὶ μόνου τοῦ ἰδίου ἀγαθοῦ φροντίζουσιν, οἱ ἐν κόσμῳ δεινὰ πάσχοντες ποῦ καταφυγὴν ἕξουσι;

16. »Τίς ἂν εἴη τρόπος, δι' οὗ ἀπαλλαγὴ ἂν γένοιτο τῶν δεινῶν τούτων τῶν πασχόντων ἐν κόσμῳ; εἴθε εἰσέλθοιμι εἰς αὐτούς, καὶ τληπαθὴς εἴην ἀεί.

17. »Βαβαί! ἄλλοι μὲν τῶν ἰχθύων σπαίρουσιν! ἄλλοι δὲ

κατακυλίονται! καὶ ἄλλοι *μεγαλόσωμοι* ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων καταθλίβονται!

18.»Ὅςτις, βλέπων τυφλοὺς, κωφοὺς, ἀναπήρους, ὀρφανοὺς, καὶ ἐμπαθεῖς οὐκ ἐλεεῖ, οὗτος ἐλεεινός ἐστι, καὶ μωρόφρων.

19.»Ὅςτις δυνάμενος, οὐ διασώζει τοὺς ἐν κινδύνῳ καὶ ἀγῶνι θανάτου ὄντας, οὗτος κακῆς στάσεως τυγχάνει.

20.» Ὁ οὐρανὸς καὶ ἡ ἀθανασία οὐδὲ τὸ ἑκκαιδεκατημόριον ἔχει τῆς χαρᾶς ἐκείνης, ἣ γίνεται τῷ ἀπαλλάττοντι τὴν θλίψιν τῶν θλιβομένων.

21.» Ὅθεν οὐκ ἀπολείψω τούτους τοὺς ταλαιπώρους ἰχθύας, δεινῶς πάσχοντας· ἐκ γὰρ τούτου τεύξομαι οὐχ ἁπλῶς τοῦ οὐρανοῦ, ἀλλ' αὐτῆς τῆς χώρας τοῦ Βραχμᾶ.

22.»Ἀλλ' οὐδὲ ζημίαν τινα ὑμῖν ποιήσω· ἀναγγείλατε περὶ ἐμοῦ τῷ Βασιλεῖ· ὁ δὲ τὴν τιμὴν ἐμοῦ δώσει.»

ΒΗΣΜΑΣ.

23. Ἀκούσαντες οἱ ἁλιεῖς κατεπλάγησαν· καὶ ἐλθόντες, ἀνήγγειλαν πάντα τῷ Βασιλεῖ Ναχούσσᾳ.

24. Ὁ δὲ Ναχούσσας, ἀκούσας, θαυμάζων τὴν ψυχὴν, ἔλεγεν· «Τίς οὗτος ὁ ὑπερφυὴς, ὃς τὴν οἴκησιν ἐν ὕδατι ἐποιήσατο;»

25. Ταῦτα διανοηθεὶς, εὐλάβειαν ἔσχε καὶ φόβον, νομίσας ὡς θεσπέσιος ἐστὶν ὁ ἀνήρ.

26. Ἀφεὶς δὲ πᾶσαν παράταξιν στρατιᾶς, ἐπορεύθη δρομαῖος μετ' ὀλίγων ἀκολούθων, βουλευτῶν, καὶ ἱερουργῶν.

27. Ἰδὼν δὲ τὸν ἡλιοειδῆ Σεβάναν, ἔγνω, ὡς αὐτός ἐστιν ὁ υἱὸς τοῦ Βριγοῦ, ὁ λίαν ἐγκρατὴς καὶ θεωρητικός.

28. Καὶ τιμήσας αὐτὸν τὸν ἰσόθεον, ὡς ἔδει, ἔφη· «Εἰπὲ προστακτικῶς, ὦ θεσπέσιε, ὅ,τι με δεῖ ποιῆσαι.»

ΣΕΒΑΝΑΣ.

29. Οἱ ἁλιεῖς λίαν ἐπόνησαν, ἐπειδὴ ἀποζῶσι· δὸς τούτοις τὴν ἀξίαν τιμὴν ἐμοῦ, ὦ ἄριστε βασιλεῦ,

30. Ἵνα ἐγὼ τῇ δόσει τῆς τιμῆς λυτρωθῶ τοῦ δεσμοῦ, εἰς ὃν ἔπεσον μετὰ τῶν ἰχθύων, καὶ ποιήσω τότε τὸ δοκοῦν μοι.

31. Ὅταν δὲ λυτρώσω ἐμαυτὸν τῇ δόσει τῆς τιμῆς, τότε διασώζω καὶ τοὺς ἰχθύας· αὕτη ἐστὶν ἡ ἐμὴ γνώμη.

ΝΑΧΟΥΣΣΑΣ.

32. Ἑκατοντακισχίλια ἀργύρια δοθήτωσαν τοῖς ἁλιεῦσιν εἰς ἐξαγορὰν τοῦ θεσπεσίου ἀνδρὸς, ὡς ἔφη.

ΣΕΒΑΝΑΣ.

33. Ἐγὼ οὐ λυτροῦμαι ὑπὸ σοῦ διὰ τιμῆς ἑκατοντακισχιλίων ἀργυρίων· ἀξία τιμὴ δοθήτω· σκέψαι δὲ περὶ τούτου μετὰ τῶν βουλευτῶν.

ΝΑΧΟΥΣΑΣ.

34. Δεκάκις ἑκατοντακισμύρια ἀργύρια δοθήτωσαν τοῖς ἁλιεῦσιν· εἰδ' οὐκ ἀρκεῖ αὕτη ἡ τιμὴ, καὶ ἄλλα πολλὰ προσδοθήτωσαν.

ΣΕΒΑΝΑΣ.

35. Ἐγὼ οὐκ ἄξιός εἰμι δεκάκις ἑκατοντακισμυρίων ἀργυρίων, οὐδὲ πλειόνων τούτων· ἀξία δοθήτω τιμή· περὶ δὲ τούτου σκέψαι μετὰ τῶν Βραχμάνων.

36. Οὐ δεῖ τινι λέγειν περὶ τῆς ἑαυτοῦ τιμῆς· τὸν γὰρ τοιοῦτον οὐκ ἐπαινοῦσιν οἱ ἄνθρωποι· ὅθεν ἐγὼ οὐ λέγω περὶ τῆς ἐμαυτοῦ τιμῆς, οὐδ' ἔπαινον λέγω ἐμαυτοῦ.

ΝΑΧΟΥΣΣΑΣ.

37. Τὸ ἥμισυ τῆς βασιλείας μου ἢ τὸ ὅλον δοθήτω τοῖς ἁλιεῦσιν· τοῦτο ἐγὼ κρίνω· σὺ δὲ τί κρίνεις, ὦ ὅσιε;

ΣΕΒΑΝΑΣ.

38. Οὔτε τοῦ ἡμίσεος, οὔτε τοῦ ὅλου τῆς σῆς βασιλείας ἄξιός εἰμι, ὦ Βασιλεῦ· ἀξία δοθήτω τιμή· περὶ δὲ τούτου σκέψαι μετὰ τῶν ὁσίων.

ΒΗΣΜΑΣ.

39. Ἀκούσας τοῦ λόγου τοῦ μεγάλου ὁσίου ὁ Ναχούσσας, λίαν θλιβόμενος, καὶ ἀνιώμενος ἐσκέπτετο μετὰ τῶν βουλευτῶν καὶ ἱερουργῶν.

40. Ἐλθὼν δ' ἐνταῦθα ὅσιός τις καὶ μέγας ἀσκητὴς, ᾧ ὄνομα Γαβιζάτας, (Βοογενὴς) εἶπε τῷ Ναχούσσᾳ· «Μὴ φοβοῦ· ἐγὼ γὰρ ἱλαρὸν ποιήσω τὸν ὅσιον Σεβάναν.»

ΝΑΧΟΥΣΣΑΣ.

41. Εἰπὲ, ὦ θεῖε Βραχμὰν, τὴν τιμὴν τούτου τοῦ μεγάλου ὁσίου· διάσωσον ἀπὸ τῆς ὀργῆς τούτου καὶ ἐμὲ, καὶ τὴν ἐμὴν χώραν, καὶ τὸ ἐμὸν γένος.

42. Ὀργισθεὶς ὁ Βραχμὰν, καὶ τὸν τριττὸν Κόσμον ὀλέσειεν ἂν σὺν τῷ Κυρίῳ αὐτοῦ, πολλῷ μᾶλλον ἐμὲ τὸν ἄμοιρον ἀρετῆς, καὶ ἐλπίζοντα εἰς τὴν δύναμιν τῆς ἐμαυτοῦ χειρός (τὸν ἅρπαγα, καὶ φονέα).

ΓΑΒΙΖΑΤΑΣ.

43. Οἱ θεῖοι καὶ σεβάσμιοι Βραχμᾶνες ἀτίμητοί εἰσι· καὶ αἱ βόες δὲ θεαί εἰσιν· ὅθεν βοῦς δοθήτω εἰς τιμήν.

ΒΗΣΜΑΣ.

44. Τούτου τοῦ λόγου ἀκούσας ὁ Βασιλεὺς, χαρεὶς χαρὰν μεγάλην σὺν τοῖς βουλευταῖς καὶ ἱερουργοῖς, εἶπε τῷ ὁσίῳ Σεβάνᾳ·

ΝΑΧΟΥΣΣΑΣ.

45. Ἀνάστα, ἀνάστα, ὦ ὅσιε Βραχμάν· ἠγοράσθης διὰ βοός· ταύτην τὴν τιμὴν ἐγὼ κρίνω εὔλογον.

ΣΕΒΑΝΑΣ.

46. Ἰδοὺ ἐγὼ ἀνίσταμαι, ὦ μέγα Βασιλεῦ· ἀξίως ἠγοράσθην ὑπὸ σοῦ· οὐ γὰρ βλέπω ἐν γῇ ἰσοστάσιον τῇ βοΐ κατὰ τὴν ἁγνότητα·

47. Αἱ βόες τιμητέαι εἰσὶν ἀεὶ καὶ προσκυνητέαι· αὗται γὰρ αἱ θεαὶ ἐπλάσθησαν ὑπὸ τοῦ Βραχμᾶ δοχεῖα χάριτος.

48. Οἱ τόποι τῶν ἀσβέστων πυρῶν τῶν Βραχμάνων, καὶ οἱ ναοὶ τῶν θεῶν καθαίρονται διὰ τοῦ βολίτου τῶν βοῶν· τί ἄλλο κρεῖττον τούτου;

49. Τὸ οὖρον τῆς βοὸς, τὸ βόλιτον, τὸ γάλα, τὸ ὀξύγαλα, καὶ τὸ βούτυρον, ταῦτα τὰ πέντε καθαίρουσι πάντα τὸν κόσμον.

50. «Αἱ βόες ἔστωσαν ἀεὶ καὶ ἔμπροσθεν καὶ ὄπισθέν μου· »αἱ βόες ἔστωσαν ἐν τῇ ἐμῇ καρδίᾳ· καὶ ἐν τῷ βοοστα- »σίῳ διατρίβοιμι.»

51. Ὅστις λέγει ταύτην τὴν εἰρημένην μυστικὴν εὐχὴν ἐν ἑσπέρᾳ καὶ πρωῒ καὶ μεσημβρίᾳ, καθαρὸς ὢν, καὶ ἐγκρατὴς, οὗτος πασῶν τῶν ἁμαρτιῶν ἀπαλλάττεται, καὶ εἰς τὴν χώραν τοῦ Βισνοῦ πορεύεται.

52. Ὅστις ποιεῖ οἴκημα τῶν βοῶν εἰς ἀπαλλαγὴν ψύχους,

ἀέρος, καὶ καύματος, οὗτος παντὸς δεινοῦ ἀπαλλάττεται, καὶ αἰώνιον ἀνάπαυσιν εὑρίσκει.

53. Ὅστις δίδωσιν ἀεὶ χλόην καὶ σιτίον τῇ βοΐ, πρὶν αὐτὸς ἀριστήσῃ, οὗτος πορεύεται εἰς τὸν οὐρανόν.

54. Ὅστις δίδωσι καθ' ἑκάστην τροφὴν ταῖς Βουσὶν, οὗτος καὶ λοιβὰς καὶ σπονδὰς τῷ πυρὶ ἐποίησε, καὶ χοὰς καὶ ἐναγίσματα τοῖς οἰχομένοις, καὶ τοὺς θεοὺς πάντας προσφοραῖς ἐτίμησεν.

55. Αἱ βόες εἰσὶν ἡ ἀρχὴ καὶ τὸ μέσον καὶ τὸ τέλος τῆς θυσίας· αἱ βόες ῥέουσιν ἀεὶ θείαν ἀμβροσίαν, ἥ ἐστι τὸ γάλα.

56. Ἀνθ' ὧν βόες διδόσθωσαν, καὶ τιμάσθωσαν ἀεί· αὗται γὰρ ἐποιήθησαν ὡς κινηταὶ κλίμακες τοῦ οὐρανοῦ.

ΒΗΣΜΑΣ.

57. Ἀκούσαντες οἱ ἁλιεῖς τῆς μεγάλης χάριτος τῶν βοῶν, προσκυνήσαντες τὸν μέγαν ὅσιον Σεβάναν, εἶπον·

ΑΛΙΕΙΣ.

58. Ἡμεῖς ἠκούσαμεν, ὡς ἡ ἔντευξις, ἡ θέα, ἡ θίξις, ἡ ἐνθύμησις, καὶ τὸ ὄνομα τῶν ἀγαθῶν ἀνδρῶν, καθαρτικά ἐστι πάντως γε.

59. Ἐκ τῆς πρὸς ἡμᾶς σου ἐντεύξεως καὶ θέας χάρις ἡμῖν ἐγένετο· ὅθεν εὐμενὴς γενόμενος, δέξαι ταύτην τὴν βοῦν, ἣν ἐλάβομεν δι' ἐξαγοράν σου.

ΣΕΒΑΝΑΣ.

60. Ἐγὼ δέχομαι ταύτην τὴν βοῦν παρ' ὑμῶν· ἀπαλλαγέντες δὲ τῶν ἁμαρτιῶν πορεύεσθε εἰς τὸν οὐρανὸν σὺν τοῖς ἐξαχθεῖσιν ἐξ ὕδατος ἰχθύσιν.

61. Ἥτις ἀρετὴ πέπρακται ὑπ᾽ ἐμοῦ ἔργῳ, λόγῳ, διανοίᾳ, καὶ σώματι, διὰ ταύτης πάντες οἱ θλιβόμενοι εἴησαν ἐν ἀνέσει.

ΒΗΣΜΑΣ

62. Ἐκ δὲ τῆς χάριτος καὶ τοῦ λόγου τούτου τοῦ μεγάλου ὁσίου καὶ θεόφρονος Σεβάνα ἐπορεύθησαν οἱ ἁλιεῖς εἰς τὸν οὐρανὸν μετὰ τῶν ἰχθύων.

63. Ἰδὼν δ᾽ ὁ βασιλεὺς Ναχούσσας τοὺς ἁλιεῖς ἀνερχομένους μετὰ τῶν ἰχθύων εἰς τὸν οὐρανὸν, μεγάλως ἐθαύμασε σὺν τοῖς περὶ ἑαυτὸν, καὶ εἶπε·

ΝΑΧΟΥΣΣΑΣ.

64. Τιμητέοι εἰσὶν ὑπὸ τῶν ἐφιεμένων τοῦ οἰκείου ἀγαθοῦ οἱ ἀγαθοὶ καὶ ὅσιοι ἄνδρες, οἱ ὄντες ὅμοιοι τοῖς ἁγιαστικοῖς τόποις· καὶ γὰρ ἡ πρὸς αὐτοὺς καὶ ἐν ὀλίγῳ χρόνῳ θεραπεία οὐκ ἂν γένοιτο ἀνωφελής.

65. Ἡ τῶν ἀγαθῶν θέα ἀγαθή ἐστιν· οἱ γὰρ ἀγαθοὶ ἁγιαστικοί εἰσιν. Ὁ μὲν γὰρ ἁγιαστικὸς τόπος μετὰ χρόνον ὠφελεῖ, ἡ δὲ μετὰ τῶν ἀγαθῶν ἔντευξις εὐθέως.

ΒΗΣΜΑΣ.

66. Ὁ δὲ ὅσιος Σεβάνας καὶ ὁ μέγας ἀσκητὴς καὶ ἐχέφρων Γαβιζάτας εἶπον τῷ Βασιλεῖ αἰτῆσαι ἣν θέλει χάριν.

67. Ὁ δ᾽ ἤτησε κλίσιν εἰς τὴν ἀρετήν· εἰπόντες δ᾽ οἱ ὅσιοι, χαίροντες, «Οὕτως ἔστω», ἐπῄνεσαν αὐτόν.

68. »Δυσεύρετός ἐστιν ὁ φιλάρετος ἐν ἀνθρώποις, καὶ μάλιστα ἐν βασιλεῦσι. Μακάριος εἶ, μέγα Βασιλεῦ· νίκα (εὖ σοι γένοιτο)· ἔστω δέ σοι γνώμη εἰς τὴν ἀρετὴν στερεά.

69. Ἐκ τῆς βασιλείας μεγάλη οἴησις γίνεται τοῖς βασιλεῦσιν

ἐκ δὲ τῆς οἰήσεως μεγάλη ἄγνοια· ἐκ δὲ τῆς ἀγνοίας ὁ ᾅδης· διὰ τοῦτο οἱ ἐχέφρονες κατηγοροῦσι τῆς βασιλείας.

70. Οἱ μὲν φιλήδονοι περὶ πολλοῦ ποιοῦνται τὴν βασιλείαν· οἱ δὲ νουνεχεῖς βλέπουσι τὴν βασιλείαν ὡς ᾅδην.

71. Μὴ ἔχε οὖν, ὦ μέγα Βασιλεῦ, οἴησιν, τὴν καταστρέφουσαν καὶ τοῦτον καὶ τὸν μέλλοντα βίον, εἰ ἐπιθυμεῖς αἰωνίου στάσεως.

72. Ἀλλ᾽ οὐκ ἔσεταί σοι οἴησις παγχάλεπος, καὶ λυμαντικὴ ἀμφοτέρων τῶν βίων· οὐδαμῶς ἀμφιβάλλομεν.

73. Πάντως γε, ὦ Βασιλεῦ, ἐλυτρώθης τῇ χάριτι ἡμῶν, ἐπειδὴ ᾔτησας ἡμᾶς κλίσιν εἰς τὴν ἀρετήν.

ΒΗΣΜΑΣ.

74. Οὕτως εἰπόντες ἐκεῖνοι οἱ ὅσιοι, ἀπῆλθον ἕκαστος εἰς τὰ ἴδια ἀσκητήρια· ὁ δὲ Βασιλεὺς Ναχούσσας, λαβὼν τὴν χάριν, ἐπανῆλθεν εἰς τὴν ἑαυτοῦ πόλιν, χαίρων.

75. Ἐῤῥέθησάν σοι ὑπ᾽ ἐμοῦ, ὦ μέγα Βασιλεῦ, τὰ ἀγαθὰ τῆς μετὰ τῶν ἀγαθῶν οἰκήσεως, καὶ τῶν πανευδαιμόνων βοῶν· τί ἄλλο πλέον μαθεῖν θέλεις;

ΚΕΦΑΛΑΙΟΝ ΚΖ΄.

Περὶ νοερῶν ἁγιασμάτων.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

1. Ἐπειδὴ οἱ ἅγιοι ἄνδρες ἐπαινοῦσι τὰ νοερὰ ἁγιάσματα, εἰπεῖν μοι ἄξιος εἶ περὶ τούτων, ὡς ἔχει, ὦ ἄριστε τῶν τῆς γενεᾶς Κουροῦ.

ΒΗΣΜΑΣ.

2. Ἐπὶ τούτου ἐπάγουσι ταύτην τὴν παλαιὰν ἱστορίαν, τὸν διάλογον τοῦ Βασιλέως Ζανάκα, καὶ τοῦ ὁσίου Ῥομάσσα.
3. Οὗτος ὁ ὅσιος ὁ εἰς ἄκρον ἐραστὴς τῆς ἀρετῆς, τῆς θεωρίας, τῆς ἀσκήσεως, τῆς ἀληθείας, καὶ καθαρὸς παντὸς ἁμαρτήματος ἐκ τῆς θεογνωσίας,
4. Περιερχόμενος τοὺς ἁγίους τόπους, ἦλθέ ποτε καὶ εἰς τὸν οἶκον τοῦ Βασιλέως Ζανάκα.
5. Ἰδὼν δὲ τοῦτον τὸν Ῥομάσσαν ὁ Βασιλεὺς Ζανάκας, ἐλθόντα, ἐδεξιώσατο αὐτὸν, ὡς εἰκὸς, καὶ ἐκάθισεν αὐτὸν παρ᾽ ἑαυτῷ.
6. Καιροῦ δὲ τυχὼν, ἠρώτησεν αὐτὸν εὐλαβῶς περὶ οὗ νῦν σύ με ἐρωτᾷς.

ΖΑΝΑΚΑΣ.

7. Ἐπειδὴ οἱ σοφοὶ ἄνδρες ἐπαινοῦσι τὰ νοερὰ ἁγιάσματα, διὰ τοῦτο ἄξιος εἶ εἰπεῖν μοι περὶ τούτων κατὰ πλάτος.

ΡΟΜΑΣΣΑΣ.

8. Ἄκουσόν μου λέγοντος περὶ νοερῶν ἁγιασμάτων, ἐν οἷς λουσάμενος ὁ ἄνθρωπος, ὑψηλῆς τυγχάνει στάσεως.

9. Ἁγίασμά ἐστιν ἡ γνῶσις τῶν ὄντων, ἡ ὑπομονὴ, ἡ ἐγκράτεια τῶν αἰσθήσεων, ἡ πρὸς πάντα τὰ ἔμψυχα εὐσπλαγχνία, ἡ ἀλήθεια, καὶ ἡ εὐθύτης.

10. Ἁγίασμα λέγεται ἡ δόσις, ἡ ἐγκράτεια τῆς διανοίας, ἡ ὀλιγάρκεια, ἡ ἀποχὴ τῆς κλοπῆς, καὶ τῆς ἔχθρας.

11. Ἁγίασμα λέγεται ἡ πίστις, ἡ ἄσκησις καὶ ἡ θεωρία· πασῶν δὲ τῶν ἁγιασμάτων ὑπερτέρα ἐστὶν ἡ καθαρότης τῆς καρδίας.

12. Οὐ λέγεται λελουμένος, ὁ λελουμένος τὸ σῶμα ἐν τοῖς ὕδασι· λελουμένος δ' ἐστὶν, ὁ λελουμένος ἐν τῇ χαλιναγωγίᾳ τῶν παθῶν καὶ κεκαθαρμένος τὴν καρδίαν.

13. Ὅς ἐστι πλεονέκτης, συκοφάντης, ἄσπλαγχνος, ἀσεβὴς, καὶ φιλήδονος, οὗτος, εἰ καὶ λελουμένος εἴη ἐν πᾶσι τοῖς ἁγιαστικοῖς τόποις, μεμολυσμένος ἐστὶ τὴν ψυχήν.

14. Οὐ γίνεται καθαρὸς ὁ ἄνθρωπος διὰ τῆς ἐξαλείψεως τοῦ ῥύπου τοῦ σώματος· καθαρὸς δὲ λίαν γίνεται, ὅταν ἐξαλείψῃ τὸν ῥύπον τῆς ψυχῆς.

15. Τὰ ἔνυδρα καὶ γεννῶνται, καὶ ἀποθνήσκουσιν ἐν τοῖς ὕδασιν· οὐ πορεύονται ὅμως εἰς τὸν οὐρανὸν, ὡς μὴ ὄντα καθαρὰ τοῦ ῥύπου τῆς ψυχῆς.

16. Ἡ πρὸς τὰς ἡδονὰς κλίσις λέγεται ῥύπος τῆς ψυχῆς· τὸ δὲ πρὸς αὐτὰς μῖσος λέγεται καθαρότης.

17. Ὁ ἐντὸς τῆς ψυχῆς ῥύπος οὐ καθαίρεται λουτροῖς ἐν ἁγίοις τόποις, καθὼς οὐδὲ τὸ οἰνηρὸν ἀγγεῖον καθαρὸν γίνεται, ἐὰν πλυθῇ ἑκατοντάκις ὕδασιν.

18. Ἡ δόσις, ἡ θυσία, ἡ ἄσκησις, ἡ καθαριότης, ἡ πρὸς τοὺς ἁγίους τόπους θεραπεία, καὶ ἡ τῆς Βέδας ἀνάγνωσις, ταῦτα πάντα οὐκ εἶσιν ἁγιάσματα, ἐὰν μὴ ᾖ καθαρὰ ἡ καρδία.

19. Ἔνθα διατρίβει ὁ χαλιναγωγὸς τοῦ ὄχλου τῶν παθῶν,

ἐκεῖ ἐστὶν ἡ Κουρουξέτρα, ἡ Ναϊμίσσα, ἡ Πουσκάρα, καὶ ἡ Γαϊά. (ἅγιοι τόποι).

20. Ὅςτις λούεται ἐν τῷ ὕδατι τῆς θεωρίας καὶ ἐν τῇ δεξαμενῇ τῆς θεογνωσίας, ἅ εἰσι νοερὰ ἁγιάσματα, καὶ ἐξαλειπτικὰ τοῦ ῥύπου τῆς ἐπιθυμίας καὶ τῆς ἀπεχθείας, οὗτος τυγχάνει ὑψίστης στάσεως.

21. Οἵτινες σέβονται τὸν Βισνοῦν, τὸν μέγα ἡγεμόνα, καὶ ποιητὴν τοῦ παντὸς, τούτων οὐκ ἔστιν ἄλλο τι ἁγίασμα ὑπέρτερον.

22. Ἐν ᾧ ὕδατι λούονται οἱ θεῖοι ἄνδρες καὶ καθαροὶ τὴν καρδίαν, τοῦτο γίνωσκε ὑπέρτατον ἁγίασμα, καθαρτικὸν πασῶν τῶν ἁμαρτιῶν.

23. Ὅπου εἰσὶ φιλόθεοι, καὶ ἄμοιροι ἐπιθυμίας καὶ παντὸς ἄλλου πάθους, ἐκεῖ ἐστὶν ἐν μέσῳ αὐτῶν ὁ Βισνοῦς· οὐδεμία ἀμφιβολία.

24. Ὅπου εἰσὶν ἄνδρες φιλόθεοι, ἐκεῖ πάρεστιν ὁ Θεὸς Βισνοῦς, καὶ ἐπὶ τούτοις ἥδεται, ἀλλ' οὐχὶ ἐπὶ τοῖς προσφερομένοις εὐώδεσι θυμιάμασι, μύροις, καὶ ἄνθεσι τερπνοῖς.

25. Ὁ Βισνοῦς οὐχ ἥδεται, καί περ λατρευόμενος ἀεὶ θύμασι, προσφοραῖς, χοροῖς, καὶ ᾄσμασιν.

26. Οἱ ἄμωμοι καὶ παμμάκαρες λάτρεις τοῦ Βισνοῦ καθαίρουσι πάντα τὸν κόσμον· ἔνθα δ' οὗτοί εἰσιν, ἐκεῖνος ὁ τόπος ἐστὶ τὸ ἐξαίρετον ἁγίασμα.

27. Εἰς τὸν ᾅδην πορεύεται ὁ νομίζων ἐλάχιστον καὶ ἀκάθαρτον τὸν ὄντα μὲν ἐκ τῆς ἐλαχίστης καὶ κυνοφάγου φυλῆς, εὐσεβῶς δὲ καὶ ὁσίως ζῶντα.

28. Ὅςτις δὲ τιμᾷ καὶ θεραπεύει τοὺς λάτρεις τοῦ Βισνοῦ διὰ τὴν ἣν ἔχουσι χάριν τοῦ Βισνοῦ, τούτῳ ὁ Βισνοῦς ἐφήδεται, καὶ ἵλεώς ἐστιν· οὐδεμία ἀμφιβολία.

29. Ἐῤῥέθη σοι ὑπ' ἐμοῦ, ὦ Βασιλεῦ, τὸ σύμβολον τῶν νοε-

ρῶν ἁγιασμάτων· νῦν δ' ἄκουσον καὶ τὴν αἰτίαν, δι' ἣν ἅγιά εἰσι τὰ τῆς γῆς ἁγιάσματα.

30. Καθώς τινα μέλη τοῦ σώματος καθαρά ἐστιν, οὕτω καί τινα μέρη τῆς γῆς καὶ τοῦ ὕδατος ἅγιά ἐστι διὰ τὴν ἣν ἔχουσιν ὑπερφυῆ δύναμιν, καὶ διὰ τὴν ἐν αὐτοῖς διατριβὴν θεοφόρων ἀνδρῶν.

31. Ὅθεν ὅστις λούεται ἐν τοῖς ἁγιάσμασι τῆς γῆς καὶ ἐν τοῖς τοῦ νοὸς, οὗτος τυγχάνει τῆς ὑψίστης στάσεως.

ΒΗΣΜΑΣ.

32. Ταῦτα εἰπὼν ὁ μέγας ὅσιος καὶ ἀσκητὴς Ῥομάσσας τῷ Βασιλεῖ Ζανάκᾳ, ἀπῆλθεν, ὅθεν ἦλθεν· ὁ δὲ Βασιλεὺς οὕτω πράξας, ἐγένετο τέλειος εἰς τὴν ἀρετήν.

33. Οὐδὲν ἀγαθὸν διδόασι τὰ ἐπὶ γῆς ἁγιάσματα, αἱ Βέδαι, ἡ ἄσκησις, καὶ πᾶσα ἀγαθοποιΐα, ὅταν ἡ καρδία μὴ ᾖ καθαρά· καθαρᾶς δ' οὔσης τῆς καρδίας, τότε πάντα τὰ ἀγαθὰ ἔργα ἀγαθὸν διδόασι.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ΄.

Περὶ βραχμανοκτονίας.

ΙΝΔΑΔΙΣΤΙΡΑΣ.

1. Ἐκ τίνος ἔργου γίνεται Βραχμανοκτόνος ὁ ἄνθρωπος ἄνευ τοῦ κτεῖναι Βραχμᾶνα; τοῦτο ἐρωτῶντί μοι εἰπεῖν ἄξιος εἶ, ὡς ἔχει.

ΒΗΣΜΑΣ.

2. Περὶ οὗ ἠρώτησας, πάλαι ἠρωτήθη ὑπ' ἐμοῦ ὁ σοφὸς Βεάσας· ὅ,τι δ' ἐκεῖνος εἴρηκεν, ἄκουσον ἐμοῦ, λέγοντος.

3. Ὃς καλέσῃ Βραχμᾶνα ἐνδεῆ ὄντα καὶ ἐπαίτην, ἔπειτα δ' εἴπῃ, ὡς οὐκ ἔστι τι, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

4. Ὅστις ἄνομος ὢν, καὶ ἄφρων, προξενεῖ λύπην καίριον τοῖς Βραχμᾶσιν ἄνευ αἰτίας εὐλόγου, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

5. Ὅστις τὴν ἑαυτοῦ θυγατέρα, ἀγαθὴν οὖσαν, καὶ εἰς ἡλικίαν ἐλθοῦσαν, οὐ δίδωσιν εἰς γάμον ἀνδρὶ καταλλήλῳ, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

6. Ὅστις ἁρπάζει τὰ δικαίως κτηθέντα κτήματα Βραχμᾶνος, σχολάζοντος τῇ Βέδᾳ, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

7. Ὅστις ἐμποδὼν γίνεται ἀγέλῃ βοῶν, διεψώσῃ, καὶ θεούσῃ εἰς πόσιν ὕδατος, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

8. Ὅστις ἁρπάζει τὰ κτήματα τοῦ χωλοῦ, τοῦ τυφλοῦ, τοῦ ἐμπαθοῦς, τοῦ ἀδυνάτου, καὶ ἠλιθίου, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

9. Ὅστις ἐξ ἀγνωσίας ψέγει τὰ τῶν θείων γραφῶν, ἢ τὰ τῶν θείων ἀνδρῶν συγγράμματα, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

10. Ὃς ἔστιν ἀσεβὴς, παραβάτης τῶν ὁρίων, κατήγορος τῶν θεῶν, τῶν Βραχμάνων, καὶ τῶν τοῦ νόμου, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

11. Ὅστις ἐξ ἀγνωσίας (ἐκ παρανοίας) ψέγει τὸν Βισνοῦν, τὸν Κύριον τοῦ κόσμου, καὶ μόνον παντουργὸν, τοῦτον, γίνωσκε Βραχμανοκτόνον.

12. Ὅστις ἀτάσθαλος ὢν οὐ σέβεται τὸν Σίβαν, τὸν μέγαν Θεὸν, τὸν ποιοῦντα καὶ ὀλλύοντα τὸ πᾶν, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

13. Ὃς ἐμποδὼν γίνεται Βραχμᾶσι, θλιβομένοις ἐκ πείνης, καὶ ἐπιθυμοῦσι φαγεῖν, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

14. Ὃς ἐπιθυμεῖ ἀναιρεῖν τὰ ἐν ἄλσει ἀβλαβῆ καὶ ἀθῷα καὶ ποηφάγα ζῶα, τοῦτον γίνωσκε Βραχμανοκτόνον.

15. Ὅστις ἐρωτηθεὶς εἰς μαρτυρίαν οὐ λέγει τὸ ἀληθὲς, καί περ γινώσκων, ἕνεκα κέρδους, ἔχθρας, ἢ φόβου, τοῦτον γίνωσκε βραχμανοκτόνον.

16. Ὅς ἐστι διάβολος, φιλαίτιος, φιλεγκλήμων, φιλόμωμος, καὶ ἄσπλαγχνος, τοῦτον γίνωσκε βραχμανοκτόνον.

17. Ὃς ἂν βάλῃ πῦρ εἰς βοοστάσιον, εἰς ἄλσος, εἰς κώμην, ἢ εἰς πόλιν τοῦτον γίνωσκε βραχμανοκτόνον.

18. Ὃς υἱὸς οὐ τρέφει τὴν μητέρα καὶ τὸν πατέρα, ἐν κακότητι καὶ κασχεξίᾳ ὄντας, τοῦτον γίνωσκε βραχμανοκτόνον.

19. Οἵτινες κακὰ ποιοῦσι πᾶσι τοῖς ἐμψύχοις, ὡς κακεντρεχεῖς, οὗτοι, καί περ μὴ πεποιηκότες βραχμανοκτονίαν, βραχμανοκτονίᾳ ἐνέχονται.

20. Ὅστις, βαδίζων, ἢ ἱστάμενος, ἢ ὑπνῶν, ἢ ἀγρυπνῶν, οὐ ποιεῖτι εἰς ὄφελος τῶν ἀνθρώπων, οὗτός ἐστιν, ὡς ἄλογον ζῶον.

21. Τοῦτο πᾶν ἐῤῥέθη σοι ὑπ' ἐμοῦ, ὦ Ἰνδδιστίρα, ὅπως ὁ ἄνθρωπος γίνεται βραχμανοκτόνος, ἄνευ τοῦ κτεῖναι Βραχμᾶνα.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

22. Ὁποῖοι γίνονται μετὰ θάνατον, οἳ, ὑποσχόμενοι, οὐ διδόασι τοῖς Βραχμᾶσι, παρχνοοῦντες ἐκ φειδοῦς;

ΒΗΣΜΑΣ.

23. Ὅστις ὑποσχόμενος, οὐ δίδωσιν ἤτοι πολὺ, ἢ ὀλίγον, ἡ πρὸς τοῦτον ματαία ἐλπὶς οὐκ ἀνήκει εἰς ὄφελος, καθὼς οὐδὲ τοῦ ἑρμαφροδίτου φύσις εἰς γόνον.

24. Ὅστις ματαίαν ποιεῖ τὴν ἐλπίδα τοῦ ἀνθρώπου, ἣν εἶχε πρὸς αὐτὸν, οὗτος ὅ,τι ἀγαθὸν ἔπραξεν ἐκ γενέσεως, ἅπαν μάταιόν ἐστι καὶ φροῦδον.

25. Ὁ ἐλθὼν Βραχμὰν σὺν ἐλπίδι, καὶ ἀποτυχὼν, κατακαίει, ὡς τὸ πῦρ τὸ ἐξαπτόμενον ξύλοις.

26. Ὀργισθεὶς ὁ Βραχμὰν, ἐπειδὴ ἀπέτυχε τῆς ἐλπίδος, καταπυρπολεῖ τὸν πταίσαντα, καθὼς τὸ πῦρ τὸν ξηρὸν χόρτον.

27. Ἐπὶ τούτου δ' ἐπάγουσι τοῦτον τὸν παλαιὸν μῦθον, τὸν διάλογον Κυνολύκου καὶ Πιθήκου.

28. Ἄδεται, ὡς πάλαι δύω τινες ἀγαθοὶ ἄνδρες ἐκ τῆς ἐμπορικῆς φυλῆς, ἐγεννήθησαν ἐν μιᾷ καὶ τῇ αὐτῇ πόλει ἐκ γενεᾶς πλουσίων.

29. Ἀμφότεροι δ' ἦσαν φίλοι· θανόντες δὲ, ἀνεγεννήθησαν, λαβόντες φύσιν, ὁ μὲν Κυνολύκου, ὁ δὲ Πιθήκου.

30. Ἰδὼν δ' ὁ Πίθηκος τὸν Κυνόλυκον, ἐσθίοντα νεκρὰ σώματα ἐν τῇ νεκρικῇ γῇ, εἶπεν αὐτῷ, ἀναμνησθεὶς τῶν τῆς προτέρας γενέσεως.

ΠΙΘΗΚΟΣ.

31. Τί δεινὸν ἁμάρτημα ἔπραξας πρότερον, δι' ὃ ἐσθίεις νῦν νεκρὰ σώματα ἐν τῇ χώρᾳ τῶν νεκύων;

ΚΥΝΟΛΥΚΟΣ.

32. Πάλαι Βραχμᾶσιν ὑποσχόμενος, οὐκ ἔδωκα· διὰ τοῦτο, λαβὼν φύσιν Κυνολύκου, ἐσθίω σώματα νεκρά.

33. Ἐῤῥέθη σοι ὑπ' ἐμοῦ ὅπως ἐγενόμην Κυνόλυκος· εἰπὲ δὲ καὶ σὺ, διὰ ποῖον ἔργον φύσιν εἴληφας Πιθήκου;

ΠΙΘΗΚΟΣ.

34. Ἐγὼ ἐκ πλεονεξίας ἔκλεπτον ὀπώρας ἀπ' ἀλλοτρίων κήπων, καὶ διὰ τοῦτο τὸ ἁμάρτημα φύσιν Πιθήκου ἔλαβον.

ΒΗΣΜΑΣ·

35. Εἰπόντες πρὸς ἀλλήλους τὰ ἑαυτῶν πταίσματα ὅ,τε Κυνόλυκος καὶ ὁ Πίθηκος, ἀπῆλθον, ὅθεν ἦλθον.

36. Ὅστις ἁρπάζει ἀλλότριον πρᾶγμα, ἤτοι πολὺ ἢ ὀλίγον, οὗτος φύσεως ἀλόγου ἀναγκαίως τυγχάνει, μηδεμία ἔσω ἀμφιβολία.

37. Ὅ,τι ὑπέσχου Βραχμᾶνι, τοῦτο δοτέον· οὐδ' ἀλλότριον κτῆμα δεῖ ἁρπάζειν, εἰ ἐπιθυμεῖς ὑψηλῆς στάσεως.

38. Ἤκουσας, ὦ Ἰνδδιστίρα, ἐκ τοῦ διαλόγου τοῦ Κυνολύκου καὶ τοῦ Πιθήκου, ὡς ὁ ποιῶν ἐναντία τοῖς Βραχμᾶσι, κακῆς στάσεως τυγχάνει, καὶ εἰς ᾅδην καταπίπτει.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

Περὶ ἀποχῆς κρεωφαγίας.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

1. Ὡς ἐπὶ τὸ πλεῖστον οἱ ἄνθρωποι ἐν κόσμῳ, ἄσπλαγχνοι ὄντες καὶ ζωοκτόνοι, αἱματοχαρεῖς τυγχάνουσι καὶ τοῖς κρέασιν ἐφήδονται, ὡς οἱ δαίμονες.

2. Οὐ τοσοῦτον ὀρέγονται λαγάνων, παντοειδῶν βρωμάτων, λαχάνων ἐξαιρέτων, καὶ ἡδυσμάτων ἐκ σακχάρεως καὶ γάλακτος, ὅσον κρέατος.

3. Οὐδέν τι ἄλλο νομίζουσιν ἡδύτερον τοῦ κρέατος, οὐδὲ πρόξενον ῥώσεως καὶ ἀγλαΐας, ἢ ἀπαλλακτικὸν τῆς νόσου.

4. Ἄξιος εἶ εἰπεῖν μοι τά τε κακὰ τῆς κρεωφαγίας, τὰ ῥηθέντα ὑπὸ τῶν σοφῶν ἀνδρῶν, καὶ τὰ ἀγαθὰ τῆς ἀποχῆς τῆς κρεωφαγίας.

ΒΗΣΜΑΣ.

5. Ἐλεεινοί εἰσι πάντως γε οἱ φιλήδονοι, οἳ νομίζουσιν, ὡς ἄφρονες, ὠφέλιμον τὸ κρέας, ὅ ἐστι πηγὴ πάντων τῶν κακῶν.

6. Παντὸς ἡδέος ἡ ποιότης μέχρι τοῦ ἄκρου τῆς γλώττης ἐστίν· ὅταν δὲ διαβῇ τὸν φάρυγγα, πᾶν εἶδος βρώματος τὸ αὐτό ἐστι κατὰ τὴν ποιότητα.

7. Ὅ,τι βρῶμα βιβρώσκεται, εἴτε ἡδὺ, εἴτε πικρὸν, εἴτε εὔχυμον, εἴτε κακόχυμον, ἡ αὐτὴ πέψις γίνεται ἀμφοτέρων, ὅταν ἔλθωσιν εἰς τὸν στόμαχον.

8. Ἀπατώμενοι οἱ ἄφρονες τῇ ἐν βραχεῖ ἡδείᾳ ποιότητι τοῦ εὐχύμου βρώματος, ὄλλυνται, καθὼς οἱ ἰχθύες τῷ δελέατι.

9. Τὸ κρέας οὐκ ἔστι αἴτιον μακροβιότητος, ὑγιείας, ἢ ῥώσεως τοῦ σώματος, ἀλλ' ἡ εἱμαρμένη· ἐπὶ τοῖς θεοῖς γὰρ κεῖται ταῦτα.

10. Καὶ οἱ κρεωφάγοι φαίνονται ἐμπαθεῖς καὶ πολυπαθεῖς· οἱ δὲ μὴ ὄντες κρεωφάγοι, ὑγιεῖς εὐσθενεῖς, καὶ εὔρωστοί εἰσιν.

11. Οἳ τρώγουσι κρέατα ζώων, ζωῆς ἐφιεμένων, καὶ οὗτοι ὑπ' αὐτῶν καταβρωθήσονται. Οὕτως ἔφη αὐτὸς ὁ Βραχμᾶς.

12. Οὗτινος τὸ κρέας ἐγὼ τρώγω, οὗτος ἐμὲ καταφαγεῖται ἐν τῇ παλιγγενεσίᾳ· τοῦτο γάρ ἐστι τὸ ἀποτέλεσμα τῆς κρεωφαγίας, ὡς λέγουσιν οἱ σοφοὶ ἄνδρες.

13. Τὸ κρέας οὐ γίνεται ἐκ λαχάνου, ξύλου, ἢ λίθου, ἀλλ' ἐξ ἀναιρέσεως ζώων· ἀποχὴ ἄρα ἔστω κρέατος.

14. Ἀποχὴ ἔστω κρέατος, ὡς ἀπεδείχθη· ὅτε γὰρ τὸ σῶμα λίαν πάσχει ἐξ ἀκάνθης ἐμπαγείσης, πολλῷ μᾶλλον ἐκ σφαγῆς.

15. Ὦ! προῦπτον κακὸν γίνεται ἐκ τῆς κρεωφαγίας· δι' ὀλιγοχρόνιον γὰρ ἡδονὴν ἑνὸς, ἄτερον ζῶον ζωῆς στερεῖται.

16. Ὅστις ἀεὶ θεωρεῖ ὡς οἰκεῖα τὰ τῶν ἄλλων, εἴτε ἀγαθὰ, εἴτε κακὰ, οὗτος τυγχάνει τῆς ὑψίστης στάσεως.

17. Ὅστις κακοποιεῖ τὰ ἐν ἄλσει κακῶς ζῶντα ζῶα, οὗτος ἐν οἵᾳ φύσει ἀναγεννᾶται, κακῆς στάσεως τυγχάνει.

18. Καὶ παρὰ τῷ ᾅδῃ κολάζονται οἱ ζωοκτόνοι, καὶ παρὰ τοῖς ἀνθρώποις ἀποτρόπαιοί εἰσιν, ὡς οἱ ὄφεις.

19. Ὅσαι τρίχες εἰσὶν ἐν τῷ ζώῳ, τοσάκις ὁ ζωοκτόνος θανάτου τυγχάνει εἰς γεννήσεις γεννήσεων.

20. Οἱ ὀκτὼ οὗτοι λέγονται ζωοκτόνοι· ὁ κτείνων, ὁ συναινῶν, ὁ τρέφων, ὁ πωλῶν, ὁ ἀγοράζων, ὁ ἕψων, ὁ κομίζων, καὶ ὁ ἐσθίων.

21. Ὁ μὲν πωλῶν ἀναιρεῖ διὰ τῆς τιμῆς, ὁ δὲ τρώγων διὰ τῆς τρυφῆς, ὁ δὲ κτείνων διὰ τοῦ δεσμοῦ καὶ τοῦ θανάτου· τρεῖς οὗτοι τρόποι εἰσὶ τῆς ζωοκτονίας.

22. Ὅστις ἐφίεται τρέφειν τὴν ἑαυτοῦ σάρκα ἀλλοτρίᾳ σαρκὶ, οὗτος κολάζεται ἐν τῷ ᾅδῃ· οὕτως ἔφη ὁ Ναράδας.

23. Σκοπήσαντες οἱ ἄνθρωποι, ὡς ἡ ἐπίτευξις τοῦ κρέατος γίνεται ἐκ δεσμοῦ καὶ θανάτου τῶν ζώων, ἀπεχέσθωσαν πάντες τῆς κρεωφαγίας.

24. Τίς ἂν ποιήσειε κακὸν διὰ τὴν κοιλίαν, ὅτε αὐτὴ πληροῦται καὶ ἐκ τῶν λαχάνων τοῦ ἀγροῦ;

25. Ἐπὶ τούτου πολλὰς βουλὰς ἐποιήσαντο πάλαι οἱ σοφοὶ καὶ ἅγιοι ἄνδρες· ὅ,τι δ' αὐτοῖς ἔδοξεν, ἄκουσον ὦ Βασιλεῦ.

26. Ὅστις ἀναιρεῖ τὰ ἀβλαβῆ ζῶα διὰ τρυφὴν ἑαυτοῦ, οὗτος τυγχάνει μετὰ θάνατον φύσεως δένδρων· οὕτως ἔφη ὁ Βεάσας.

27. Ἐκεῖνος ἄσκησιν ποιεῖ, καὶ θύει, καὶ δωρεῖται καθ' ἡμέραν, ὅστις οἴνου καὶ κρέατος ἀπέχει· οὕτως ἔφη ὁ Βριχασπατής.

28. Ὅστις εφ ὅρου ζωῆς ἀπέχει κρέατος, ὡς φαρμάκου, οὗτος εἰς τὸν οὐρανὸν πορεύεται· οὕτως ἔφη ὁ θεῖος Βασίστας.

29. Ὅστις πρότερον μὲν ἤσθιε κρέας, εἶτα δ' ἀποχὴν ἐποίησε, καὶ οὗτος τοῦ οὐρανοῦ ἔτυχεν· οὕτως ἔφη ὁ Ζαμαδαγνής.

30. Ὁ μὴ ὢν ζωοκτόνος, ἐπιτυγχάνει εὐμορφίας, εὐρωστίας, δόξης, μαθήσεως, καὶ τῆς τοῦ οὐρανοῦ ἀπολαύσεως· οὕτως ἔφη ὁ ὅσιος Οὐσσάνας.

31. Ἡ ἀποχὴ τῆς ζωοκτονίας ὑπερτέρα ἐστὶ τῆς χρυσοδοσίας, τῆς βοοδοσίας, καὶ τῆς γεωδοσίας· οὕτως ἔφη ὁ Παρασσάρας.

32. Τὰ αὐτὰ εἴρηκε καὶ ὁ Μαρκανδεΐας[1], ὦ Βασιλεῦ· ὅ,τι δ' εἴρηκε καὶ ὁ Μανοῦς, ἰδοὺ νῦν λέγω σοι.

33. Ὅστις οὐδὲν ζῶον κτείνει ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ, οὗτός ἐστι φιλόφρων πάντων τῶν ζώων· οὕτως ἔφη ὁ Μανοῦς, ὁ υἱὸς τοῦ Βραχμᾶ.

34. Ἐκ βρώσεως λαχάνων, ῥιζῶν, ὀπωρῶν, καὶ ὀσπρίων οὐκ ἀπολαμβάνει τοσοῦτον μισθὸν ὁ ἄνθρωπος, ὅσον ἐκ τῆς ἀποχῆς τοῦ κρέατος.

35. Ὅσοι ἀπέχουσιν οἴνου, κρέατος, καὶ ἰχθύων ἐκ γενέσεως, οὗτοι πάντες ἅγιοι λέγονται.

36. Κρείττων ἐστὶν, ὅστις οὐ κρεωφαγεῖ, ἢ ὅστις σκληραγωγίαν ἔχει ἐφ' ὅρου ζωῆς, ἐσθίων ἄλφιτα, ἀναδεδευμένα οὔρῳ θηλείας βοός.

37. Ὅστις οὐ καταθλίβει δεσμῷ καὶ θανάτῳ τὰ ἔμψυχα, οὗτος, ὡς φιλόφρων πάντων, ἀτελεύτητον ἄνεσιν ἕξει.

38. Πῶς οἱ ἄνθρωποι, ὄντες οἰνοπόται, καὶ κρεωφάγοι, ἀκούσονται ἤχου θείων μουσικῶν ὀργάνων ;

39. Ἰσοστάσιοί εἰσιν, ὅ,τε μὴ κρεωφαγῶν, καὶ ὁ σκληρὰν ἄσκησιν ποιῶν ἐφ' ὅρου ζωῆς.

---

(1) Οὗτός ἐστιν ἀείζωος.

40. Ὅστις κρεωφαγεῖ μὲν, ἀπέχει δὲ τῆς κρεωφαγίας ἕνα μῆνα τοῦ ἔτους, καὶ οὗτος τῆς ἐν οὐρανῷ στάσεως τυγχάνει· πόσῳ μᾶλλον ὁ ἀπέχων παντελῶς;

41. Ἡ οἰνοποσία, ἡ κρεωφαγία, ἡ λαγνία, ἡ κυβεία, ἡ κλοπὴ, καὶ ἡ ζωοκτονία, ἔργον ἐστὶ τρισκακοδαίμονος καὶ τρισαθλίου.

42. Εἰδὼς οὖν τὸ ἁμάρτημα τῆς ζωοκτονίας, ὦ ἀγαθὲ, φρόνει, ὡς οὐ δεῖ αποτέμνειν κεφαλήν τινος ζώου μαχαίρᾳ.

43. Καθὼς ἅπας ποῦς τῶν ζώων ἐμπεριλαμβάνεται τῷ ποδὶ τοῦ ἐλέφαντος, οὕτω καὶ πᾶσα ἀρετὴ τῇ ἀποχῇ τῆς ζωοκτονίας.

44. Οἱ ζωοκτόνοι, ἀναγεννηθέντες ἀπειράκις ἐν μυρίαις φύσεσιν ἀλόγων ζώων, ἀναγεννῶνται τελευταῖον ἐν τῇ ἐλαχίστῃ φυλῇ τῶν ἀκαθάρτων καὶ ἀθιγγάνων.

45. Ἰσοστάσιοί εἰσι κατὰ τὴν ἀρετὴν, ὅ,τε ἀπέχων κρεωφαγίας, καὶ ὁ θύων ἱπποθυσίας καθ' ἕκαστον ἔτος ἐν ἑκατὸν ἔτεσι.

46. Ὅ,τι πρᾶγμα ἐν νῷ ἔχει ὁ ἄνθρωπος, ὃ ἐστι δύσκτητον, τοῦτο εὐμαρῶς κτᾶται, ὃς οὐδέν τι τῶν ζώων κτείνει.

47. Ἐκ τῆς ἀποχῆς τῆς κρεωφαγίας ὁ ἄνθρωπος χαίρει ἐν οὐρανῷ, ὡς Θεὸς, θεραπευόμενος θείαις νύμφαις ἐν θείῳ ὀχήματι αὐτοκινήτῳ.

48. Ἧς στάσεως τυγχάνουσιν οἱ θεωρητικοὶ διὰ τῆς ἄκρας θεωρίας, τῆς αὐτῆς τυγχάνει καὶ ὁ ὢν εὔσπλαγχνος πρὸς πάντα τὰ ἔμψυχα.

49. Ὁ Βισνοῦς, ὁ ποιητὴς τοῦ παντὸς, ψυχή ἐστι πάντων· ὅθεν οὐ δεῖ τοῖς ὀπαδοῖς τοῦ Βισνοῦ κατ' ἐξαίρετον τρόπον ζωοκτονίᾳ χρῆσθαι.

50. . . . . (λείπει).

51. Οὐκ ἔστιν ὅμοιον τῇ ἀποχῇ τῆς ζωοκτονίας οὔτε ἡ μάθησις πασῶν τῶν Βεδῶν, οὔτε τὸ λουτρὸν ἐν πᾶσι τοῖς

ἁγιαστικοῖς τόποις, οὔτε ἡ τελετὴ παντὸς εἴδους θυσίας.

52. Ἡ ἀποχὴ τῆς ζωοκτονίας ἄκρα ἀρετή ἐστιν, ἄκρα ἄσκησις, ἄκρα γνῶσις, καὶ ἄκρα εὐθύτης.

53. Ἡ ἀποχὴ τῆς ζωοκτονίας ἄκρα ἐστὶ δόσις, ἄκρα ἐγκράτεια τῶν παθῶν, ἄκρα θυσία, καὶ ἄκρα χαρὰ (ἄνεσις).

54. Ὁ ἀπέχων ζωοκτονίας ἀρετὴν ποιεῖ ἄφθιτον, ἀεὶ θύει, καὶ ὡς πατὴρ καὶ μήτηρ ἐστὶ πάντων τῶν ἐμψύχων.

55. Πολλοὶ ἀγαθοὶ ἄνδρες, καταφρονήσαντες τῆς ἑαυτῶν ζωῆς, καὶ θρέψαντες ἔμψυχα διὰ τῆς οἰκείας σαρκὸς, ἀνῆλθον εἰς τὸν οὐρανόν.

56. Οἵτινες μεγαλόφρονες ὄντες, χρῶνται ταύτῃ τῇ ἀρίστῃ καὶ καλλίστῃ ἀρετῇ, ἥ ἐστιν ἡ ἀποχὴ τῆς ζωοκτονίας, οὗτοι πορεύονται εἰς τὴν χώραν τοῦ Βισνοῦ.

57. Οἵτινες ποιοῦσι τοιαύτην λατρείαν ἐπ' ὀνόματι τοῦ Βισνοῦ, οὗτοι σύνεισι τῷ Βισνοῦ· οὐδεμία ἐνταῦθα ἀμφιβολία.

58. Ταῦτα τὰ ἀγαθὰ τῆς ἀποχῆς τῆς ζωοκτονίας ἐῤῥέθη σοι ὑπ' ἐμοῦ ἐν βραχυλογίᾳ· πάντα γὰρ οὐχ οἷόν τε ἐστὶ ῥηθῆναι οὐδ' ἐν ἑκατὸν ἔτεσιν.

59. Ὅςτις τοῦτο τὸ ψυχωφελέςατον Κεφάλαιον τὸ περὶ ἀποχῆς ζωοκτονίας ἀναγινώσκει, ἢ ἀκούει, οὗτος ὑψηλῆς στάσεως τυγχάνει.

60. Οὐκ ἔστιν ἄλλο ἁμάρτημα μεῖζον, καὶ ψυχοβλαβέστερον, ἢ ἡ κρεωφαγία, καὶ οἰνοποσία· οὐδ' ἄλλο ψυχωφελέστερον, ἢ ἡ ἀποχὴ τῆς ζωοκτονίας· διὰ τοῦτο οἱ σοφοὶ ἄνδρες ἀποστρέφονται τὴν ζωοκτονίαν.

ΚΕΦΑΛΑΙΟΝ Λ΄.

Περὶ τιμῆς πρὸς Βραχμᾶνας.

ΖΑΝΑΜΕΖΑΪΑΣ.

1 Πῶς ὁ Βήμας, ὁ ὢν φοβερὸς, καὶ μεγαλουργὸς, καὶ δύναμιν ἔχων δεκασχιλίων ἐλεφάντων, κατεσχέθη ὑπὸ δράκοντος ; τοῦτο εἰπέ μοι, ὦ ὅσιε.

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

2 Αὐτὸς ὁ Βήμας, ξιφήρης ὢν, καὶ τοξοφόρος, ἐπορεύθη ποτὲ μόνος εἰς θήραν κατ' ἐκεῖνο τὸ ἄλσος, ἐν ᾧ διέτριβε σὺν τοῖς ἑαυτοῦ ἀδελφοῖς.

3 Εἶδε δ' ἐν σπηλαίῳ δράκοντα, πελώριον, ὡς κορυφὴν ὄρους, καὶ φοβερὸν τὴν μορφὴν, ὡς θάνατον.

4 Προσερπύσας δ' ἐκεῖνος ὁ ἰσχυρὸς δράκων τῷ Βήμᾳ, περιέλαβεν αὐτὸν, καὶ ἀκίνητον ἐποίησεν·

5 Ἐν τούτῳ φοβερὰ καὶ ἀπαίσια σημεῖα ἀνεφάνησαν πανταχόθεν τῷ δικαίῳ καὶ συνετῷ Ἰνδδιστίρᾳ.

6 Ἰδὼν δ' αὐτὰ τὰ ἀναφανέντα ἀπαίσια σημεῖα ὁ Ἰνδδιστίρας, περισκοπήσας, εἶδε πάντας τοὺς ἑαυτοῦ ἀδελφοὺς, παρόντας ἐκτὸς τοῦ Βήμα.

7 Ἐπιτάξας δὲ τῷ Ἀρζούνᾳ, τῷ Νακούλᾳ, καὶ τῷ Σιαχαδέβᾳ, φυλάττειν τὴν Δραουπαδὴν ἀνεχώρησεν εἰς ἀναζήτησιν τοῦ Βήμα.

8 Ἐπορεύετο δὲ δρομαῖος μετὰ τοῦ ἱερουργοῦ Δαουμέα, σημεῖα ἔχων τῆς ὁδοῦ τὰ πεπτοκότα δένδρα ἐκ τοῦ ἀνέμου τοῦ ἐκ τῆς κινήσεως τῶν ποδῶν τοῦ Βήμα.

9 Ἐλθὼν δὲ, εἶδε τὸν ἑαυτοῦ ἀδελφὸν ἐν σπηλαίῳ, περιειλημμένον ὑπὸ μεγάλου καὶ δεινοῦ δράκοντος·

10 Θλίψει δὲ καὶ λύπῃ συνεχόμενος, ἠρώτησε τὸν Βήμαν. «Πῶς τοῦτο» ἢ τὶς οὗτος ὁ μέγας δράκων.»

11 Ἐρωτηθεὶς δ' ὁ Βήμας ὑπὸ τοῦ ἀδελφοῦ, σφόδρα λυπουμένου, ἀφηγήσατο πάντα ὡς ἐγένετο.

12 Ἀκούσας δ' ὁ Ἰνδδιςίρας, ἠρώτησεν ἱλαρῶς τὸν δράκοντα λίαν ἀδημονῶν, καὶ ἐπιθυμῶν τὴν λύτρωσιν τοῦ οἰκείου ἀδελφοῦ.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

13. Τίς εἶ σύ; Θεὸς, ἢ δαίμων; ἢ διὰ τί ἐκρατήθη ὑπὸ σοῦ οὗτος ὁ νεώτερός μου ἀδελφός;

ΔΡΑΚΩΝ.

14. Ἐγώ εἰμι ὁ Βασιλεὺς Ναχούσας, ὁ προγενέστερος τῶν προγενεστέρων σου, καὶ πέμπτος κατὰ τὴν γενεὰν τῶν ἐκ τῆς σελήνης καταγομένων.

15. Κύριος δὲ τῶν τριῶν Κόσμων ἐγενόμην ὡς οὐδεὶς ἄλλος διὰ τῶν θυσιῶν, διὰ τῆς ἀσκήσεως, διὰ τῆς μαθήσεως διὰ τοῦ πολλοῦ κλέους καὶ κράτους, οὗ εἶχον.

16. Ἀλλ' ὑπερφροσύνη μοι ἐγένετο, ἡ παράφρονας ποιοῦσα πάντας τοὺς Βασιλεῖς· πολλοὶ γὰρ σοφοὶ καὶ ὅσιοι ἄνδρες ἔφερον ἐπ' ὤμων τὸ φορεῖόν μου.

17. Βιασθεὶς δὲ κατὰ συγκυρίαν εἰς τοῦτο τὸ ἔργον ἐκ τῆς ἐμῆς κακίας καὶ ὁ Ἀγαστέας, ὁ διάσημος ἐν Κόσμῳ, ἐξήφθη ἐκ θυμοῦ, ὡς τὸ πῦρ.

18. Ὑφ' οὗ καὶ ἐκπέπτωκα τῆς δόξης, καὶ εἰς τοιαύτην δεινὴν στάσιν ἀφῖγμαι. Ἰδὲ τὴν δύναμιν τῆς εἱμαρμένης!

19. Οὐδεὶς ἐκφεύγει τὴν εἱμαρμένην οὔτε διὰ τῆς φρονήσεως, οὔτε διὰ τῆς δυνάμεως τοῦ σώματος, ἢ τῆς ψυχῆς.

20. Οὐδὲν δυσχερές ἐστι τῇ εἱμαρμένῃ, δοῦναι ἤτοι ἀγαθὸν,

ἢ κακόν· ἐγὼ γὰρ ἐν ἀκαρεῖ ἀπὸ θείας δόξης καὶ βασιλείας ἐπὶ φύσιν ὄφεως μετελήλυθα.

21. Εἰ ἡ φρόνησις καὶ ἡ ἀνδρεία ἦν αἴτιον τῆς εὐπραγίας, ἐφαίνοντο ἂν κακοπραγοῦντες οἱ ἔμφρονες καὶ οἱ ἥρωες; ἡ εἱμαρμένη ἄρα ἔστι τὸ αἴτιον· οἱ γὰρ δειλοὶ καὶ ἄφροεὐπραγοῦσι.

22. Ἥτις εὐτυχία καὶ ἀτυχία ἐν τούτῳ τῷ κόσμῳ κρίνεται, ταύτην ἐν ἀκαρεῖ ἡ εἱμαρμένη δίδωσι τοῖς ἀνθρώποις.

23. Ἐρωτηθεὶς δ' ὁ ὅσιος Ἀγαστέας ὑπ' ἐμοῦ, ὅτε ἔπιπτον ἀπὸ τοῦ φορείου κατὰ γῆς, πότε εἴη μοι ἀπαλλαγὴ τῆς ἀρᾶς, ἔφη, εὐσπλαγχνίᾳ φερόμενος.

24. «Ὅστις εἰδήμων τῶν τοῦ νόμου ἀπόκρισιν δώσει εἰς τὰς προταθείσας ὑπὸ σοῦ ἐρωτήσεις, οὗτος λύσιν τοῦ δεσμοῦ τῆς ἀρᾶς ποιήσεται μετὰ παρέλευσίν τινος χρόνου.

25. Τῇ δ' ἐμῇ χάριτι οὐκ ἔσεταί σοι ἐξίτηλος ἡ μνήμη τῶν γεγενημένων· καὶ δύναμίς σοι ἔσεται ἀπαραμείωτος, ὡς πρότερον, καὶ ἐν φύσει ὄφεως ὤν· καὶ πᾶν ζῶον δυνατὸν ὑπείξει σοι. »

26. Ταῦτα εἰπόντος τοῦ θεόφρονος ἐκείνου καὶ ὁσίου Ἀγαστέα, ἔπεσον ἐξ οὐρανοῦ εἰς γῆν, καὶ φύσιν δράκοντος ἔλαβον.

27. Ἂν οὖν διασαφίσας τὰ προταθέντα σοι ἐρωτήματα, λυτρώσῃς τοῦτον τὸν σεαυτοῦ ἀδελφόν· οὐ γὰρ ἂν ἄλλως πως λυτρωθείη.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

28. Πρότεινε, οἷα θέλεις ἐρωτήματα, μηδὲ βραδύνῃς, ἐγὼ γὰρ ἀποκρινοῦμαι, ὡς ἔστι μοι κρίσις καὶ δύναμις.

ΝΑΧΟΥΣΣΑΣ.

29. Πάντες, καὶ θεοὶ, καὶ ἅγιοι Βραχμᾶνες ἐπαινοῦσι τὴν ἀρετήν· εἰπέ μοι ἐν συνόψει, τίς ἐστιν ἡ ἀρετή.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

30. Αὕτη ἐστ'ν ἡ αἰώνιος ἀρετὴ, ἡ ἀλήθεια, ἡ ἐγκράτεια, ἡ ἄσκησις, ἡ καθαριότης, ἡ αὐτάρκεια, ἡ αἰδὼς, ἡ ἀνοχὴ, ἡ εὐθύτης, ἡ γνῶσις, ἡ ἱλαρότης (πραότης), ἡ εὐσπλαγχνία, καὶ ἡ θεωρία.

ΝΑΧΟΥΣΣΑΣ.

31. Τίς λέγεται ἀλήθεια; τίς ἐγκράτεια; τίς ἄσκησις; ἢ τίς καθαριότης;

ΙΝΔΑΙΣΤΙΡΑΣ.

32. Ἀλήθεια λέγεται ἡ πρὸς πάντας φιλοφροσύνη (καλοκἀγαθία)· ἐγκράτεια δὲ ἡ χαλιναγωγία τῶν παθῶν· ἄσκησις δὲ ἡ πρᾶξις τῶν ἰδίων ἐθίμων καὶ νομίμων· καθαριότης δὲ ἡ ἀποχὴ τῆς αἱμομιξίας.

ΝΑΧΟΥΣΣΑΣ.

33. Ὁποία ἐστὶν ἡ αὐτάρκεια; ὁποία ἡ αἰδώς; ὁποία ἡ ἀνοχή; καὶ ὁποία ἡ εὐθύτης;

ΙΝΔΑΙΣΤΙΡΑΣ.

34. Αὐτάρκειά ἐστιν ἡ ἀποχὴ τῶν ἡδυπαθειῶν· αἰδὼς δὲ ἡ τῶν κακῶν ἀπραξία· ἀνοχὴ δὲ ἡ ὑπομονὴ τῶν φύσει ἐναντίων· εὐθύτης δὲ τὸ ἐξ ἴσου φρονεῖν πρὸς πάντας.

ΝΑΧΟΥΣΣΑΣ.

35. Τίς λέγεται γνῶσις; τίς πραότης; τίς εὐσπλαγχνία; ἢ τίς θεωρία;

ΙΝΔΑΙΣΤΙΡΑΣ.

36. Γνῶσις λέγεται ἡ θεογνωσία· πραότης δὲ ἡ ἱλαρότης τῆς ψυχῆς· εὐσπλαγχνία δὲ ἡ πρὸς πάντας φιλοφροσύνη· θεωρία δὲ ἡ διάνοια, ἡ μὴ διανοουμένη τὰ τῆς ὕλης.

ΝΑΧΟΥΣΣΑΣ.

37. Τίς ἐστιν ὁ δυσνίκητος ἐχθρὸς τῶν ἀνθρώπων; ποῖόν ἐστι τὸ ἀνίατον πάθος; ποῖος ὁ ἀγαθός; καὶ ποῖος ὁ φαῦλος;

ΙΝΔΑΙΣΤΙΡΑΣ.

38. Δυσνίκητος ἐχθρός ἐστιν ὁ θυμός· ἀνίατον δὲ πάθος ἡ πλεονεξία· ἀγαθὸς δὲ, ὁ πρὸς πάντας καλοκἄγαθος· φαῦλος δὲ, ὁ ἄσπλαγχνος.

ΝΑΧΟΥΣΣΑΣ.

39. Τίς ἐστιν ἡ ἄγνοια; τί τὸ φρόνημα; (ἢ τίς ἡ δόξα;) τίς ἡ ἀμέλεια; τίς ἡ λύπη;

ΙΝΔΑΙΣΤΙΡΑΣ.

40. Ἄγνοιά ἐστιν ἡ τῶν τοῦ νόμου ἀπειρία· φρόνημα δὲ ἡ φιλοτιμία· ἀμέλεια δὲ ἡ τῶν νομίμων ἀπραξία· λύπη δὲ ἡ ἄγνοια.

ΝΑΧΟΥΣΣΑΣ.

41. Τίς ἐστιν ἡ σταθερότης; τίς ἡ καρτερία; τί τὸ ἄριστον λουτρόν; τίς ἡ δόσις;

ΙΝΔΑΙΣΤΙΡΑΣ.

42. Σταθερότης ἐστὶν ἡ ἐν τοῖς νομίμοις ἐπιμονή· καρτερία δὲ ἡ ἐγκράτεια τῶν αἰσθήσεων· λουτρὸν δὲ ἡ ἐξάλειψις τοῦ ῥύπου τῆς καρδίας, δόσις δὲ τὸ διδόναι πᾶσιν ἀφοβίαν.

ΝΑΧΟΥΣΣΑΣ.

43. Τίς λέγεται σοφός; τίς δὲ βάρβαρος; τίς ἐστιν ἡ αἰτία τοῦ Κόσμου; τί τὸ καῖον τὴν καρδίαν;

ΙΝΔΑΙΣΤΙΡΑΣ.

44. Σοφὸς λέγεται ὁ εὐσεβής· βάρβαρος δὲ ὁ ἀσεβής· ἡ δ' αἰτία τοῦ Κόσμου, ἡ τῶν τοῦ Κόσμου ἐπιθυμία· τὸ δὲ καῖον τὴν καρδίαν, ὁ φθόνος.

ΝΑΧΟΥΣΣΑΣ.

45. Τίς λέγεται οἴησις; τίς ὑπόκρισις; τίς συκοφαντία; τίς διαβολή;

ΙΝΔΑΙΣΤΙΡΑΣ.

46. Οἴησις λέγεται ἡ μωροφροσύνη· ὑπόκρισις δὲ ἡ ἐπίδειξις ἀρετῆς· συκοφαντία δὲ τὸ ψέγειν τὰ ἀγαθά· διαβολὴ δὲ τὸ κατηγορεῖν τῶν ἄλλων.

ΝΑΧΟΥΣΣΑΣ.

47. Τὰ χρήματα, ἡ τρυφὴ, καὶ ἡ ἀρετὴ, ἐναντία ὄντα ἀλλήλοις, πῶς ἂν συνέλθοιεν εἰς τὸ αὐτό;

ΙΝΔΔΙΣΤΙΡΑΣ.

48. Ὅτε ὁ ἀνὴρ καὶ ἡ γυνὴ ὁμοφρονοῦσιν ἀλλήλοις, τότε ταῦτα τὰ τρία ἐναντία σύνεστιν ἀλλήλοις.

ΝΑΧΟΥΣΣΑΣ.

49. Τίς πορεύεται εἰς τὸν ἀτελεύτητον ᾅδην; τοῦτο ἐρωτήσαντί μοι εἰπεῖν ἄξιος εἶ, ὡς ἔχει.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

50. Ὅςτις καλέσῃ Βραχμᾶνα ἐνδεῆ, αἰτοῦντα, κᾄπειτα εἴπῃ, ὡς οὐκ ἔστι τι δοῦναι, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον ᾅδην.

51. Ὃς ἢν μωρὸς καὶ ἄνομος ὢν, δῷ Βραχμᾶσιν ἐναντίως καιρίαν λύπην, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον ᾅδην.

52. Ὃς ἢν κληθεὶς εἰς μαρτυρίαν εἴπῃ ψευδῆ ἐκ φιλίας, αἰσχροκερδείας, ἢ προσπαθείας, οὗτος πορεύεται εἰς τὸν ἀτελ.

53. Ὅςτις, ἐξ ἄλλης ὢν φυλῆς, συγγίνεται γυναικὶ Βραχμᾶνος, ἐσκοτισμένος τὸν νοῦν, οὗτος πορεύεται εἰς τὸν ἀτελ.

54. Ὅςτις, ἀφεὶς τὸν συνοικοῦντα οἰκεῖον, καὶ ἐν ἀπορίᾳ ὄντα, ἄλλοις δίδωσι, καὶ ἐπικουρεῖ, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον ᾅδην.

55. Ὅςτις ζητεῖ ἀεὶ μετὰ μεγάλης προθυμίας εὑρεῖν τι ἐλάτ-

τωμα τῶν ἄλλων, εἰς τὸ ψέγειν, οὗτος πορεύεται εἰς τὸν ἀτελ.

56. Ὅςτις φιλεῖ κατηγορεῖν τῶν Θεῶν, τῶν Βεδῶν καὶ τῶν Μοναστῶν, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον ᾅδην.

57. Οἳ οὐ τιμῶσι τὸν Βισνοῦ, τὸν ὑπέρθεον, τὸν ὑπεράν-
58. θρωπον, τὸν παλαιὸν, τὸν ἄναρχον, τὸν ἀτελεύτητον, τὸν ποιητὴν τοῦ παντὸς καὶ ἀναλλοίωτον, οὗτοι, ὡς ἄφρονες, πορεύονται εἰς τὸν φρικτὸν καὶ ἀτελεύτητον ᾅδην.

59. Ὅςτις, πλούτου παρόντος, οὐ δίδωσι κατὰ τὸν νόμον τοῖς χρείαν ἔχουσι, φειδωλὸς ὢν, οὗτος πορεύεται εἰς τὸν ἀτελ.

60. Ὅςτις Βραχμὰν, πλοῦτον ἔχων, λαμβάνει ἄσμενος τὰ παρ' ἄλλων διδόμενα, οὗτος πορευθεὶς εἰς τὸν ᾅδην, κολάζεται.

61. Ὅςτις, συκοφάντης (διάβολος) ὢν, ζητεῖ εὑρεῖν ἐλάττωμά τι τῶν Βραχμάνων, εἰς τὸ ψέγειν, τοῦτον ὁ ἰδὼν, λουσάσθω σὺν αὐτοῖς τοῖς ἱματίοις εἰς κάθαρσιν.

62. Ἥτις γυνὴ, ἐναντία οὖσα τῷ ἑαυτῆς νομίμῳ ἀνδρὶ, εἰς συνουσίαν ἑτέρου ἐλαχίστου κλίνει, αὕτη πορεύεται εἰς τὸν ἀτελεύτητον ᾅδην.

63. Ἥτις γυνὴ, κληθεῖσα εἰς εὐνὴν, οὐ πλησιάζει τῷ ἑαυτῆς ἀνδρὶ, ἐπαιρομένη τῷ οἰκείῳ κάλλει, αὕτη εἰς τὸν ἀτελεύτητον ᾅδην πορεύεται.

64. Ἥτις γυνὴ, δελεαζομένη τῇ λαιμαργίᾳ, γλυκέων γεύεται λάθρα τοῦ ἑαυτῆς ἀνδρὸς καὶ παιδὸς, αὕτη εἰς τὸν ἀτελεύτητον ᾅδην πορεύεται.

65. Ἥτις γυνὴ, οὐ φιλοφρονεῖται ξένον, καὶ ἐπαίτην, ἐλθόντα ἐν καιρῷ, αὕτη πορεύεται εἰς τὸν ἀτελεύτητον ᾅδην.

66. Ταῦτα πάντα ἐῤῥέθη σοι ὑπ' ἐμοῦ, ὡς ἔχει, ἐκ τίνος δηλονότι ἔργου ὁ ἄνθρωπος ἔρχεται εἰς τὸν ἀτελεύτητον ᾅδην.

ΝΑΧΟΥΣΣΑΣ.

67. Νῦν δ' εἰπέ μοι, ἐκ τίνος ἔργου ὁ ἄνθρωπος ἔρχεται εἰς τὸν ἀτελεύτητον οὐρανόν· (τυγχάνει τοῦ ἀτελευτήτου οὐρανοῦ)· εἰδήμονά σε γὰρ πάντων οἶδα.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

68. Εἰς οὗτινος τὸν οἶκον ἐλθὼν Βραχμὰν φρόνιμος οὐκ ἀναχωρεῖ δύσελπις, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον οὐρανόν.

69. Ὅστις χαλιναγωγός ἐστι τῶν παθῶν, καὶ θύει, καὶ σπένδει, καὶ εὔχεται, καὶ λούεται, καὶ λατρεύει τῷ Θεῷ, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον οὐρανόν.

70. Ὅστις οὐ ψέγει τὰ ἐλαττώματα τῶν ἄλλων, ἀλλ' ἐπαινεῖ τὰς ἀρετὰς αὐτῶν, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον οὐρανόν.

71. Ὅστις αἰτούμενος, χαίρει ἐν τῷ διδόναι, καὶ εὐφημολογεῖ, (καὶ χαρίεντα λέγει) τοῦτον καὶ ὁ ἰδὼν, ἢ ὁ θίξας, πορεύεται εἰς τὸν ἀτελεύτητον οὐρανόν.

72. Οὗτινος ἡ διάνοια εἰς ὄφελος ἄλλων κλίνει, καὶ ὅτε κινεῖται, καὶ ὅτε ἵσταται, καὶ ὅτε γρηγορεῖ, καὶ ὅτε ὑπνοῖ, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον οὐρανόν.

73. Ὅστις θερμῶς σέβεται τὸν Θεὸν Βισνοῦν. καὶ ἀπέχει τῶν μὴ δεόντων, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον οὐρανόν.

74. Ἥτις γυνή ἐστι σώφρων καὶ ὑπήκοος τῷ ἑαυτῆς ἀνδρὶ ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ, αὕτη πορεύεται εἰς τὸν ἀτελεύτητον οὐρανόν.

75. Ὅστις, νέος ὢν τῇ ἡλικίᾳ, καὶ εὐειδὴς, καὶ πλούσιος,

ἐγκρατής ἐστι τῶν αἰσθήσεων, καὶ καρτερικὸς, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον οὐρανόν.

76. Ὅστις, τῆς ἐσχάτης καὶ θητικῆς ὢν φυλῆς, ὑπακοὴν δεικνύει καὶ ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ πρὸς τοὺς ὄντας ἐκ τῶν ἀνωτέρων φυλῶν, οὗτος πορεύεται εἰς τὸν ἀτελεύτητον οὐρανόν.

77. Ἐῤῥέθη σοι ὑπ' ἐμοῦ, ὡς ἔχει, πᾶν ὅ,τι ἠρώτησάς με, ἐκ τίνος δηλονότι ἔργου ὁ ἄνθρωπος ἐπιτυγχάνει τῆς ἐν οὐρανῷ οἰκήσεως.

ΝΑΧΟΥΣΣΑΣ.

78. Σκεψάμενος ἀκριβῶς, εἰπέ μοι, τίς ἐστιν ὁ προσήκων χρόνος τῷ νεκρικῷ δείπνῳ καὶ τῇ δωρεᾷ.

ΙΝΔΑΙΣΤΙΡΑΣ.

79. Ὅταν ὁ ἄνθρωπος ἴδῃ Βραχμᾶνα, εἰδήμονα τῆς Βέδας, ἐγκρατῆ τῶν αἰσθήσεων, ἄμοιρον ἐπιθυμίας καὶ ἔχθρας,

80. καὶ ἄμεμπτον, καὶ φοροῦντα ὅ,τι ἂν τύχῃ, καὶ οἰκοῦντα ὅπου ἂν τύχῃ, οὗτος ἐστὶν ὁ ἁρμόδιος καιρὸς τοῦ νεκρικοῦ δείπνου καὶ τῆς δωρεᾶς.

ΝΑΧΟΥΣΣΑΣ.

81. Εἰπέ μοι ἀληθῶς, πόθεν γίνεται ἡ Βραχμανικὴ χάρις; ἐκ τῆς φυλῆς; ἢ ἐκ τῆς γενεᾶς; ἢ ἐκ τῆς εἰδήσεως τῆς Βέδας; ἢ ἐκ τῆς μαθήσεως; ἢ ἐκ τῆς καλῆς διαγωγῆς;

ΙΝΔΑΙΣΤΙΡΑΣ.

82. Οὔτε ἡ φυλὴ, οὔτε ἡ γενεὰ, οὔτε ἡ εἴδησις τῆς Βέδας,

ἢ ἡ μάθησις, αἴτιά εἰσι τῆς Βραχμανικῆς χάριτος, ἀλλ' ἡ καλὴ διαγωγὴ, καὶ ἡ ἀρετή.

83. Πολλοὶ ἅγιοι ἄνδρες ὄντες μὲν ἐξ εὐτελοῦς καὶ χαμερποῦς φύσεως, φιλοῦντες δὲ τὰ τῆς ἀρετῆς, ἀνῆλθον εἰς τὸν Βραχμαλόκαν.

84. Τί ὄφελος ἐκ γνώσεως πολλῆς τῶν Βεδῶν τῷ κακοτρόπῳ; ὅςτις ἐμμένει (χρῆται) τῇ ἀρετῇ, οὗτος οἶδε τὰ τῆς Βέδας, καὶ μάθησιν ἔχει.

85. Καθὼς τὸ ὕδωρ ἐν ἀνθρωπείῳ κρανίῳ, καὶ τὸ γάλα ἐν κυνείῳ ἀσκῷ ἀχρεῖόν ἐστιν, οὕτω καὶ ἡ μάθησις ἐν ἀνθρώπῳ, ἀμοίρῳ ἀρετῆς.

86. Φροντιστέον ἐστὶ παντὶ τρόπῳ τῆς ἀρετῆς· ὁ γὰρ πλοῦτος καὶ ἔρχεται, καὶ ἀπέρχεται· ἀλλ' οὐδὲ ὁ ἐνδεὴς πλούτου ὄλλυται, ἀλλ' ὁ ἄμοιρος ἀρετῆς.

87. Τί ὄφελος ἐκ τοῦ ὀνόματος μεγάλης γενεᾶς τῷ κακοτρόπῳ; οὐ γεννῶνται σκώληκες ἐν εὐόσμοις ἄνθεσι;

88. Καὶ ὁ διδάσκων, καὶ ὁ διδασκόμενος, καὶ εἴτις ἄλλος οἵᾳ δή τινι ἐπιστήμῃ σχολάζει, οὐ καλοῦνται σοφοὶ, ἀλλὰ σχολαστικοί· ὅςτις δὲ ποιεῖ, ἃ διδάσκει, καὶ ἃ μανθάνει, οὗτός ἐστι σοφός.

89. Ἴσθι οὖν, ὡς ἡ ἀρετή ἐστιν ὁ χαρακτὴρ τοῦ Βραχμᾶνος· ὁ γὰρ κακοήθης Βραχμὰν, εἰ καὶ τῶν τεσσάρων Βεδῶν εἴη εἰδήμων, ἀνοσιώτερος κρίνεται τοῦ Σούδρα.

90. Ὅςτις ἐστὶν ἐγκείμενος τῇ πυρολατρίᾳ, καὶ ἐγκρατὴς, καὶ αὐτάρκης, καὶ καθάριος, καὶ φίλος τῆς σκληραγωγίας καὶ τῆς τῶν Βεδῶν μαθήσεως, τοῦτον οἱ Θεοὶ γινώσκουσι Βραχμᾶνα.

91. Ὅςτις φορεῖ ὅ,τι ἂν τύχῃ, καὶ ἐσθίει ὅ,τι ἂν τύχῃ, καὶ κοιμᾶται ὅπου ἂν τύχῃ, τοῦτον οἱ Θεοὶ γινώσκουσι Βραχμᾶνα.

92. Ὅςτις ἔχει τοιαύτας ἀρετὰς, καὶ σέβεται τὸν Βισνοῦν,

οὗτός ἐστιν ἀνὴρ δυσεύρετος ἐν κόσμῳ· οὐδεμία ἀμφιβολία ἐνταῦθα.

93. Ὅστις καρτερικῶς φέρει τὰ φύσει ἐναντία, καὶ κεχωρισμένος ἐστὶ τῆς ὁμιλίας πάντων, καὶ φιλόφρων πρὸς πάντας, τοῦτον οἱ Θεοὶ γινώσκουσι Βραχμᾶνα.

94. Ὅστις φοβεῖται τὴν μὲν συναναστροφὴν, ὡς ἔχιδναν, τὴν δὲ δόξαν (τιμὴν), ὡς θανὴν, τὰς δὲ γυναῖκας, ὡς Εὐμενίδας, τοῦτον οἱ Θεοὶ γινώσκουσι Βραχμᾶνα.

95. Ἐν ᾧ θεωροῦνται, ἀλήθεια, χαλιναγωγία τῶν παθῶν ἄσκησις, δόσις, ἀποχὴ ζωοκτονίας, καὶ ἐγκράτεια τῶν αἰσθήσεων, οὗτος λέγεται Βραχμάν.

96. Εἰ ὁ μὲν Σούδρας ζῇ εὐτάκτως καὶ ἐννόμως, ὁ δὲ Βραχμὰν ἀτάκτως καὶ ἀνόμως, ὁ μὲν Σούδρας γνωρίζεται Βραχμὰν, ὁ δὲ Βραχμὰν Σούδρας.

97. Ἐν ᾧ τινι οὐκ εἰσὶν ἐπιθυμία, θυμὸς, ψεῦδος, ἔχθρα, πλεονεξία, ἄγνοια, ὑπερηφανία, καὶ ἄλλα τοιαῦτα πάθη, τοῦτον οἱ θεοὶ γινώσκουσι Βραχμᾶνα.

98. Οὐ τὸ γένος ἐστὶν αἴτιον τῆς εὐδοξίας, ἀλλ' αἱ ἀρεταὶ καὶ ὁ Σούδρας γὰρ ζῶν ἐννόμως τυγχάνει τοῦ οὐρανοῦ.

99. Τὰ ἔργα τὸν μὲν ἄτιμον ποιοῦσιν ἔντιμον, τὸν δ' ἔντιμον ἄτιμον· καὶ ὁ Σούδρας ἐκ τῶν ἔργων Βραχμὰν κρίνεται. Σούδρας καὶ Βραχμὰν θεωροῦνται ἐξ ἔργων.

100. Ἡ μὲν θυγάτηρ ἁλιέως ἐγέννησε τὸν Βεάσαν· ἡ δ' ἔλαφος τὸν Ῥησσεσρήγγην· ἡ δὲ γῆ τὸν Δαδδήσην· οὗτοι δὲ πάντες τέλειοι ἄνδρες καὶ ἅγιοι ἐγένοντο ἐξ ἔργων.

101. Ὁ Βισδαμίτρας, ὁ μέγας ὅσιος ἐκ γενεᾶς ἦν Ξατρῆ· ὅθεν ἡ εἴδησις τῆς Βέδας καὶ ἡ θυηπολία οὐκ ἔστι χαρακτὴρ τοῦ Βραχμᾶνος.

102. Ἔργα ζήτει· καὶ μὴ προτείνῃς τοῦτο μόνον ὡς ἀναγινώσκει, καὶ οἱ δαίμονες γὰρ ἀναγινώσκουσι.

103. Μὴ ἄχθου εἰς ὃ λέγω, ὅτι καὶ οἱ δαίμονες ἀναγινώσκουσιν· ἡ γὰρ ἀνάγνωσις τέχνη ἐστὶ, χαρακτὴρ δὲ τοῦ Βραχμᾶνός ἐστι τὰ ἔργα.

104. Πυρολατρίαι καὶ Βέδαι ἐν ἑκάστῳ οἴκῳ τῶν δαιμόνων ὑπάρχουσιν· εὐσπλαγχνία ὅμως, καὶ καθαριότης, καὶ ἀλήθεια οὐκ ἔστιν ἐν τοῖς δαίμοσι.

ΝΑΧΟΥΣΣΑΣ.

105. Τί ἀπολαμβάνει ὁ ἡδύλογος; τί ὁ μετὰ σκέψεως ποιῶν τι ἔργον; τί ὁ πολλοὺς φίλους ἔχων; ἢ τί ὁ τὰ τοῦ νόμου ποιῶν;

ΙΝΔΔΙΣΤΙΡΑΣ.

106. Ὁ μὲν ἡδύλογος γίνεται ἀγαπητός· ὁ δὲ μετὰ σκέψεώς τι ποιῶν, τυγχάνει ἐς ἄκρον τοῦ σκοποῦ· ὁ δ' ἔχων πολλοὺς φίλους, ἡδέως διάγει· ὁ δὲ ποιῶν τὰ τοῦ νόμου, τυγχάνει τοῦ οὐρανοῦ.

ΒΑΪΣΑΜΠΑΪΑΝΑΣ.

107. Ἀκούσας ὁ Ναχούσας τῆς ἀποκρίσεως τοῦ Ἰνδδιστίρα εἰς πάσας τὰς ἐρωτήσεις ἐθαύμασε· καὶ χαίρων τὴν ψυχὴν, ἔφη.

ΝΑΧΟΥΣΣΑΣ.

108. Ὀρθὴν ἀπόκρισιν ἔδωκας πρὸς πάσας τὰς ἐρωτήσεις· ὅθεν νῦν ἀπολύω σοι τοῦτον τὸν ἀδελφόν.

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

109. Ἀγκαλισάμενος δ' ὁ Ἰνδδιστίρας τὸν Βήμαν ἀπολυθέντα, χάριν ὡμολόγησε τῷ Ναχούσσᾳ.

110. Διαλυθεὶς δὲ καὶ ὁ Ναχούσσας ἐκ τῆς ἀρᾶς τοῦ Ἀγαστέα, θείαν μορφὴν ἔλαβε, καὶ δόξαν, καὶ χαίρων εἶπε τῷ Ἰνδδιστίρᾳ.

ΝΑΧΟΥΣΣΑΣ.

111. Ἀληθής ἐστιν ὁ τῆς Βέδας λόγος, ὡς ἀγαθὸν ἐκ τῆς τῶν ἀγαθῶν ὁμιλίας γίνεται· ἰδοὺ γὰρ ἀπηλλάγην τῆς τοῦ ὄφεως φύσεως, ὁμιλήσας σοὶ τῷ ἀγαθῷ.

112. Οἱ πράξαντες ἀγαθὰ, ἀγαθοὺς υἱοὺς κτῶνται· ὁποῖον ἆρα ἀγαθὸν ἔπραξεν ὁ Δάρμας, ὃς ἐκτήσατό σε υἱόν;

113. Οὐ μόνον μακάριοί εἰσιν οἱ λαοὶ, ὧν Βασιλεὺς ὑπάρχεις σὺ ὁ ἀγαθὸς, ἀλλὰ καὶ αὐτὸς ὁ Δάρμας μακάριός ἐστιν, ᾧ τοιοῦτος υἱὸς ἐγένετο.

114. Πολλοὶ Βασιλεῖς ἔννομοι καὶ δίκαιοι καὶ ἠκούσθησαν, καὶ ὠράθησάν μοι· τοιοῦτος δ' ὅμως, οἷος σὺ, οὔτ' ἠκούσθη, οὔθ' ὠράθη μοι.

ΙΝΔΔΙΣΤΙΡΑΣ.

115. Οἱ θεοειδεῖς ἄνδρες ἥδονται ἐπ' ἀνδρὶ εὐδαίμονι· εὐδαίμων ἄρα ἐγώ εἰμι, ἐφ' ᾧ σὺ ἥσθης.

116. Ἐκεῖνοι δ' εἰσὶν ἀγαθοὶ ἄνδρες, οἳ ἐπαινοῦσι τὰ ἐλαττώματα τῶν ἄλλων, ὁποία γὰρ ἀγαθότης ἐστι, τὸ ἐπαινεῖν τὰς ἐνούσας ἀρετάς;

117. Ἐγὼ ἀπορίαν τινα ἔχω καὶ διὰ τοῦτο ἐρωτῶ σε φιλικῶς, ὦ ἄριστε Βασιλεῦ, καὶ οὐχὶ συκοφαντικῶς.

118. Πῶς ἄγνοια καὶ μωρία ἐγένετο, ὥσπερ κοινῷ ἀνθρώπῳ, σοὶ τῷ εἰδήμονι πασῶν τῶν ἐπιστημῶν, καὶ ἀξιαγάστῳ διὰ τὴν ὑπερτάτην δόξαν, ἣν εἶχες;

ΝΑΧΟΥΣΣΑΣ.

119. Ἡ δόξα μωραίνειν ποιεῖ καὶ τὸν παντογνώστην ἄνθρωπον, καὶ εὐπαίδευτον, καὶ εὐφυῆ, καὶ ἔννομον, καὶ ἀσκήσει χρώμενον.

120. Οὐδεὶς Βασιλεύς ἐστιν, εἰ καὶ ἄμοιρος τυγχάνει μεγαλουργίας καὶ εὐφημίας, οὗ ἐν τῇ καρδίᾳ ἕδραν οὐ ποιεῖ ἡ ὑπερηφανία.

121. Ἡ παγχάλεπος ὑπερηφανία δυσνίκητός ἐστιν ἐχθρὸς τοῖς βασιλεῦσιν· διὰ ταύτην γὰρ οἱ βασιλεῖς φαίνονται καταπίπτοντες ἐκ βασιλείας καὶ οὐρανοῦ.

122. Εἰ οἱ Βασιλεῖς χρῶνται τοῖς νομίμοις, ὡς προσήκει, οὐ τυγχάνουσιν ἄλλης στάσεως, ἀλλ' ἢ τοῦ οὐρανοῦ καὶ τῆς ἀθανασίας.

123. Ὅσον καλὸν ἢ κακὸν ἐν μιᾷ ἡμέρᾳ ποιῆσαι δύναται ὁ Βασιλεὺς, τοσοῦτον οὐ δύναται ποιῆσαι ἕτερος οὐδ' ἐν πολλῷ χρόνῳ.

124. Καθὼς τοῦ μὲν πυρὸς ἴδιόν ἐστιν ἡ θερμότης, τοῦ δ' ἀέρος ἡ κίνησις, τῆς δὲ σελήνης ἡ ψυχρότης, οὕτως ἴδιόν ἐστι τῆς δόξης ἡ ὑπερηφανία.

125. Ὁ μεθύων τῇ τοῦ οἴνου πόσει, ἀνανήφει μετὰ ταῦτα, ὁ δὲ μεθύων τῇ τῆς δόξης ὑπερηφανίᾳ, οὐκ ἀνανήφει.

126. Ὁ ἐκ δόξης ἐσκοτισμένος ὀφθαλμὸς οὐ βλέπει καθαρῶς· ὅταν δὲ πέσῃ ἐκ τῆς δόξης, τότε βλέπει λαμπρῶς· ἡ γὰρ πτῶσις κολλύριον γίνεται τῷ τοιούτῳ ὀφθαλμῷ.

127. Κἀγὼ ἄρα, ὁ τετυφλωμένος τὸν ὀφθαλμὸν ὡς ἀπὸ σκότους τοῦ ὕψους τῆς δόξης πεσὼν, ἀνέβλεψα, καὶ τῇ σῇ συμβουλῇ ἤδη ἀνένηψα.

128. Τίς οὐκ ἔστι σοφὸς εἰς τὸ εἰδέναι καὶ λέγειν τὰ συμφέροντα τῷ κόσμῳ; εἰς τὸ πρᾶξαι μέν τοι τὰ ἀγαθὰ οὐδ' οἱ ἅγιοι ἄνδρες σοφοί εἰσι.

129. Καὶ ὁ σοφὸς, καὶ ὁ ἥρως, καὶ ὁ πολλοὺς ἔχων ἐπικούρους καταπίνεται ἀφεύκτως ὑπὸ τῆς ὑπερηφανίας, ὡς ὁ ἥλιος ὑπὸ τοῦ δαίμονος Ῥαχοῦ.

130. Μὴ ἔχε ὑπερηφανίαν, τὴν ἀπολλύουσαν τὸν κόσμον, πρὸ ὀφθαλμῶν σοι ἐστὶ, τί ἐγὼ ἀπέλαβον ἐκ τῆς ὑπερηφανίας τῆς δόξης.

131. Μὴ ἀτιμάσθωσαν οἱ Βραχμᾶνες, οἱ ἀξιάγαστοι διὰ τὴν ἣν ἔχουσι χάριν, ἀλλὰ τιμάσθωσαν δωρεᾷ καὶ ὑποδοχῇ καὶ θεραπείᾳ.

132. Τίς οὐκ ἀπόλλυται, παροργίσας τοὺς Βραχμᾶνας, ὑφ' ὧν τὸ μὲν πῦρ ἐγένετο παμφάγον ἡ δὲ θάλασσα ἄποτος, ἡ δὲ παμφαὴς σελήνη φθίνουσα;

133. Τί ἄλλο ἀνώτερον τῶν Βραχμάνων, ὧν διὰ τοῦ στόματος τὰ μὲν τοῖς θεοῖς προσφερόμενα ἐσθίουσιν οἱ θεοὶ, τὰ δὲ τοῖς νεκροῖς αἱ ψυχαὶ τῶν προπατόρων;

134. Τίς οὐκ ἂν τιμήσειε τοὺς Βραχμᾶνας, οἳ πλοῦτον ἔχοντες τὴν ἀρετὴν καὶ τὴν ἄσκησιν, τιμῶνται καὶ πρὸς Θεῶν καὶ πρὸς ἀνθρώπων;

135. Τίς ἂν εἴη ἄλλος σεβασμιώτερος τῶν Βραχμάνων, ὑφ' ὧν ἡ μὲν θάλασσα πάλαι κατεπόθη, ὁ δὲ Βινδδεᾶς τὸ ὑπερύψηλον ὄρος χθαμαλὸν καὶ χαμερπὲς ἐγένετο;

136. Οἱ Βραχμᾶνες ὀργιζόμενοι μὲν, ἔχουσι τὸν λόγον, ὡς ὅπλον, φάρμακον, καὶ πῦρ· ἐξιλεούμενοι δὲ ὡς ἁγιαστικά εἰσιν ὕδατα, καὶ ἀπαλλακτικὰ τῶν ἁμαρτημάτων.

137. Ὅςτις ἐφίεται δέεσθαί τινος τῶν θεῶν, ἐξιλεωσάτω πρῶτον παντὶ τρόπῳ καὶ πάσῃ μηχανῇ τοὺς Βραχμᾶνας.

138. Καὶ τῶν σοφῶν ὁ νοῦς ἀμβλὺς γίνεται, ὅταν ἐκ κακῆς τύχης ἐμβροντηθῶσι, καὶ τῷ βρόχῳ τοῦ θανάτου συλληφθῶσι.

139. Καὶ ὁ λίαν συνετὸς, καρτερικὸς, καὶ πάνυ ἐπιστημονικὸς

κὸς, ὑπὸ τὴν ἐξουσίαν τοῦ θανάτου γεγονὼς, οὐκ οἶδε τί ποιήσῃ!

140. Ὅ,τι ἐξ ὅτου, δι' ὅτου, ὡς, ὅτε, ὅσον, ὅπου εἱμαρμένον ἐστὶ γενέσθαι, εἴτε καλὸν, εἴτε κακὸν, τοῦτο, ἐκ τούτου, διὰ τούτου, οὕτω, τότε, τοσοῦτον, ἐκεῖ ἀφεύκτως γενήσεται.

141. Ὀρθῶς δ' ἔχῃ, ὃ εἴρηκε πάλαι ὁ μέγας Θεὸς Κρισνᾶς πρὸς τοὺς ἀπογόνους τοῦ Ἰαδοῦ ἐν τῇ Δϐαρακᾷ·

142. «Ὅςτις οὐ προσκυνεῖ, καθὼς ἐγὼ, τὸν Βραχμᾶνα, τὸν πλήττοντα, καὶ καταρώμενον, καὶ σκληρὰ λέγοντα, οὗ-
143. τος, ὡς κακεργέτης, καὶ κατακεκαυμένος τῷ βραχμανικῷ πυρὶ, ἄξιός ἐστιν ἀναιρεθῆναι καὶ παιδευθῆναι, καὶ οὐκ ἔστιν ἡμέτερος (ὑπὸ τὴν ἐμὴν προστασίαν).

144. »Ὅςτις τιμᾷν ἐμὲ θέλει ἄκρᾳ εὐλαϐείᾳ, οὗτος τιμάτω ἀεὶ τοὺς Βραχμᾶνας· ἐπὶ γὰρ τούτῳ ἐγὼ ἥδομαι».

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

145. Ὁ μὲν Ναχούσσας ταῦτα εἰπὼν, ἀνῆλθεν εἰς τὸν οὐρανόν· ὁ δὲ Ἰνδδιστίρας μετὰ τοῦ Βήμα ἐπανῆλθεν εἰς τὴν ἰδίαν κατοικίαν.

146. Ἐλθὼν δὲ, διηγήσατο πάντα τὰ γεγονότα τῷ Ἀρζούνᾳ, τῷ Νακούλᾳ καὶ τῷ Σαχαδέϐᾳ, καὶ τοῖς λοιποῖς ὁσίοις ἀνδράσιν.

147. Ἐῤῥέθη σοι ὑπ' ἐμοῦ, ὦ Βασιλεῦ, πῶς ὁ μεγασθενὴς Βήμας συνεσχέθη τῷ δράκοντι, κἄπειτα ὑπὸ τοῦ Ἰνδδιστίρα ἐλυτρώθη.

148. Τούτους τοὺς περὶ ἀρετῆς ἐξαιρέτως λόγους ἀκούσας ὁ Ναχούσσας παρὰ τοῦ Ἰνδδιστίρα, ἔτυχεν εὐθέως τοῦ ἀϊδίου Βραχμαλόκα.

149. Ὅςτις ἀεὶ ἀκούει ταύτης τῆς περὶ τοῦ Ναχούσσα διηγή-

σεως, ἢ ἀναγινώσκει ἄλλοις, οὗτος πορεύεται εἰς τὸν Βισνουλόκαν.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

Περὶ ἀληθείας.

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

1. Προσκυνήσας ὁ Ἰνδδιστίρας τὸν γέροντα Βήσμαν, τὸν κείμενον ἐπὶ κλίνης βελῶν, ἠρώτησεν αὐτόν·

ΙΝΔΔΙΣΤΙΡΑΣ.

2. Ἀφηγήσασθαί μοι ἄξιος εἶ, ὦ θειότατε, τὴν ἣν εἴρηκε πάλαι ἀλήθειαν ἡ Βαχουλὰ δάμαλις· ἀκοῦσαι γὰρ ἐφίεμαι.

ΒΗΣΜΑΣ.

3. Διηγήσομαί σοι, ὦ ἀγαθὲ, τὸν θαυμαστὸν διάλογον τῆς δαμάλεως καὶ τοῦ λέοντος, ᾧ ὄνομα Καμαρούπας, ἔνθα φαίνεται ἀρετὴ τῆς ἀληθείας καὶ τῆς εὐθύτητος.
4. Ἐν τῇ περιφανεῖ χώρᾳ Μαθουρᾷ, τῇ πολυόλβῳ, τῇ πολυκάρπῳ, τῇ πολυανθρώπῳ, καὶ ἀγλαοτάτῃ θυσίαις καὶ ἑορταῖς,
5. Ἦν τις λαμπρὰ πόλις παρὰ τῇ ὄχθῃ τοῦ Ἰαμουνᾶ ποταμοῦ, ἐν σχήματι ἡμισελήνου, σοφοὺς ἄνδρας ἔχουσα,
6. Καὶ πολλὰς σημαίας, καὶ γυναῖκας βουκολικὰς, ἀκαταμάχητος οὖσα ἐκ τοῦ οὗ εἶχε τείχους, καὶ τῶν πύργων, καὶ τῆς τάφρου,
7. Ναοῖς τε λαμπροῖς τῶν θεῶν κεκοσμημένη, καὶ οἴκοις λευκοῖς, καὶ διαφόροις δένδροις καρποφόροις τε καὶ ἀνθοφόροις.

8. Εἶχε δὲ καὶ ὄλβον πολὺν, καὶ ἄφθονα πάντα τὰ ἐπιτήδεια, καὶ βόας, καὶ οἴκους καθαροὺς ἐκ τῆς φωνῆς τῶν τὴν Βέδαν ἀναγινωσκόντων,

9. Καὶ τριόδους, καὶ τετραόδους, καὶ πολυτίμητος ἦν, καθὼς οἱ μεγαλόπολις Λανκὰ τοῦ Ῥαβάνα.

10. Ἐν ταύτῃ τῇ πόλει ἦν τις Βασιλεὺς, Σανδρασένας τοὔνομα, φιλευσεβὴς, φιλάρετος, φιλόθεος, φιλόξενος,

11. Ἐγκείμενος τοῖς νενομισμένοις τῇ πολεμικῇ φυλῇ, πανένδοξος, καὶ φιλόλαος. Ὑπὸ τούτου τοῦ Βασιλέως ἐκυβερνᾶτο αὕτη ἡ λαμπρὰ πόλις,

12. Συνεχέσι θαλίαις ἀγλαϊζομένη, καὶ ἤχοις μουσικῶν ὀργάνων, καὶ ἐμπείροις χορῶν τε καὶ ᾀσμάτων, καὶ ἡδίστοις θεάμασιν,

13. Ἀγοραῖς τε καὶ ἐργαστηρίοις πάσης τέχνης κατὰ τάξιν, ποταμοῖς τε καὶ φρέασι καὶ λίμναις,

14. Πανηγύρεσί τε καὶ γάμοις, καὶ εὐειδέσι καὶ εὐείμοσιν ἀνδράσι τε καὶ γυναιξίν.

15. Ὄνομα δ' ἦν αὐτῇ τῇ πόλει Σανδραβατή· ἴσως δὲ εἶδες αὐτὴν, ἢ ἤκουσας περὶ αὐτῆς· ἄκουσον δὲ παλαιᾶς ἱστορίας, ἣ ἐγένετο ἐν ἐκείνῃ τῇ πόλει.

16. Βραχμᾶνι τινι πρωτεύοντι καλὴ καὶ ἐξαίρετος δάμαλις ἦν, εὔθυμος, εὐτραφὴς, καὶ εὔτεκνος, Βαχουλὰ τοὔνομα.

17. Ἦν δὲ πρώτη τῆς ἀγέλης τῶν βοῶν, χηνόχρους, πολυγάλακτος, μακρόχειλος, εὐμελὴς, λεπτόδερμος,

18. Πλατέα ἰσχία ἔχουσα, καὶ παχέα καὶ μεγάλα οὔθατα, καὶ αἴσια σημεῖα, καὶ συμμετρίαν μελῶν.

19. Ἦν κυανόλαιμος, εὐτράχηλος, κωδωνοφόρος, γλυκύφωνος, ἡγουμένη τῆς ἀγέλης, καὶ ἄφοβος.

20. Πορευομένη γὰρ μόνη κατὰ τὸ ἔσχατον μέρος τοῦ ἄλσους, ἐνέμετο ἀφειδῶς πόαν χλοεράν, ἄτμητον, καὶ ἡδεῖαν.

21. Ἦν δέ τι ὄρος ἐκεῖ που κατὰ τὴν ὄχθην τοῦ Ἰαμουνᾶ, ᾧ ὄνομα Ῥοχίτα, φάραγγας, καὶ σπήλαια πολλὰ, καὶ πίδακας ἔχον.

22. Τὸ δὲ μεταξὺ τοῦ βορείου καὶ ἑώου μέρους τούτου τοῦ ὄρους εἶχε μὲν χλόην πολλὴν, δεινὸν δὲ ἦν, καὶ τραχὺ, καὶ δύσβατον, καὶ φρικτόν·

23. Πλῆρες γὰρ ἦν ἀγρίων ζώων καὶ θηρίων, καὶ συνηρεφὲς δένδροις καὶ θάμνοις πολυειδέσι, καὶ ἠχοῦν ἐκ τῆς ὑλακῆς τῶν κυνολύκων.

24. Κατὰ τοῦτο τὸ δύσβατον μέρος ᾤκει εἷς φοβερὸς λέων, ᾧ ὄνομα Καμαρούπας, αἱμοβόρος, σαρκοβόρος, μεγαλόδους, ὑπερίσχυρος·

25. Μέγας ὢν, ὡς ὄρος, καὶ φωνὴν ἔχων, ὡς βροντὴν, καὶ στόμα, ὡς σπήλαιον, καὶ ὀξεῖς ὀδόντας καὶ ὄνυχας.

26. Βουκόλος δὲ, Σομίλας τοὔνομα, καλοκἄγαθος, καὶ φιλόφρων, ἔβοσκε τὴν ἀγέλην ἐν χλοερῷ καὶ ποώδει τόπῳ.

27. Ἀπὸ ταύτης τῆς ἀγέλης πλανηθεῖσα ἡ Βαχουλὰ βοῦς ἐπιθυμίᾳ χλόης, νεμομένη, ἦλθεν ἐπ᾽ ὄψιν τοῦ λέοντος, ὃς ἐπέδραμε κατ᾽ αὐτῆς, καὶ εἶπε·

ΛΕΩΝ.

28. Στῆθι στῆθι· σὺ εἶ σήμερον τὸ ὡρισμένον βρῶμά μου· οἴκοθεν ἦλθες πρὸς ἐμέ. Ἄφες τὸν φόβον· τί δὲ ποιήσεις φοβουμένη;

ΒΗΣΜΑΣ.

29. Ἀκούσασα δὲ τῆς δεινῆς καὶ φρικτῆς φωνῆς τοῦ λέοντος ἡ δάμαλις, ἔτρεμεν ἐκ φόβου, καὶ ἐκλονεῖτο, καθὼς ἡ Καδαλὴ ἐξ ἀνέμου.

30. Ἀδημονοῦσα δὲ, καὶ ἐπιθυμοῦσα ἰδεῖν τὸν μόσχον, τὸν εὔμορφον καὶ λευκὸν, ὡς τὴν σελήνην, καὶ δίψῃ πιεζόμενον,

31. Καὶ ἐνθυμουμένη αὐτὸν αὕτη ἡ φιλόστοργος, καὶ ἀχθομένη σφόδρα ἐκ φίλτρου, καὶ κατακαιομένη ἐκ λύπης, ἔκλαιεν ἐλεεινῶς ἡ τάλαινα, ἀπελπισθεῖσα τῆς τοῦ μόσχου θέας.
32. Βλέπων δ' αὐτὴν ὁ λέων, κλαίουσαν, καὶ λίαν λυπουμένην, ἔλεξε λόγον φοβερόν.

ΛΕΩΝ.

33. Τί κλαίεις, ὦ Βαχουλά; οἴκοθεν καὶ ἐκ τύχης ἦλθες βρῶμα πρὸς ἐμὲ, ὡς ἠφιέμην.
34. Εἴτε κλαίεις, εἴτε οὐ κλαίεις, εἰς μάτην ζωὴν ἐλπίζεις· τὸ ὡρισμένον βρῶμα ἐν κόσμῳ βιβρώσκεται· οἴκοθεν ἦλθες, ὦ δάμαλι.
35. Ὁ θάνατός σου ὡρίσθη σήμερον· διὰ τί ματαίως θρηνεῖς καὶ κλαίεις; ἐγὼ ἀπορίαν ἔχω· διὰ τοῦτο εἰπέ μοι πάντα.

ΒΑΧΟΥΛΑ.

36. Ἄξιος εἶ ἀνασχέσθαι μου, ὦ κύριε· προσκύνησις ἔςω σοι. Οὐκ ἔστι σωτηρία τῷ ἐντυγχάνοντί σοι.
37. Διὰ ζωὴν ἐγὼ οὐ θρηνῶ· δεῖ μοι θανάτου τυχεῖν. Καθὼς γὰρ βεβαία ἡ γέννησις τοῦ θανόντος, οὕτω καὶ ὁ θάνατος τοῦ γεννηθέντος.
38. Ἔγωγε τοίνυν οὐ θρηνῶ εἰς ἀποφυγὴν τοῦ ἀφεύκτου θανάτου. ἐπειδὴ καὶ οἱ θεοὶ ὑπόκεινται τῷ θανάτῳ ἀναγκαίως.
39. Ἐγὼ οὐ θρηνῶ θλιβερῶς, οὐδὲ κλαίω ἐλεεινῶς διὰ τὴν ἐμαυτῆς ζωὴν, ἀλλὰ διὰ τὴν ἀγάπην ἑνὸς ἀγαπητοῦ.
40. Ἔστι μοι ἄχθος ἐν καρδίᾳ, οὗ ἀκοῦσαν ἄξιος εἶ· ἐγὼ κατὰ πρῶτον νῦν λεχώ εἰμι, ἀκμαίας οὔσης τῆς ἡλικίας.
41. Ἔστι μοι παῖς ἐραστὸς, πρωτότοκος, γαλακτοπότης, ὃς οὐδέ γε χλόης ἔτι ὀσφραίνεται.
42. Οὗτος δεδεμένος ἐστὶν ἐν τῷ βοοστασίῳ, καὶ, πείνῃ θλι-

δόμενος, ἐμὲ ἀναμένει· διὰ τοῦτο ἐγὼ λυποῦμαι, λογιζομένη πῶς ὁ ἐμὸς παῖς διάγει.

43. Ἐκείνῳ μαστὸν δοῦναι ἐφίεμαι, φιλόστοργος οὖσα· γαλουχήσασα δ' αὐτὸν, καὶ περιλείξασα τὴν κεφαλὴν αὐτοῦ,

44. Καὶ παραδοῦσα αὐτὸν ταῖς φίλαις μοι βουσὶ, καὶ νουθετήσασα αὐτὸν τί ἐστι καλὸν, ἢ τί κακὸν, πάλιν ἔρχομαι· σὺ δὲ τότε με φάγε, ὡς ἐφίη· σήμερον ἔρχομαι πρὸς σέ.

ΛΕΩΝ.

45. Τίς σοι χρεία τοῦ παιδός; διὰ τί οὐκ ἐνθυμῇ τὸν θάνατον; πάντες φοβοῦνται, καὶ ἀποθνήσκουσιν, ἐμὲ βλέποντες· σὺ δ' ἐλέῳ ἐχομένη, υἱὸν προτείνεις.

46. Ἴσθι μέν τοι, ὡς οὔτ' ἐπῳδὴ, οὔτ' ἄσκησις, οὔτε δόσις χρημάτων, οὔτε μήτηρ, οὔτε πατὴρ, οὔτε υἱὸς δύνανται σῶσαι τὸν προσπελάσαντά μοι.

47. Πῶς δὲ σὺ, πορευθεῖσα εἰς τὸ βοοστάσιον, τὸ ἔχον βασιλικὰς γυναῖκας, τὸ ἀγλαϊζόμενον μυκήμασι ταύρων καὶ μόσχων,

48. Τὸ κόσμημα τοῦ ἀνθρωπείου κόσμου, τὸ ἐφάμιλλον τῷ οὐρανῷ, τὸ ᾀειχαρὲς, τὸ τιμώμενον ὑπὸ πάντων τῶν θεῶν,

49. Τὸ καθαρὸν τῶν καθαρῶν, τὸ ἀγαθὸν τῶν ἀγαθῶν, τὸ ἅγιον τῶν ἁγίων, τὸ ἀγλαὸν τῶν ἀγλαῶν,

50. Τὸ δοχεῖον τῶν ἀρετῶν, τὸ ἐξαίρετον οἴκημα τοῦ Θεοῦ, τὸ ἐπιθυμητὸν τοῖς τελείοις καὶ ἁγίοις ἀνδράσι, ὁ ἐπίγειος οὐρανός.

51. Πῶς σὺ, πορευθεῖσα εἰς τὸ βοοστάσιον, ἔνθα οὐκ ἔστι κακόν τι ἐκ τοῦ ἤχου τῆς περιδινήσεως τοῦ γάλακτος, καὶ τοῦ μυκήματος τῶν ταύρων καὶ τῶν μόσχων,

52. Ἔνθα οἱ μὲν μόσχοι μυκῶνται τῇ ἐπιθυμίᾳ τῶν μητέρων, αἱ δὲ μητέρες τῇ ἐπιθυμίᾳ τῶν μόσχων ἐκ φιλοστοργίας,

53. Πῶς πορευθεῖσα εἰς τὸ βοοστάσιον, ὃ φυλάττεται ὑπὸ τῶν παλαιῶν βουκόλων, καὶ ἠχεῖ ἐκ τῶν ᾀσμάτων, καὶ χορῶν, καὶ συνδιαλέξεων, καὶ ἀγώνων αὐτῶν,

54. Καὶ ἀγλαΐζεται τοῖς περιεστῶσι καὶ ἀνασκιρτῶσι μόσχοις, ὡς ἡ λίμνη τοῖς σαλευομένοις λωτοῖς.

55. Πῶς σὺ, πορευθεῖσα εἰς τοιοῦτον οἴκημα, καὶ ἰδοῦσα τὴν μητέρα, τὸν ἀδελφὸν, τὸν οἰκεῖον παῖδα, καὶ τὰς βουκολικὰς γυναῖκας, πῶς πάλιν ἐλεύσῃ;

56. Πιέτωσαν, ὦ ἀγαθὴ, τὰ πέντε μου στοιχεῖα τὸ αἷμά σου· διὰ μόνου γὰρ λόγου οὐ ποιῶ αὐτὰ ἀποτυχεῖν τοῦ ποθουμένου.

ΒΑΧΟΥΛΑ.

57. Ἄκουσον, ὦ Βασιλεῦ τῶν ζώων, τοῦ λόγου μου· ἰδοῦσα πρῶτον τὸν μόσχον, καὶ τὰς φίλας βοῦς, καὶ τοὺς βόσκοντας βουκόλους,

58. Καὶ ἄδειαν λαβοῦσα παρὰ τῶν βουκολικῶν γυναικῶν, καὶ παρὰ τῆς μητρὸς μάλιστα, ἐλεύσομαι ἐφ᾽ ὅρκου· ἄφες με οὖν, εἰ ἀγαπᾷς.

59. Ὅ,τι ἔγκλημά ἐστιν ἐκ τῆς βραχμανοκτονίας, πατροκτονίας, καὶ μητροκτονίας, τούτῳ ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

60. Ὅςτις, ἔχων δύω γυναῖκας, ἀφίησι τὴν ἑτέραν ἐκ μίσους, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

61. Ὅςτις ὑποτίθησι τῷ ζυγῷ βοῦν νέον καὶ ἀδάμαστον, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

62. Ὅςτις ὑποζευγνύει ἀναρμόστως τρεῖς βοῦς, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

63. Ὅ,τι ἔγκλημά ἐστι τοῖς ζωοκτόνοις, τοῖς αἱμοβόροις, καὶ τοῖς φαρμακοδόταις, τούτῳ ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

64. Ὅστις λακτίζει τὰς βοῦς, ἢ οὐ προσκυνεῖ αὐτὰς, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

65. Ὅστις καταφρονεῖ, ἢ βλασφημεῖ, ἢ πλήττει τὰς βοῦς, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

66. Ὅστις μνηστεύσας ἅπαξ ἀνδρὶ τὴν ἑαυτοῦ θυγατέρα, ἑτέρῳ ἔπειτα μνηστεῦσαι ταύτην θέλει, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

67. Ὅστις ἐμπόδιον γίνεται τοῖς λεγομένοις θείοις λογίοις, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

68. Εἰς οὗτινος τὸν οἶκον ἀνὴρ ἀγαθὸς ἦλθεν, εἶτα ἀπῆλθε, μὴ τυχὼν, οὗ ἤθελε, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

69. Ὅστις βλασφημεῖ τοὺς θεοὺς, τοὺς Βραχμᾶνας, καὶ τὰς Βέδας, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

70. Ὅ,τι ἔγκλημα ἐστὶ τοῖς διαβάλλουσι, καὶ τοῖς τὰ ἀλλότρια ἁρπάζουσι, τούτῳ ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

71. Ὅστις ὑπακοὴν οὐκ ἔχει τῷ διδασκάλῳ, τῷ πατρὶ, καὶ τῇ μητρὶ, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

72. Ὅστις μόνος ἐσθίει γλυκύ τι ἔδεσμα, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

73. Ὅστις κληθεὶς εἰς μαρτυρίαν, ψεῦδος λέγοι, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

74. Ἥτις γυνὴ ἀτιμάζει τὸν ἑαυτῆς ἄνδρα, νέον ὄντα, ταύτης τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

75. Ὅστις τὴν ἐμπιστευθεῖσαν παρακαταθήκην ὑφαιρεῖται, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

76. Ὅστις τὸν Βισνοῦν ἀφεὶς, ἄλλον Θεὸν τιμᾷ καὶ λατρεύει, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

77. Ὅστις ἀνίσοις μέτροις καὶ ζυγοῖς χρῆται, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην ἐὰν μὴ ἐπανέλθω.

78. Ὅστις κλέπτει χρυσίον, ἢ ὅστις διακορεύει, τούτου τῷ ἐγκλήματι ἔνοχος εἴην, ἐὰν μὴ ἐπανέλθω.

ΒΗΣΜΑΣ.

79. Τοιούτοις φοβεροῖς παραπτώμασιν ὁρκισάσης ἑαυτὴν τῆς ἀγαθῆς Βαχουλᾶς, πιστεύσας ὁ λέων πάλιν εἶπε·

ΛΕΩΝ.

80. Ἐμοὶ μὲν πίστις ἐγένετο ἐξ ὧν ἐποίησας ὅρκων· σὺ δ' ἴσως, ἀπελθοῦσα, νομίσεις, ὡς ὁ λέων ἀνόητος ἦν, καὶ διὰ τοῦτο ἠπατήθη.

81. Εἰσὶ γάρ τινες, οἳ ἐροῦσιν· « οὐκ ἔστιν ἀμπλάκημα ἐξ ὅρκων, ἐν κινδύνῳ οὔσης τῆς ζωῆς· » σὺ δὲ μὴ πιστεύσῃς τοῖς τοιούτοις.

82. Εἰσί τινες ἐν τούτῳ τῷ Κόσμῳ ἄθεοι, ἄφρονες, καὶ δοκησίσοφοι, οἳ μετατρέψουσι καὶ μεταπλάσουσι τὴν γνώμην σου, καθὼς οἱ κεραμεῖς τὸν ἐπὶ τοῦ πλαστικοῦ τροχοῦ πηλόν.

83. Οἱ ἀγνοίᾳ κεκαλυμμένοι τὸν νοῦν, καὶ οὐτιδανοὶ ὄντες, καὶ παραβλέποντες τὰ τοῦ νόμου, κατασβέσουσι τὸ διακαὲς τῆς ψυχῆς σου διὰ συμπερασμάτων καὶ συλλογισμῶν σκολιῶν καὶ σοφιστικῶν.

84. Οἱ σοφισταὶ τὰ ψευδῆ ἀληθῆ δεικνύουσι, καθὼς ἐν ἐπιπέδῳ τόπῳ οἱ ζωγράφοι τὰ τῆς γραφῆς μέρη ὑψηλὰ καὶ χαμηλὰ παριστῶσιν.

85. Ὡς ἐπὶ τὸ πολὺ ὁ κόσμος οὗτος μετὰ τὸ εὐεργετηθῆναι ἀμνημονεῖ τοῦ εὐεργετήσαντος· ἐν ὅσῳ χρείαν ἔχει, θεραπεύει, καὶ ἐκλιπαρεῖ· οὐδεὶς δ' οὐδενὶ φίλος.

86. Ὁ μόσχος ἰδὼν ἔλλειψιν γάλακτος, ἐγκαταλείπει τὴν ἑαυτοῦ μητέρα. Ἐν τῷ κόσμῳ τούτῳ οὐ βλέπω ἐκεῖνον, ὃς ποιεῖ χάριν ἀντὶ χάριτος· παντὶ γὰρ, τυχόντι οὗ ἤθελεν, ἄλλη γνώμη γίνεται.

87. Πάλαι οὐ μόνον ἁπλῶς ἄνθρωποι, ἀλλὰ καὶ ἅγιοι καὶ θεοὶ, καὶ δαίμονες, ὅρκους πρὸς ἀλλήλους ποιήσαντες, εἰς τὸ ἐκτελέσαι ὃ ἤθελον, παρέβησαν αὐτούς· πῶς δ' ἐγώ σοι πιστεύσω;

88. Ἴσθι μέν τοι, ὡς καὶ ἐπ' ἀληθείας ὅστις ὀμνύει τὸν Θεὸν, τὸ πῦρ, ἢ ὅ,τι ἄλλο τίμιον, τούτου τὸ ἥμισυ τῶν ἀρετῶν ἐκκόπτει ὁ Ἰάμας, ὁ Βασιλεὺς καὶ κριτὴς τοῦ ᾅδου· ὅτε δ' ὀμνύει ψευδῶς ὁ ἄνθρωπος, πασῶν τῶν ἀρετῶν στερεῖται.

89. Μὴ δ' ἔχε τοιαύτην γνώμην, ὡς ὁ λέων ἠπατήθη τοῖς ὅρκοις. Ἐμοὶ μὲν πίστις ἐγένετο ἐξ ὧν εἴρηκας· σὺ δὲ ποίησον, ὡς θέλεις.

ΒΑΧΟΥΛΑ.

90. Οὕτως ἔσται, ὦ μέγα Λέον· τίς δὲ σ' ἀπατῆσαι ἀνέχεται; ὅστις δ' ἄλλον ἀπατᾷ, αὐτὸς ἑαυτὸν ἀπατᾷ.

91. Οὐκ ἔστιν ἐν γῇ ἄλλο κειμήλιον, καὶ ἄλλος θησαυρὸς, ὡς ἡ φιλοδωρία· οὐδ' ἄλλη ἀρετὴ, ὡς ἡ ἀληθολογία· οὐδὲ μεγάλη κακία, ὡς ἡ ψευδολογία.

92. Οὐ ποιητέον ἐκεῖνο τὸ ἔργον, ἐξ οὗ δυσφημία καὶ δυσπιστία, καὶ εἰς ᾅδου κατάβασις γίνεται.

ΛΕΩΝ.

93. Ὦ φιλόστοργε Βαχουλὰ, πορεύθητι, καὶ ἰδὲ τὸν οἰκεῖον

μόσχον· γαλουχήσασα δ' αὐτὸν, καὶ περιλείξασα τὴν κεφαλὴν αὐτοῦ,

94. Καὶ ἰδοῦσα προσέτι τὴν μητέρα, τὸν ἀδελφὸν, τὰς φίλας βοῦς, καὶ τοὺς λοιποὺς οἰκείους καὶ γνωστοὺς, ἐπανάκαμψον ταχέως, προτιμήσασα τὴν ἀλήθειαν.

ΒΗΣΜΑΣ.

95. Τοιαύτην δοῦσα πίστιν ἡ ἀληθολόγος καὶ φιλόστοργος Βαχουλὰ, λαβοῦσα ἄδειαν παρὰ τοῦ λέοντος ἀνεχώρησε,

96. Πλήρης δακρύων τοὺς ὀφθαλμοὺς, ὑφειμένη, λίαν τεθλιμένη, πελάγει λύπης ἐμβεβυθισμένη, καὶ θρηνοῦσα ἐλεεινῶς καὶ συνεχῶς, ὡς ἡ Κουραρὴ [1] ἐν ἄλσει ἐρήμῳ καὶ ἐπικινδύνῳ.

97. Μόλις δ' ἦλθεν εἰς τὸ βοοστάσιον ἡ Βαχουλὰ, καὶ ἰδοῦσα τὸν οἰκεῖον παῖδα πείνῃ θλιβόμενον, καὶ μυκώμενον, ἔδραμεν ἐπ' αὐτὸν ταχέως.

98. Ὁ δὲ μόσχος, προσελθὼν τῇ μητρὶ, σκιρτῶν, καὶ ἀγαλλόμενος, ἰδὼν αὐτὴν δακρυῤῥοοῦσαν, εἶπεν ἐν ἀδημονίᾳ, καὶ ἀγωνίᾳ·

ΜΟΣΧΟΣ.

99. Λίαν ἄθυμος, περίλυπος, περίφοβος, καὶ τεταραγμένη τὴν ὄψιν φαίνῃ σήμερον, ὦ μῆτερ, καὶ οὐκ οἶδα τὸ αἴτιον.

ΔΑΜΑΛΙΣ.

100. Ἐκμύζησον τὸν μαστὸν, ὦ τέκνον, καὶ κορέσθητι γάλακτος· ἐγὼ διὰ τὴν ἀγάπην σου ἦλθον σήμερον· εἰδ' ἐρωτᾷς τὴν αἰτίαν ἄκουσον·

---

(1) Ὄρνις φίλυδρος, ἧς ἡ φωνὴ κλαυθμῷ ἔοικε.

101. Αὕτη ἐστὶν ἡ ἐσχάτη καὶ τελευταία μου θέα· πίε γάλα, ὅσον θέλεις, ὦ τέκνον· τίνος ἆρα γάλα μέλλεις πιεῖν αὔριον;

102. Δεῖ με ἀπελθεῖν, ὦ τέκνον· ὀμόσασα γὰρ ἦλθον· δεῖ με δοῦναι τὴν ἐμαυτῆς ψυχὴν λέοντι, Καμαρούπᾳ τοὔνομα.

ΜΟΣΧΟΣ.

103. Κἀγὼ ἐλεύσομαι, ὅπη σὺ πορευθῆναι θέλεις, ὦ μῆτερ.

104. Ἄξιόν ἐστι κἀμοὶ θανεῖν μετὰ σοῦ· καὶ μόνος γὰρ ὤν, τεθνήξομαι ἐξ ἅπαντος ἄνευ σοῦ.

105. Εἰ ἐμὲ μετὰ τῆς μητρὸς ὁ ἐν ἐρήμῳ Λέων καταφάγοι, τοιούτου βαθμοῦ πάντως τεύξομαι, οἷος ἀπόκειται τοῖς φιλομήτορσιν.

106. Ὅθεν ἀφεύκτως καὶ ἀναμφιβόλως σὺν σοὶ ἐλεύσομαι· ἢ, μένε ὧδε, ὦ μῆτερ· οἱ δὲ σοὶ ὅρκοι ἔστωσαν κατὰ τῆς ἐμῆς κεφαλῆς.

107. Τίς χρεία ζωῆς τῷ διαζευχθέντι τῆς μητρός; τίς δ' ἐν ἐρημίᾳ κηδεμὼν ἐμοῦ ἀεὶ ἔσεται, ὀρφανοῦ ὄντος;

108. Οὐδεὶς, ὡς ἡ μήτηρ, φιλόστοργος πέφυκε τοῖς γαλακτοποτοῦσι παισίν· οὐδεὶς, ὡς ἡ μήτηρ, φύλαξ ἐστὶ καὶ κηδεμὼν ἐν δεινοῖς.

109. Οὐκ ἔστι φίλτρον, ὡς τὸ τῆς μητρὸς, πρὸς τὸν υἱόν, ὅτε μάλιστα κακῶς ἔχει· οὐκ ἔστιν ἀγαθὸν, ὡς ἡ μήτηρ, οὔτ' ἐν τῷ παρόντι οὔτ' ἐν τῷ μέλλοντι βίῳ.

110. Οἱ μὲν ὄντες ὀρφανοὶ πατρὸς, ζῶσι τῇ φροντίδι τῆς μητρός· τοῖς δ' οὖσιν ὀρφανοῖς μητρὸς οὐκ ἔνεστι ζῆν.

111. Αὕτη ἐστιν ἡ μεγάλη ἀρετὴ, ὡς ἐνετείλατο ὁ ποιητὴς Βραχμᾶς. Οἱ ἀποθνήσκοντες μετὰ τῆς μητρὸς, ἐπιτυγχάνουσι τοῦ ὑψίστου βαθμοῦ.

112. Ἡ μήτηρ φέρουσα ἐν γαστρὶ τὸ ἔμβρυον ἐν ἐννέα μησὶ

μετὰ πολλῆς θλίψεως, τίκτει αὐτὸ ἐν τῷ δεκάτῳ μετὰ πολλῶν ὠδίνων.

113. Ἡ μήτηρ ἐστὶν, ἣ δίδωσι γάλα, ὡς ἀμβροσίαν, τῷ γεννηθέντι βρέφει, καὶ κήδεται αὐτοῦ, καὶ αὐξάνει αὐτὸ, τῇ κόπρῳ καὶ τῷ οὔρῳ αὐτοῦ ἐκ φίλτρου συγκυλιομένη.

114. Αἱ φιλόστοργοι μητέρες φιλοῦσι τοὺς οἰκείους παῖδας ὑπὲρ τὰς ἑαυτῶν ψυχάς· τίς αὐταῖς ἀνταμοιβὴν ποιῆσαι δύναται, εἰ καὶ ἑκατὸν ζήσειεν ἔτη;

ΒΑΧΟΥΛΑ.

115. Εἰς ἐμὲ ὡρίσθη οὗτος ὁ θάνατος· οὐ δεῖ σοι ἄρα ἐλθεῖν μετ' ἐμοῦ· οὐδέ γε θάνατος γίνεται τῷ ἀθώῳ, ἀντὶ θανάτου ἐνόχου.

116. Αὕτη ἐστιν ἡ ἐσχάτη καὶ μεγάλη μητρικὴ συμβουλὴ, ὦ παῖ· αὕτη ἐστὶ ἡ πρὸς ἐμέ σου ἄκρα ὑπακοὴ καὶ εὐπείθεια; ἄκουσον τοῦ λόγου μου.

117. Νεμόμενος ἐν ξηρᾷ ἢ ἐν ὑγρᾷ, ἔχε προσοχήν· πάντες πάντως γε ἀπόλλυνται ἐκ τῆς ἀπροσεξίας.

118. Οὐ δεῖ νέμεσθαι ἐν τόπῳ δεινῷ καὶ δυσβάτῳ· ἐκ πλεονεξίας ὄλεθρος πᾶσι γίνεται κἂν τούτῳ κἂν τῷ μέλλοντι βίῳ.

119. Οἱ ἀνοηταίνοντες ἐκ πλεονεξίας, τολμῶσι καὶ εἰς θάλασσαν, καὶ εἰς ἔρημον, καὶ εἰς ἀβάτους τόπους· ἐκ τῆς πλεονεξίας καὶ ὁ σοφὸς ἄνθρωπος ἀπρεπῆ πράττει καὶ ἀνάρμοστα πάντη.

120. Φύλαττε ἀεὶ σεαυτὸν, ὦ παῖ, φροντίδι καὶ ἐπιμελείᾳ ἀπὸ πάντων τῶν θηρίων, καὶ ἀπὸ τῆς κακίας τῶν κακεντρεχῶν καὶ αἱμοβόρων.

121. Ἀποστρέφου, σκεπτόμενος, τὴν διάστροφον γνώμην, ἣν

ἔχουσιν οὐ μόνον οἱ ἀλλογενεῖς, ἀλλὰ καὶ οἱ κακοφυεῖς ὁμογενεῖς, καὶ συνοικοῦντές σοι.

122. Μὴ ἔχῃς πεποίθησιν εἰς ποταμοὺς, εἰς ὀνυχοφόρα καὶ κερατοφόρα κτήνη, εἰς ξιφήρεις ἀνθρώπους, εἰς θηλείας, καὶ εἰς Βασιλεῖς καὶ ἡγεμόνας.

123. Μὴ ἔχῃς πίστιν μὴ μόνον πρὸς ὃν οὐ πιστεύεις, ἀλλὰ καὶ πρὸς ὃν πιστεύεις· ἐκ γὰρ ἐκείνου, πρὸς ὃν πιστεύεις, τὸ προερχόμενον κακὸν παντελῆ ὄλεθρον ποιεῖ.

124. Οὐ δεῖ πιστεύειν οὐδὲ τῷ ἰδίῳ σώματι, διὰ τὸ ἀσταθὲς τῆς διανοίας· τὸν δὲ πιστεύοντα γίνωσκε λίαν ἄφρονον, ἀφρόντιστον, καὶ ἀναίσθητον.

125. Νεμόμενος, ὀσφραίνου πρῶτον τῆς χλόης· οἱ μὲν γὰρ βόες βλέπουσι διὰ τῆς ὀσφρήσεως, οἱ δὲ Βασιλεῖς διὰ τοῦ ὀφθαλμοῦ τῶν κατασκόπων, οἱ δὲ σοφοὶ διὰ τῆς σοφίας, οἱ δὲ θεωρητικοὶ διὰ τῆς θεωρίας.

126. Ἔχε ταῦτα, ὡς νόμον· μὴ ἔσο μόνος ἐν ἐπικινδύνῳ τόπῳ· μὴ ποίει ἐν τάχει τὸ πρακτέον· πανταχοῦ ὁ θάνατος βέβαιος.

127. Καθὼς εἷς ὁδοιπόρος, καθίσας ὑπὸ σκιὰν, ἀναπαύεται, καὶ μετὰ τὸ ἀναπαυθῆναι πάλιν πορεύεται, οὕτω καὶ ἡ συνέλευσις εἰς τοῦτον τὸν κόσμον πάσης ψυχῆς ζώσης.

128. Ὅτε δὲ τὸ πᾶν τοῦτο ἄστατόν ἐστι καὶ πρόσκαιρον, διὰ τί λύπην ἔχεις, ὡς μόνος ἐσόμενος; ἄφες οὖν τὴν λύπην, ὦ παῖ, καὶ ἄκουσον τοῦ λόγου μου.

129. Σέβου καὶ τίμα τοὺς ἐν παιδείᾳ καὶ ἀσκήσει ἄνδρας· μηδέ ποτε ἵστασο, μηδὲ κινοῦ, μηδὲ ἅλλει κατὰ πάντα τρόπον ἄνευ ἀνάγκης.

ΒΗΣΜΑΣ.

130. Τοιαῦτα εἰποῦσα, ὀσφρανθεῖσα τοῦ παιδὸς, περιλείξασα

τὴν κεφαλὴν αὐτοῦ, μεγάλῃ ἀνίᾳ ἐμβεβυθισμένη, καὶ δακρύων τὰ ὄμματα πεπληρωμένη,

131. Θερμὸν ἀναπνέουσα, καὶ ἐκ βαθέων συνεχῶς στένουσα, κενὸν ἔβλεπε τὸν κόσμον, στερισκομένη τοῦ παιδός.

132. Ἀκίνητος δ' ἵστατο, ὥσπερ ἐμπεπηγμένη βαθείᾳ ἰλύϊ· καὶ δεινῶς θλιβομένη καὶ ἐποδυρομένη ἐπὶ τῇ στερήσει τοῦ παιδὸς, ἔλεγε πάλιν ταῦτα·

ΒΑΧΟΥΛΑ.

133. Οὐκ ἔστι στοργὴ, ὡς ὁ παῖς· οὐκ ἔστιν ἡδονὴ, ὡς ὁ παῖς· οὐκ ἔστιν ἀγάπη, ὡς ὁ παῖς· οὐκ ἔστι δόξα, ὡς ὁ παῖς.

134. Ψευδῶς λέγουσιν, ὡς τὸ σάνδανον ψυχρόν ἐστιν· ἡ γὰρ περίπτυξις τοῦ σώματος τοῦ παιδὸς, ψυχροτέρα ἐστὶ καὶ τοῦ σανδάνου.

ΒΗΣΜΑΣ.

135. Οὕτω λέγουσα τὰ ἀγαθὰ τοῦ παιδὸς, καὶ ἐνατενίζουσα εἰς αὐτὸν ἀτενῶς, ἔλεξε, θρηνοῦσα πρὸς τὴν μητέρα καὶ πρὸς τὰς φίλας δάμαλεις·

ΒΑΧΟΥΛΑ.

136. Εὔρηκέ με Λέων ἐν μέσῳ ἐρήμου, πλανηθεῖσαν ἀπὸ τῆς ἀγέλης· ἀφέθην δ' ὑπ' αὐτοῦ ὅρκοις εἰς τὸ ἰδεῖν τὸν οἰκεῖον παῖδα.

237. Ἐλθοῦσα δὴ ἐφ' ὅρκου, ὀψομένη τὴν μητέρα, καὶ ὑμᾶς, καὶ τὸν οἰκεῖον παῖδα, πάλιν πορευθήσομαι ἐκεῖσε διὰ τὴν ἀλήθειαν.

138. Σύγγνωθί μοι, ὦ μῆτερ, ἐπὶ παντὶ, ᾧ ἔπραξα, παρα-

πτώματι πάλαι ἐν παιδικῇ ἡλικίᾳ· οὗτός ἐστιν ὁ παῖς τῆς θυγατρός σου· τί ἄλλο εἴπω;

139. Καὶ ὑμεῖς, ὦ φίλαι, Βιπουλὰ, Σαμπακὴ, Δαμὰ, Βαδρὰ, Σουραββὴ, Μαλινὴ, Βαρσσαδδαρὰ, Σρηγὴ, Νανδὰ, Μαχανανδὰ, Γατασραβὴ,

140. Καὶ ὑμεῖς, ὦ φίλαι, σύγγνωτέ μοι, εἴποτέ τι ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ ἄχαρι ἐλάλησα, ἢ κακὸν ἔπραξα.

141. Ἅπασαι, αἱ ἁπάσαις ταῖς χάρισι κεκοσμημέναι, αἱ παντὸς τοῦ κόσμου μητέρες, καὶ πάνδωροι, διαφυλάττετέ ἀεὶ τὸν ἐμὸν παῖδα.

142. Ἀνατρέφετε τὸν ἐμὸν παῖδα, τὸν ὀρφανὸν, τὸν ἄθλιον, τὸν ταλαίπωρον, τὸν ἐλεεινὸν, καὶ θλιβόμενον τῇ λύπῃ τῆς μητρός.

143. Οὗτος ὁ παῖς, ὑμῶν ἐστιν, ὦ φίλαι, μάλιστα δὲ ἐν τῇ παρούσῃ περιστάσει· περιλείχετε, τρέφετε, καὶ φιλεῖτε αὐτὸν, ὡς τοὺς οἰκείους παῖδας.

144. Κωλύετε αὐτὸν, ὦ φίλαι, πορευόμενον εἰς ἐπικίνδυνον τόπον, καὶ εἰς ξένον βουκόλιον, καὶ παρορμώμενον εἰς ἀπρεπῆ ἔργα.

145. Αἵτινες ἔχουσι τὴν αὐτὴν διάθεσιν πρὸς τοὺς ἀλλοτρίους παῖδας, ἣν ἔχουσι πρὸς τοὺς οἰκείους, αὗται μακάριαί εἰσι καὶ εὐδαίμονες, καὶ τῶν τριῶν κόσμων μητέρες.

146. Ἐκεῖναι, ὡς καλοκἄγαθοι, εὐφραίνονται ἐν τῇ τῶν μακάρων χώρᾳ, αἳ τρέφουσι τοὺς ἀλλοτρίους ὀρφανοὺς παῖδας, ὡς τοὺς οἰκείους.

147. Τρέφετε οὖν τοῦτόν μου τὸν ὀρφανὸν παῖδα, ὡς οἰκεῖον, καὶ σύγγνωτέ μοι, ὡς καλοκἄγαθοι· ἐγὼ γὰρ πορευθήσομαι εἰς τὴν ἔρημον.

148. Μηδέ γε παντελῶς ἀγανακτεῖτε ἐπ' ἐμοὶ, ὦ φίλαι· παντὶ γὰρ γεννηθέντι ὁ θάνατος πρόκειται.

ΒΗΣΜΑΣ.

149. Ἀκούσασαι τοῦ λόγου τῆς Βαχουλᾶς ἥτε μήτηρ καὶ αἱ λοιπαὶ φίλαι δαμάλεις, ἐταράχθησαν, καὶ λίαν ἐλυπήθησαν, καὶ θαυμάζουσαι ἔλεξαν ὧδε·

ΜΗΤΗΡ καὶ ΦΙΛΑΙ.

150. Ὤ! μέγα θαῦμα τοῦτο, ὦ Βαχουλὰ, ὅτι σὺ πρόθυμος εἶ πορευθῆναι εἰς τὴν φοβερὰν ἔρημον πρὸς τὸν λέοντα διὰ τὴν ἀλήθειαν.

151. Πολλοὶ ὅρκοις καὶ ἐπιπλάστοις λόγοις ἀπατῶντες, ἀποφεύγουσι τὸν κίνδυνον· σὺ δὲ πῶς βούλει πάλιν πορευθῆναι εἰς τὸν κίνδυνον;

152. Μὴ πορεύου, ὦ Βαχουλά· ὁποία ἀρετὴ αὕτη, τὸ ἐγκαταλιπεῖν τὸν οἰκεῖον ὑπομάστιον παῖδα, καὶ πορευθῆναι εἰς θάνατον διὰ τὴν ἀλήθειαν;

153. Λόγος ἐστι λελεγμένος πάλαι ὑπὸ σοφῶν καὶ ἀληθοεπῶν ἀνδρῶν, ὡς οὐκ ἔστιν ἀμπλάκημα ἐξ ὅρκων, κινδυνευούσης τῆς ζωῆς.

154. Ὅτε ψεύδους λεγομένου, σωτηρία τῆς ζωῆς γίνεται, τότε τὸ μὲν ψεῦδος ἀλήθειά ἐστιν, ἡ δ' ἀλήθεια ψεῦδος· καὶ ἡ μὲν πρὸς τὰ ἔμψυχα ὠφέλεια, ἀλήθειά ἐςιν, ἡ δὲ βλάβη, ψεῦδος.

155. Οὐκ ἔστιν ἀμπλάκημα ἐξ ὅρκων, γινομένων εἰς γυναῖκας, εἰς ἐκτέλεσιν γάμων, εἰς κίνδυνον βοῶν, εἰς ἁρπαγὴν πλούτου, καὶ εἰς σωτηρίαν Βραχμᾶνος.

ΒΑΧΟΥΛΑ.

156. Ἐγὼ ψευδῆ λόγον λέγω διὰ σωτηρίαν ζωῆς ἄλλων· διὰ

σωτηρίαν ὅμως ἐμαυτῆς οὐδαμῶς ἀνέχομαι λέγειν οὐδὲ μικρόντι ψεῦδος.

157. Μόνος ὁ ἄνθρωπος γεννᾶται, μόνος ἀποθνήσκει, καὶ μόνος αὐτὸς ἀπολαμβάνει ἤτοι φαῦλα ἢ ἀγαθὰ, ἀνθ' ὧν ἔπραξε.

158. Πάντες οἱ ἅγιοι ἄνδρες λέγουσιν, ὡς οὐδὲν ἄλλο ἁμάρτημα μεῖζον καὶ χεῖρόν ἐστι τοῦ ψεύδους· διὰ τοῦτο ἐγὼ λέγω καὶ στέργω τὴν ἀλήθειαν.

159. Τὸ πᾶν τοῦτο ἐπὶ τῆς ἀληθείας ἵσταται· ὁ νόμος ἐπὶ τῆς ἀληθείας ἵσταται· ἡ θάλασσα διὰ τὴν ἀλήθειαν οὐχ ὑπερβαίνει τὰ ὅρια.

160. Ὁ Βαλὴς διὰ τὸ ἀμετάθετον τῆς ἀληθοῦς ἑαυτοῦ γνώμης ἔδωκε τῷ Βισνοῦ ὅ,τι ἤθελε, καί τοι ἐγίνωσκεν αὐτὸν ἐλθόντα, καὶ ἕτοιμον ὄντα εἰς ἀφαίρεσιν τῆς βασιλείας.

161. Ὁ Βαλὴς καταβληθεὶς ἀπάτῃ, διαμένει ἀείζωος διὰ τὴν ἀλήθειαν, καὶ ἔχει χάριτι τῆς ἀληθείας τὴν μεγάλην βασιλείαν τοῦ καταχθονίου Κόσμου, τὴν δύσκτητον καὶ πολλαῖς ἀρεταῖς ἐν πολλαῖς γενέσεσι.

162. Ὁ ὑπερύψηλος καὶ οὐρανομήκης βουνὸς ὁ Βινδέας μένει μέχρι τοῦδε κεκλιμένος διὰ τὴν ἀλήθειαν, καὶ οὐκ ἀνίσταται, οὐδ' ἀνυψοῦται, ὡς πρότερον, καί περ δυνάμενος.

163. Ὁ ᾅδης, ὁ οὐρανὸς, καὶ τὰ οὐράνια ἀγαθὰ ἐπὶ τοῦ λόγου ἵσταται[1]· ὅςις ἀναιρεῖ τὸν ἑαυτοῦ λόγον, τούτου ἅπασαι αἱ ἀρεταὶ ἀνῃρέθησαν.

164. Ἐὰν οὖν ἀνέλω τὴν ἀλήθειαν, αὐτὴ ἐμαυτὴν ἀναιρῶ, καὶ εἰς τὸν φοβερὸν ᾅδην πορεύομαι.

---

(1) Εἰ μὲν λέγει τις ἀλήθειαν δηλονότι, τυγχάνει τοῦ οὐρανοῦ, εἰδὲ ψεῦδος, τοῦ ᾅδου.

165. Λουσαμένη ἐν τῷ καθαρῷ καὶ καθαρτικῷ ὕδατι τῆς ἀληθείας καὶ τῆς ἀνοχῆς, καὶ καθαρθεῖσα ἐκ τοῦ ῥύπου τῶν ἁμαρτιῶν, τοῦ ὑψίστου βαθμοῦ τεύξομαι.

166. Ἐὰν ζυγοςατηθῇ μία χιλιὰς ἱπποθυσιῶν, καὶ ἡ ἀλήθεια, ἡ ἀλήθεια βαρυτέρα ἔσεται τῶν χιλίων ἱπποθυσιῶν.

167. Ἡ ἀλήθειά ἐστι τὸ κυρίως ἀγαθὸν, ἡ ἄκρα ἄσκησις καὶ γνῶσις τῆς Βέδας, τὸ εὐκατόρθωτον, τὸ δυσεύρετον· τὸ τοῦ κόσμου κοινὸν κόσμημα, ὁ πλοῦτος τῶν ἁπλῶν, τῶν σοφῶν, καὶ τῶν ἀγαθῶν, ἡ συστατικὴ δύναμις πασῶν τῶν φυλῶν. Καὶ ὁ αἱμοβόρος, ἐὰν ἔχῃ ἀλήθειαν, πορεύεται εἰς τὸν οὐρανόν· πῶς ἆρ᾽ ἔγωγε καταφρονήσω τῆς ἀληθείας;

ΦΙΛΑΙ.

168. Σὺ, ὦ Βαχουλὰ, σεβασμία εἶ καὶ δαίμοσι, καὶ θεοῖς, καὶ ἀνθρώποις· σὺ γὰρ διὰ τὴν μεγάλην ἀλήθειαν καταλείπεις τὴν δυσκατάλειπτον ζωήν.

169. Τί εἴπωμεν ἐνταῦθα, ὦ ἀγαθή; σὺ μόνη φέρεις τὸ φορτίον τῆς ἀρετῆς· καὶ οὐδέν ἐστιν ἐν τοῖς τρισὶ κόσμοις ἀγαθὸν, ὃ οὐκ ἔστι σόν.

170. Ἡμεῖς προβλέπομεν τὴν ἔντευξιν· σοῦ τε καὶ τοῦ σοῦ παιδὸς μετὰ ταύτην τὴν διάζευξιν· οὐδαμῶς γὰρ ἀτυχία γίνεται τοῖς ἀγαθοῖς καὶ καθαροῖς τὴν καρδίαν.

ΒΗΣΜΑΣ.

171. Τοιαῦτα μὲν δὴ εἶπον αἱ φίλαι· ἡ δὲ φιλάρετος Βαχουλὰ ἐπὶ τῇ διαζεύξει τοῦ παιδὸς τεταραγμένη, καὶ τῇ λύπῃ ἐμβεβαπτισμένη,

172. Ἰδοῦσα τὰς βουκολικὰς γυναῖκας, καὶ περιελθοῦσα πᾶν τὸ βουκόλιον, ἐν τῷ πορεύεσθαι, ἐξηρεύξατο τάδε·

ΒΑΧΟΥΛΑ.

173. « Ὦ γῆ, ὦ Θεὲ τῶν ὑδάτων, ὦ Θεὲ τοῦ πυρὸς, ὦ ἀὴρ, ὦ ἥλιε, ὦ σελήνη, ὦ θεοὶ τῶν διαστάσεων τοῦ τόπου, ὦ ἀστέρες σὺν τοῖς πλάνησιν,

174. Ἅπαντας ὑμᾶς ἱκετεύω πολλάκις προσπίπτουσα, διαφυλάττετε τὸν ἐμὸν ὀρφανὸν παῖδα τῇ οἰκείᾳ δυνάμει.

175. Παρὰ τοῖς οἰκτίρμοσι καὶ καλοκἀγάθοις οὐδείς ἐστι ξένος καὶ ἀλλότριος· ὅθεν οἰκτείροντες, διατηρεῖτε τὸν ἐμὸν ὀρφανὸν παῖδα.

176. Ὦ ὑλόβιοι ὅσιοι, ὦ ὑλαῖοι θεοὶ, ἐν ὕλῃ νεμόμενον τὸν ἐμὸν τοῦτον παῖδα διαφυλάττετε πάντες.

177. Ὦ δένδρα πάντα, καὶ φυτὰ, ἀκούσατε τῆς ταπεινῆς μου παραγγελίας· διαφυλάττετε στοργῇ, ὡς γνήσιον παῖδα τὸν ἐμὸν ὀρφανὸν καὶ ἄθλιον παῖδα, νεμόμενον ἐν δεινῷ τόπῳ τῆς ὕλης.

178. Διασώζετε οἴκτῳ νεμόμενον ἐν ταύτῃ τῇ γῇ τὸν ἐμὸν δύστηνον παῖδα, τὸν ὄντα ὀρφανὸν πατρὸς καὶ μητρὸς, καὶ λίαν δυσθυμοῦντα, καὶ θρηνοῦντα.

ΒΗΣΜΑΣ.

179. Τοιαῦτα παραγγείλασα, φιλοστοργίᾳ ἐχομένη, καιομένῃ τῷ ἐκ λύπης πυρὶ, μὴ ἐλπίζουσα ὄψεσθαι τὸν ἑαυτῆς παῖδα, μόνη βαδίζουσα, ὡς ὁ τυφλὸς ἄνευ ῥάβδου, καὶ ἐν ἑκάστῳ βήματι προσπταίουσα,

180. Ἦλθε πάλιν, ὅπου ἦν ὁ φοβερὸς ἐκεῖνος καὶ καρχαρόδους καὶ αἱμοβόρος λέων, ὃν ἰδοῦσα, ἔλεξεν ὧδε·

ΒΑΧΟΥΛΑ.

181. Ἦλθον, ὦ μεγαλόψυχε, κατὰ τὴν ὁμολογηθεῖσαν ἀλή-

θειαν· κορέσθητι νῦν τῆς ἐμῆς σαρκὸς, ὡς θέλεις, καὶ εὔφρανον τὴν οἰκείαν ψυχὴν τῷ αἵματί μου.

ΛΕΩΝ.

182. Καλῶς ἦλθες, ὦ καλοκἄγαθε, καὶ ἀληθολόγε Βαχουλά· οὐδέν που κακὸν γίνεται τοῖς τ' ἀληθῆ λέγουσιν.

183. Ἐπειδὴ πρότερον εἶπες, ὡς ἐλεύσῃ ἐπ' ἀληθείας, διὰ τοῦτό μοι ἀπορία ἐγένετο, πῶς ἄρα ἀπελθοῦσα, πάλιν ἔλθοις.

184. Διὰ πεῖραν οὖν τῆς σῆς ἀληθείας ἀφέθης ὑπ' ἐμοῦ· οὐ γὰρ ἂν ἀπῆλθες ζῶσα, ἐντυχοῦσα ἐμοί·

185. Παράδοξός μοι ἐφάνη ἡ ἀλήθεια τῶν βοῶν· τοιγαροῦν διὰ ταύτην τὴν ἀλήθειαν λελύτρωσαι ἤδη ὑπ' ἐμοῦ.

186. Οἱ Κόσμοι ἵστανται ἐπὶ τῆς ἀληθείας· ὁ νόμος ἵστατα ἐπὶ τῆς ἀληθείας· ἡ θεογνωσία καὶ ἡ ἀθανασία ἵσταται ἐπὶ τῆς ἀληθείας· τὰ πάντα ἵσταται ἐπὶ τῆς ἀληθείας.

187. Τῇ ἀληθείᾳ οἱ θεοὶ ἐφήδονται, καὶ οἱ ἀποιχόμενοι ὁμοίως· διὰ τῆς ἀληθείας οἱ ἅγιοι ἄνδρες θαυματουργοὶ γίνονται· αὐτὴ δὲ ἡ ἀλήθεια ἐν σοὶ κεῖται.

188. Εὐδαίμονές εἰσιν αἱ βόες· εὐδαίμων καὶ σὺ, ὦ ἀγαθή· εὐδαίμων δὲ καὶ ἡ γῆ καὶ ἡ χώρα ἐκείνη, ἐν ᾗ σὺ οἰκεῖς ἡ ἀληθοεπής.

189. Εὔδαιμον τὸ κλίμα ἐκεῖνο, ὦ μῆτερ, τὸ ἔχον φυτὰ, καὶ χλόην, καὶ ὕδωρ, ἔνθα σὺ νεμομένη, καὶ δρωμένη, ἁγιάζεις πάντα.

190. Εὐδαίμων ὁ Βασιλεὺς, οὗ ἐν τῇ χώρᾳ οἰκεῖς ὦ ἀγαθή· εὐδαίμονες κἀκεῖνοι καὶ μακάριοι, οἳ πίνουσι τὸ γάλα τῶν βοῶν.

ΒΗΣΜΑΣ.

191. Τοιαῦτα ὁ λέων εἰρηκὼς, καὶ τοιαύτην γνώμην ἐσχηκὼς, συσκεψάμενος, πάλιν εἴρηκε ταῦτα·

ΛΕΩΝ.

192. Τοῦτο τὸ σὸν κατόρθωμα πάντως γε διδασκαλία μοι ἐγένετο ἐκ Θεοῦ· ἄλλως γὰρ, οὐκ ἂν ἦλθες πάλιν, ἀφεθεῖσα ὑπὸ λέοντος.

193. Ἰδόντι ἀλήθειαν βοὸς σήμερον, οὐκ ἀρέσκει μοι αὕτη ἡ ζωή· ἀρετὴν οὖν ἐργάσομαι, δι' ἧς τῶν ἁμαρτημάτων ἀπαλλαγήσομαι.

194. Μυρία ζῶα ἐβρώθησαν καὶ ἀνῃρέθησαν ὑπ' ἐμοῦ· ὁποίας ἆρα στάσεως τεύξομαι ἰδὼν τοιαύτην ἀλήθειαν βοός;

195. Ἐγὼ ὁ κακοῦργος, ὁ κακότροπος, ὁ αἱμοβόρος, καὶ ζωοκτόνος, εἰς ποίαν χώραν μετὰ θάνατον πορευθήσομαι, ἐργασάμενος ἔργα τοιαῦτα καὶ τοσαῦτα δεινά;

196. Πορευθήσομαι εἰς ἁγίους τόπους, καὶ ἁγνίσω τὸ ἐμαυτὸν σῶμα· ἢ ἀναβὰς εἰς ὄρος, κατακρημνίσω ἐμαυτὸν, ἢ εἰς πῦρ ῥίψω. (ἢ ξηρανῶ τὸ ἐμαυτοῦ σῶμα, ὡς ὁ ἥλιος τὸ ὕδωρ ἐν θέρει).

197. Ὦ Βαχουλὰ, οἵα σκληραγωγία συντείνουσά ἐστιν εἰς ἐξάλειψιν τῶν ἐμῶν ἐγκλημάτων, ταύτην δίδαξόν με ἐν συντομίᾳ· οὐ γάρ ἐστι καιρὸς ἐκτάσεως.

ΒΑΧΟΥΛΑ.

198. Ἐν μὲν τῷ Σατέᾳ αἰῶνι ἐπαινεῖται ἡ ἄσκησις καὶ ἐγκράτεια· ἐν δὲ τῷ Τρετᾷ ἡ γνῶσις τῶν ὄντων καὶ θεοφροσύνη· ἐν δὲ τῷ Δβαπάρᾳ ἡ γνῶσις τῶν τῆς Βέδας,

καὶ ἡ θυσία, ἐν δὲ τῷ Καλῇ αἰῶνι ἐπαινεῖται τὸ ἔλεος καὶ ἡ εὐσπλαγχνία.

199. Παντὸς δ' εἴδους ἐλέους τοῦτο μόνον ἐστὶ τὸ κρεῖττον, ἡ διδομένη ἀφοβία καὶ σωτηρία παντὶ ἐμψύχῳ διὰ λόγου, ἔργου, καὶ διανοίας.

200. Ὅςτις δίδωσιν ἀφοβίαν πᾶσι τοῖς ἐμψύχοις, οὗτος παντὸς φόβου καὶ κινδύνου λυτρωθεὶς, τυγχάνει τοῦ ὑψίστου Θείου.

201. Οὐκ ἔστιν ἄλλο ἔργον ἀγαθὸν, οὐδ' ἄλλη χαρὰ τῆς ψυχῆς, οὐδ' ἄλλη δικαιοσύνη, οὐδ' ἄλλη ἐγκράτεια, ὡς ἡ ἀποχὴ τῆς ζωοκτονίας.

202. Οὐκ ἔστιν ἄλλη ἐπιστήμη, οὐδ' ἄλλη γνῶσις τῶν τῆς Βέδας, οὐδ' ἄλλη θεογνωσία, οὐδ' ἄλλη χαλιναγωγία τῶν παθῶν, ὡς ἡ ἀποχὴ τῆς ζωοκτονίας.

203. Καθὼς ὁ ποῦς τοῦ ἐλέφαντος ὑπερβαίνει πάντα πόδα ἄλλου ζώου, οὕτω καὶ ἡ ἀποχὴ τῆς ζωοκτονίας πᾶσαν ἄλλην ἀρετήν.

204. Ἡ σκιὰ τοῦ δένδρου τῆς θεωρίας ἀπαλλακτική ἐστι παντὸς πάθους· ἄνθος δ' ἐστὶ τούτου τοῦ δένδρου ἡ θεογνωσία, καρπὸς δὲ ἡ ἀθανασία.

205. Οἱ κατακαιόμενοι ὑπὸ τῶν παθῶν, καταφεύγοντες εἰς τὴν σκιὰν τοῦ δένδρου τῆς θεωρίας, ἀπαλλάττονται τῶν παθῶν, καὶ τυγχάνουσι τῆς ἀθανασίας.

206. Αὕτη ἐστιν ἡ ὑψηλὴ μυσταγωγία, ἡ ῥηθεῖσά σοι ὑπ' ἐμοῦ συντόμως· καὶ σὺ δὲ γινώσκεις, πεῖραν δ' ἐμοῦ λαμβάνεις· λέγω δέ σοι καὶ τοῦτο, ὅτι σὺ ἐξ ἀρᾶς φύσιν λέοντος ἔλαβες, ὡς νομίζω.

ΛΕΩΝ.

207. Οἱ θεοὶ πάλαι κατηράσαντό μου, καὶ ἐποίησάν με λέοντα· ἐκ τῆς δεινῆς ζωοκτονίας πάντων ἐπελαθόμην τῶν τῆς προτέρας γενέσεως.

208. Ἤδη δὲ ἐκ τῆς σῆς ἐντεύξεως καὶ παραινέσεως ἀνάμνησίς μοι ἐγένετο καὶ ἀπηλλάγην τῶν ἁμαρτημάτων διὰ τῆς σῆς χάριτος, ὦ χαρίεσσα.

209. Ὑπερήσθην, ὦ Βαχουλά· πορεύθητι πρὸς τὸν οἰκεῖον παῖδα· ἐκ δὲ ταύτης τῆς ἀληθείας τεύξῃ τῆς ὑψίστης δόξης.

ΒΗΣΜΑΣ.

210. Ἀναβιβάσας δ' ὁ λέων τὸν νοῦν αὐτοῦ εἰς θεωρίαν, καὶ συζευχθεὶς τῷ Θεῷ, καθαρὸς ὢν τὴν καρδίαν πάσης κηλίδος, ἐπισχὼν τὴν πνοήν, ἀφῆκε τὸ σῶμα, καὶ ἀνῆλθεν εἰς τὸν οὐρανὸν ἐπὶ θείου ὀχήματος, περιπολούμενος σίφεσι θείων νυμφῶν.

211. Ἰδοῦσα δ' αὐτὸν ἡ Βαχουλά, ἀνιόντα εἰς τὸν οὐρανὸν ἐπὶ θείου ὀχήματος μεγάλως, ἐθαύμασε, καὶ χαίρουσα ἐπανῆλθεν εἰς τὸ βουκόλιον.

212. Καὶ διηγήσατο τὰ κατὰ τὸν λέοντα, ὡς ἐγένετο, ταῖς φίλαις, τῇ μητρί, καὶ τῷ οἰκείῳ παιδί.

213. Συμμίξασα οὖν τῷ παιδὶ καὶ ταῖς φίλαις βουσί, καὶ τοῖς βουκόλοις, ἐνέμετο εὔθυμος καὶ ἀτάραχος κατὰ πᾶν τὸ ἄλσος, ὂν ἄνευ φόβου καὶ κινδύνου.

214. Ἐπιθυμήσασα δὲ ἰδεῖν τὸν Βασιλέα τοῦ θανάτου καὶ τοὺς περὶ αὐτόν, ἀνῆλθεν εἰς τὸν οὐρανὸν σὺν ἁπάσαις ταῖς φίλαις βουσὶ καὶ τοῖς βουκόλοις, καὶ τοῖς δένδροις, καὶ τοῖς φυτοῖς, καὶ πᾶσιν ὁμοῦ τοῖς λοιποῖς ἐμψύχοις χερσαίοις καὶ ἐνύδροις ἐπὶ θείων ὀχημάτων.

215. Καὶ ἐλθοῦσα εἰς τὸν πανευφρόσυνον καὶ τερπνότατον Γολόκαν, τὸν ὕψιστον πάντων τῶν ἐν οὐρανῷ τόπων, εὐφραίνεται καὶ τέρπεται ἐκεῖ μετὰ τῶν θεῶν μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

216. Ὅστις ἀναγινώσκει, ἢ ἀκούει ταύτην τὴν ῥηθεῖσαν πανθαύμαστον διήγησιν τῆς ἀληθολογίας, οὗτος πορεύεται εἰς τὸν οὐρανόν.

217. Ὅστις ἀναγινώσκει, ἢ ἀκούει μετὰ προσοχῆς τοῦτον τὸν διάλογον τῆς Βαχουλᾶς καὶ τοῦ Καμαρούπα, οὗτος τυγχάνει τῆς ὑψίστης στάσεως.

218. Ὅστις ἀνὴρ ἄγονος καὶ ἄτεκνος, ἢ γυνὴ, ἀναγινώσκει ἀεὶ ταύτην τὴν διήγησιν, οὗτοι ἀπαλλαγέντες πασῶν τῶν ἁμαρτιῶν, πολύτεκνοι, καὶ εὔτεκνοι γίνονται.

219. Ὅστις, ἐγειρόμενος περὶ τὸν ὄρθρον, ἀναγινώσκει τοῦτο καθ' ἑκάστην, ἢ ἐν ἑορτῇ, ἢ ἐν τῇ ὀγδόῃ τοῦ μηνὸς, οὗτος πορεύεται ἄνευ λόγου εἰς τὴν χώραν τῶν δικαίων.

220. Τῷ ἀναγινώσκοντι τοῦτο ἐν βουστασίῳ, αὔξησις τῶν βοῶν γίνεται· τῷ δὲ ἀναγινώσκοντι ἐν ἀρούρᾳ, πολυκαρπία καὶ εὐφορία γίνεται.

221. Τῷ δὲ ἀναγινώσκοντι ἐν οἴκῳ, αὔξησις τῶν παίδων γίνεται· τοῖς δὲ ἀναγινώσκουσιν ἐν δυσχωρίαις, εὐπετὴς ἡ διάβασις γίνεται.

222. Τοῖς ἀναγινώσκουσι τοῦτο, τὸ ἀπαίσιον ὄνειρον, καὶ τὸ δύσπεπτον ἀβλαβὲς γίνεται· ὁ ἀναγινώσκων τοῦτο, εὐεξίαν ἐμποιεῖ τοῖς κακῶς ἔχουσι παισίν.

223. Ἥτις κόρη ἀκούει τούτου, ἥρωα ἄνδρα λαμβάνει, καὶ μακρόβιος, καὶ εὔρωστος, καὶ ἔνδοξος, καὶ εὔφρων γίνεται.

224. Καταφεύγω εἰς τὸν Θεὸν, τὸν ἀΐδιον, τὸν πάνσοφον, τὸν κύριον τοῦ Κόσμου, τὸν ποιοῦντα, καὶ διατηροῦντα, καὶ ὀλλύοντα τὸ πᾶν, καὶ πολυειδεῖς μορφὰς λαμβάνοντα ἐκ τῆς οἰκείας δυνάμεως.

ΚΕΦΑΛΑΙΟΝ ΛΒʹ.

Περὶ διαφυλάξεως Βραχμᾶνος.

ΒΑΪΣΑΜΠΑΪΑΝΑΣ.

1. Προσκυνήσας ὁ Ἰνδδιστίρας κείμενον ἐπὶ κλίνης βελῶν, τὸν Βήσμαν, τὸν ἐπιστημονικώτατον, καὶ εἰδημονέστατον, καὶ θεωρητικώτατον, ἠρώτησεν αὐτὸν τοῦτο·

ΙΝΔΔΙΣΤΙΡΑΣ.

2. Εἰπέ μοι, ὦ σεβάσμιε, πολύνοε, καὶ φιλοφρονέστατε, οἷός ἐστιν ὁ μισθὸς τῆς διαφυλάξεως σοφοῦ Βραχμᾶνος;

ΒΗΣΜΑΣ.

3. Ἄκουσον τὴν δύναμιν τῆς διαφυλάξεως σοφοῦ Βραχμᾶνος, δι᾽ ἧς κόρη τις, Σουβρατὰ τοὔνομα, ἐλυτρώθη τοῦ δεσμοῦ τῶν ἔργων.
4. Ἐπὶ τούτου δ᾽ ἐπάγουσι τοῦτον τὸν παλαιὸν λόγον, τὸν διάλογον τῆς Σουβρατᾶς καὶ τοῦ μεγαλοδυνάμου Ἰάμα.
5. Ἦν τις κόρη, θυγάτηρ Βραχμᾶνος, Σουβρατὰ τὸ ὄνομα, εὐσχήμων, εὐπρεπής, εὐμελής, καὶ εὐπρόσωπος.
6. Ἧς ὁ πατὴρ ἦν πολύφρων, πασῶν τῶν ἐπιστημῶν εἰδήμων, λόγιος, καὶ σχολάζων τῇ Βέδᾳ καὶ τῇ θυσίᾳ.
7. Τούτου τοῦ Βραχμᾶνος ἡ γυνή, ἣ ἦν πολυέραστος, σώφρων, καὶ λίαν ἀγαθή, μετήλλαξε τὸν βίον.
8. Ἧς διὰ τὴν λύπην μηδαμῶς ἀγαπῶν ὁ Βραχμὰν τὴν ἐν κόσμῳ οἴκησιν, ἀνεχώρησεν εἰς τὴν ἔρημον ἐπ᾽ ἀσκήσει καὶ ἐγκρατείᾳ.
9. Ἔνθα ᾤκουν ὅσιοι, ἐσθίοντες λάχανα, καὶ ῥίζας, καὶ ὀπώρας, καὶ λίμναι ἦσαν καθαραί, καὶ δένδρα πολυειδῆ.

10. Κατ' ἐκείνην οὖν τὴν ἔρημον τὴν οἴκησιν εἶχεν ὁ Βραχμὰν μετὰ τῶν λοιπῶν ὁσίων, θεωρίᾳ χρώμενος, καὶ φροντίδα ποιούμενος τῆς ἑαυτοῦ θυγατρός.

11. Ἀνέτρεφε δ' αὐτὴν εὐσπλαγχνίᾳ φερόμενος, διότι μικρά τε ἦν τῇ ἡλικίᾳ, καὶ ὀρφανὴ μητρός.

12. Καὶ ἔτερπεν αὐτὴν παιδικοῖς ἀθύρμασι, πολυειδέσι, καὶ χαρίεσιν, ἅπερ αὐτὸς ἔπλαττεν ἐκ πηλοῦ.

13. Ἔτρεφε δ' αὐτὴν τὴν ἀγαπητὴν καὶ ἀγαθὴν θυγατέρα αὐτὸς ὁ ἀγαθὸς πατὴρ, νομίζων αὐτὴν γονὴν τῆς ἑαυτοῦ γενεᾶς.

14. Καὶ ἐπειδὴ ἦν ἡ κόρη ἀνήλιξ, καὶ ὀρφανὴ μητρὸς, διὰ τοῦτο, ὡς φιλόστοργος πατὴρ, οὐκ ἦλθεν εἰς δεύτερον γάμον.

15. Οὐδὲ μὴν μοναστὴς ἐγένετο, καί τοι ἦν ἀνέραστος τῶν τοῦ κόσμου, διὰ τὴν πρὸς τὴν ἑαυτοῦ θυγατέρα στοργήν.

16. Οὕτως οὖν φροντίζων τῆς ἑαυτοῦ ἀγαθῆς θυγατρὸς αὐτὸς ὁ ἀγαθὸς Βραχμὰν, μεταστὰς τῆς γῆς, ἀνῆλθεν εἰς τὸν οὐρανόν.

17. Ἡ δ' ἀθλία κόρη, ὀρφανὴ μείνασα καὶ πατρὸς, πεσοῦσα εἰς πέλαγος λύπης, ἐθλίβετο, καὶ ἐθρήνει ἐλεεινῶς, λέγουσα·

ΣΟΥΒΡΑΤΑ.

18. Οἴ μοι! ὁ εὔσπλαγχνος, καὶ πάντων ἀνέραστος πατήρ μου, ἀφεὶς ἐμὲ τὴν τληπαθῆ ἀνήλικα καὶ δύσελπιν, οἴχεται σήμερον!

19. Φεῦ! αὐτὸς ὁ πρὸς πάντας καὶ πρὸς ἐμὲ φιλόφρων, ἀφεὶς ἐμὲ σήμερον, ἀπῆλθεν ἐντεῦθεν εἰς τὸν οὐρανόν.

20. Ἐγὼ, λίαν οὖσα τληπαθὴς, καὶ τῇ πατρικῇ λύπῃ θλιβομένη, οὐ δύναμαι φέρειν τὸ σαρκίον τοῦτο, τὸ δύστηνον, καὶ κακόβιον.

21. Καί τοι δ' ἦν θεόφρων, καὶ μεγαλόφρων, καὶ πόῤῥω τῶν βιωτικῶν φροντίδων, ἐφρόντιζων ὅμως ἐμοῦ εἰδὼς, ὡς ὀρφανή εἰμι μητρός.

22. Τὸ πρὸς ἐμὲ αὐτοῦ φίλτρον, μόνον εὐσπλαγχνία ἦν· ἄλλως γὰρ, τίς ἐγὼ παρ' αὐτῷ; ἢ τί ἄλλο τῶν τοῦ κόσμου;

23. Οὐδαμῶς ἔγωγε ζήσω, χωρισθεῖσα τοῦ πατρὸς, ὑφ' οὗ καὶ ηὐξήθην, καὶ ἀνετράφην ἐξ ἁπαλῶν ὀνύχων.

24. Πεσοῦμαι εἰς ποταμὸν, ἢ εἰς πῦρ ἐξημμένον· ἢ κρημνίσω ἐμαυτὴν ἀπ' ὄρους, ἔρημος οὖσα πατρὸς, καὶ ἀπροστάτευτος.

ΒΗΣΜΑΣ.

25. Οὕτω μὲν οὖν θρηνολογούσης τῆς ὀρφανῆς καὶ κατωδύνου κόρης, παρηγορουμένης τε ὑπὸ τῶν ὁσίων σὺν ταῖς γυναιξὶν αὐτῶν,

26. Καὶ ἐν ἀγκάλαις ἐχομένης ὑπὸ τῶν ὁμηλίκων θυγατέρων αὐτῶν, αἳ συνέκλαιον, καὶ συνελυποῦντο,

27. Παραστὰς ὁ οἰκτίρμων καὶ πρὸς πάντας φιλόφρων Ἰάμας ἐν μορφῇ γέροντος Βραχμᾶνος, ἔλεξε ταῦτα·

ΙΑΜΑΣ.

28. Ἅλις τοῦ θρήνου καὶ τοῦ ὀδυρμοῦ, ὦ εὐόφθαλμε κόρη. ὁ γὰρ σὸς πατὴρ οὐκ ἐπανελεύσεται· ὅθεν οὐκ ἄξιόν ἐστι θρηνεῖν.

29. Ὑπὸ σοῦ, ὦ ἀγαθὴ, ἐν τῇ προτέρᾳ γενέσει τοιαύτη πρᾶξις ἐπράχθη, ἀνθ' ἧς χωρισμός σοι ἐγένετο τοῦ πατρὸς ἐν ἐρήμῳ.

30. Ὁ σὸς γέρων πατὴρ, ὁ πολυεύσπλαγχνος, καὶ πολύφημος, εἶχε γνώμην, μετὰ τὸ ἰδεῖν σε ὕπανδρον, ἀποστῆ-

31. ναι τῶν βιωτικῶν φροντίδων, καὶ μοινάσαι, καὶ τυχεῖν τοῦ ὑψίστου Θείου.

32. Ἀλλ' ἐξ αἰτίας τοῦ θανάτου ἀπῆλθεν ἐκ τῆς γῆς εἰς τὸν οὐρανὸν, ἔχων σε ἐν τῷ ἑαυτοῦ νοΐ αὐτὸς ὁ οἰκτίρμων καὶ ἱλαρὸς τὴν ψυχήν.

33. Μὴ τυχὼν, οὖν, οὗ ἐπεθύμει, βιασθεὶς ἐκ τοῦ πεπρωμένου, ἐγκαταλιπών σε, ᾤχετο, ὅποι αὐτῷ εἵμαρτο· ἰδὲ τὴν δύναμιν τῆς εἱμαρμένης!

34. Ὁ θάνατος ὑπὸ τὴν ἑαυτοῦ ἐξουσίαν ποιεῖται τὸν ἄνθρωπον, ἐν ᾧ ταῦτα διανοεῖται· « Τοῦτο μὲν πέπρακταί μοι· τοῦτο δὲ πρακτέον· ἐκεῖνο δὲ ἡμιταλές ἐστιν ἔτι.»

35. Ἄφες τοιγαροῦν τὴν λύπην, καὶ ἄκουσον, ὁποῖόν τι ἔπραξας ἐν τῇ προτέρᾳ γενέσει, δι' ὃ ἐν τῇ νῦν ὀρφανία σοι ἐγένετο μητρὸς καὶ πατρός.

36. Πάλαι σὺ πόρνη ἐτύγχανες, Σουνδαρὴ τοὔνομα, πάγκαλος, καὶ λίαν ἐξαίρετος εἰς τὸ χορεύειν, εἰς τὸ ᾄδειν, εἰς τὸ αὐλίζειν, καὶ κιθαρίζειν.

37. Ἐτύγχανες δὲ ἡ ὑπερτάτη πασῶν τῶν ἑταιρῶν τῷ κάλλει, τοῖς ἀμφίοις, τοῖς κοσμήμασι, καὶ ταῖς λοιπαῖς θελκτικαῖς χάρισι, καὶ ὥσπερ ἄλλη θεὰ, πεσοῦσα ἀπὸ τοῦ οὐρανοῦ ἐξ ἀρᾶς.

38. Ἰδὼν δέ σε τοιαύτην εὐπρόσωπον, εὐείμονα, καὶ εὖ κεκοσμημένην Βραχμάν τις, νέος, εὐειδὴς καὶ πλούσιος, ἐτρώθη εὐθέως τῷ ἔρωτι.

39. Αἰσθομένη δὲ σὺ ἐκεῖνον τὸν ὡραῖον Βραχμᾶνα, ἐρωτόληπτον γεγονότα, ἔπεμψας μαστρωπούς,

40. Αἳ δελεάσασαι αὐτὸν, ἤγαγον εἰς τὸν σὸν οἶκον ταχέως· ᾧ καὶ συνετρύφας ἐν τέσσαρσιν ἔτεσιν.

41. Οὕτως οὖν ἀγαγοῦσα οἴκαδε τὸν Βραχμᾶνα, καὶ συνοῦσα αὐτῷ φιλότητι, ἐσύλησας αὐτοῦ καὶ τὸν πλοῦτον καὶ πᾶν ὅ,τι εἶδος ἀρετῆς εἶχε.

42. Τελευταῖον δὲ αὐτὸς ὁ μωρὸς καὶ φιλήδονος καὶ κακόφρων Βραχμὰν ἐφονεύθη ἐν τῷ οἴκῳ σου ὑπό τινος ἀντεραστοῦ ἐκ τῆς ἐσχάτης φυλῆς.

43. Ἀφεὶς δὲ χήραν γυναῖκα ἀκμαίαν, δωδεκαετῆ καὶ ἀγαθὴν, ἐπορεύθη εἰς τὸν φοβερὸν ᾅδην, ὀνειδιζόμενος διὰ τὴν μετὰ τῶν ρυτιδανῶν διατριβήν.

44. Ὁ μὲν οὖν πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ, στερηθέντες τοῦ ἑαυτῶν υἱοῦ, ἡ δὲ σώφρων γυνὴ τοῦ ἑαυτῆς ἀνδρός,

45. Λυπούμενοι ἐκ ψυχῆς, καὶ νομίζοντές σε αἰτίαν τῆς πλάνης καὶ τοῦ θανάτου αὐτοῦ, κατηράσαντό σου μετὰ μεγάλου θυμοῦ, λέγοντες·

ΜΗΤΗΡ.

46. Ἐπειδὴ αὕτη ἡ κακότροπος βοτάναις θελκτικαῖς ὑπὸ τὴν οἰκείαν ἐξουσίαν ἐποίησε τὸν ἐμὸν υἱὸν, καὶ ἀπε-
47. πλάνησε, καὶ ἀπεχώρισεν ἡμῶν, ἔστω ἐν τῇ παλιγγενεσίᾳ ὀρφανὴ μητρός.

ΠΑΤΗΡ.

48. Ὅταν ἔχῃ παιδικὴν ἡλικίαν κατὰ τὴν μέλλουσαν γένεσιν, ἔστω ὀρφανὴ πατρὸς ἐν ξένῃ γῇ οὖσα, τεθλιμμένη λίαν, καὶ ὠνειδισμένη.

ΓΥΝΗ.

49. Αὕτη ἡ κακίστη ἔστω ἄγαμος, καὶ ὀρφανὴ ἐν παιδικῇ τῇ ἡλικίᾳ, καὶ κατώδυνος, καὶ πάντῃ ἄπορος.

ΙΑΜΑΣ.

50. Τοιαῦτα μετὰ θυμοῦ μεγάλου ὁ πατὴρ ἡ μήτηρ καὶ ἡ

σώφρων γυνὴ τοῦ ἀναιρεθέντος Βραχμᾶνος εἶπον κατὰ σοῦ τῆς κακεργέτιδος.

51. Ἐξ ἐκείνου οὖν τοῦ προπεπραγμένου ἔργου τοιαῦτα νῦν πάθη πάσχεις, ὦ ἀγαθὴ, ὡραία καὶ σεμνὴ κόρη.

ΣΟΥΒΡΑΤΑ.

52. Εἶπές μοι σαφῶς, ὦ θεσπέσιε, ἕκαστα τῶν ὧν ἔπραξα ἐν τῇ προτέρᾳ γενέσει· νῦν δ' εἰπέ μοι καὶ τοῦτο, ἐρωτώσῃ·

53. Πῶς ἐγὼ, οὕτω κακοποιὰ οὖσα πρώην καὶ κακεντρεχὴς, ἐγεννήθην ἔπειτα ἐκ Βραχμᾶνος θεολόγου;

54. Δέκα κρεωπώλαις ἰσοστάσιός ἐστιν, εἷς ἐλαιοπώλης· δέκα δὲ ἐλαιοπώλαις εἷς οἰνοπώλης· δέκα δ' οἰνοπώλαις μία πόρνη, δέκα δὲ πόρναις ἰσοστάσιός ἐστιν εἷς βασιλεύς.

55. Οὕτως λέγουσιν οἱ ἅγιοι καὶ τῶν τοῦ νόμου εἰδήμονες Βραχμᾶνες· πῶς οὖν ἐγὼ γέννημα τοιούτου μεγάλου Βραχμᾶνος;

ΙΑΜΑΣ.

56. Ἐγὼ λέξω σοι τὴν αἰτίαν, ὦ χαρίεσσα, δι' ἣν ἐγεννήθης ἐν τῇ γενεᾷ τῶν Βραχμάνων, καίπερ οὖσα κακοπράγμων.

57. Ἄκουσόν μου λέγοντος τὴν αἰτίαν, ὦ εὐφρονεστάτη κόρη, δι' ἣν ἐγεννήθης ἐν οἴκω μεγάλου Βραχμᾶνος.

58. Ἦν Βραχμάντις, θεόφρων, φιλαλήθης, ἄκακος, ὅμοιος πρὸς πάντας, καὶ καθαρὸς ἁμαρτιῶν ἐκ τῆς θείας γνώσεως.

59. Ἦν ἐγκρατὴς τῶν αἰσθήσεων, θεωρῶν ἐξ ἴσου πάντας, καὶ Βραχμᾶνα σοφὸν καὶ θεόφρονα, καὶ χυδαῖον ἀσύνετον, καὶ πᾶν ἄλλο ἔμψυχον (ἄλογον ζῶον) καὶ ἄψυχον.

60. Καὶ ἐφρόνει, ὡς εἷς Θεὸς ἄχραντός ἐστιν ἐν ἅπασι τοῖς οὖσι, δι' οὗ τὸ πᾶν τοῦτο συνέχεται.

61. Ἦν δὲ σχολάζων τῷ Θεῷ, καὶ φρονῶν, ὡς τοῦτο τὸ πᾶν

φύσις Θεοῦ ἐστίν· ὅστις γὰρ φρονεῖ τὸ πᾶν τοῦτο θεῖον, οὗτος σχολάζει τῷ Θεῷ.

62. Ἦν εὔφρων, στερεόφρων, θεόφρων, μηδαμῶς ἀλλοιούμενος ἐν εὐτυχήμασι καὶ ἀτυχήμασι, μηδὲ κλίσιν ἔχων εἰς τὰ τοῦ Κόσμου.

63. Ἦν ἀνέραστος τῶν τοῦ Κόσμου, ἐννοῶν τὰ προερχόμενα δεινὰ ἐκ τῶν κοσμικῶν τρυφῶν, καὶ τὸ πρόσκαιρον αὐτῶν.

64. Ἦν καθυποτάξας τὸ θυμικὸν καὶ ἐπιθυμητικὸν μέρος τῆς ψυχῆς, ἀνεχόμενος θάλπους καὶ ψύχους, καὶ φιλόφρων ὢν πρὸς πάντας.

65. Ἦν πόῤῥῳ φόβου καὶ ὑπερηφανίας, ἀποφεύγων τὴν τῶν ἀνθρώπων ὁμιλίαν, καὶ κατέχων τὴν ἐκπνοὴν καὶ εἰσπνοὴν, ὡς νενόμισται.

66. Ὑποκλείων δὲ τοὺς ὀφθαλμοὺς αὐτοῦ, εἶχεν ἀκίνητον τὴν ὅρασιν εἰς τὰ ἔξω, θεωρῶν τὸν ἀναμάρτητον Θεὸν καὶ μέγαν ἡγεμόνα παντὸς τοῦ Κόσμου.

67. Ὑποκρινόμενος δ' ὡς παράφρων, καί περ μὴ ὢν παράφρων, περιήρχετο ταύτην τὴν γῆν, μένων ἐν ἑκάστῃ πόλει μίαν μόνην νύκτα.

68. Ἐλθὼν δέποτε εἰς τὴν ἡδεῖαν πόλιν, ἐν ᾗ ᾤκεις ἐν τῇ προτέρᾳ γενέσει, ἐγένετο πρὸς τῇ οἰκίᾳ σου, καὶ κατέλυσε πρὸ τῆς θύρας ἐπὶ βάθρου κατὰ τὴν νύκτα.

69. Ἦν δ' αὐτὸς ὁ μεγαλόψυχος, ῥακενδύτης, ἰσχνὸς καὶ ῥυπαρὸς τὸ σῶμα, καὶ ἀγνώριστος, καθὼς τὸ ἄκαπνον πῦρ, καὶ ὑποκεκρυμμένον σποδῷ.

70. Μέσης δ' οὔσης τῆς νυκτὸς, φύλακες τῆς πόλεως πολλοὶ, ἄνδρες θωρακοφόροι, μαχαιροφόροι, καὶ τοξοφόροι,

71. Φοβερὸν ἦχον ποιοῦντες διὰ τῆς σάλπιγγος, περιπολοῦντες, ἐγένοντο πρὸς τῇ θύρᾳ τοῦ οἴκου σου.

71. Οἳ, ὡς εἶδον αὐτὸν τὸν ἀθῶον Βραχμᾶνα, κοιμώμενον, περιεκύκλωσαν αὐτὸν, νομίσαντες, ὡς κλέπτης ἐστί.

72. Καὶ ἐγείραντες, ἠρώτησαν αὐτόν· « Σὺ τίς εἶ, ὁ ξένος τὴν μορφὴν καὶ τὸ σχῆμα ; ἢ τίνος ; ἢ πόθεν ; »

73. Ὁ μὲν οὖν Βραχμὰν εἶπε πᾶσαν τὴν ἀλήθειαν· οἱ δὲ νυκτοφύλακες οὐκ ἐπίστευσαν, νομίσαντες, ὡς ψευδῆ λέγει.

74. Καὶ ἔδησαν σχοινίῳ αὐτὸν τὸν μεγαλόφρονα αὐτοὶ οἱ κάκιστοι· ὁ δὲ οὔτε ἐθυμώθη, οὔτε ἐφοβήθη, εἰδὼς, ὅτι ἀπολαμβάνει κατὰ τὰ προπεπραγμένα ἔργα.

75. Ἀκούσασα δὲ σὺ κατὰ τύχην τῶν ἀληθινῶν καὶ ὀρθῶν λόγων αὐτοῦ τοῦ θεόφρονος, καὶ γνοῦσα τὴν ἀθωότητα καὶ ὁσιότητα αὐτοῦ,

76. Λαβοῦσα λύχνον, ἐξῆλθες τῆς οἰκίας εὐθέως μετὰ πάντων τῶν θεραπόντων, καὶ ἔκραξας· « Στῆτε, στῆτε. »

77. Ἰδοῦσα δὲ τὸν Βραχμᾶνα, εἶπες τοῖς νυκτοφύλαξιν· « Ἄφετε τοῦτον τὸν δίκαιον καὶ ὅσιον ἄνθρωπον· εἰ δέ τινα κλοπὴν ἐποίησεν, ἐγὼ δίδωμι λόγον (ὑπέχω τὴν δίκην) ».

78. Καὶ εἰποῦσα τοῖς νυκτοφύλαξιν, ἵνα πορευθείησαν, λύσασα τῶν δεσμῶν τὸν Βραχμᾶνα, εἰσέδυς εἰς τὸν οἶκον μετ᾽ αὐτοῦ.

79. Ὑποδεξαμένη δ᾽ εὐλαβῶς, καὶ θεραπεύσασα αὐτὸν τὸν ἐγκρατῆ καὶ ὅσιον ἄνδρα, ἔδωκας αὐτῷ κλίνην καλὴν καὶ καθαρὰν ἐκ καθαρᾶς καρδίας.

80. Τιμήσασα οὖν, ὡς ἔδει, αὐτὸν τὸν ἀνέραστον τῶν κοσμικῶν τρυφῶν, εἶπες πάλιν ἐκ καρδίας παρακαλοῦσα ἁρμοζόντως τῷ καιρῷ καὶ τῇ χρείᾳ·

81. « Εἰ ἔστι σοι ἔφεσις βρωμάτων καὶ ἱματίων, εἰπὲ μετὰ θάῤῥους· ἰσχνὸς γὰρ ὑπάρχεις, καὶ πιναρὰ φορέματα ἔχεις.

82. »Μεῖνον δ' ἐνταῦθά τινας ἡμέρας, καὶ ἀνάπαυσον τὸ σεαυτοῦ σῶμα, κἄπειτα πορεύθητι, ὅποι θέλεις.»

83. Ἀκούσας δ' αὐτὸς ὁ Βραχμὰν, ὁ ἀνέραστος τῶν τοῦ κόσμου, ἅπερ εἴρηκας σὺ ἡ καθαρὰ τὴν καρδίαν, εἶπε ταῦτα·

ΒΡΑΧΜΑΝ.

84. Οὔτε πεινῶν, οὔτε διψῶν εἰμι, οὔτ' ἄλλου τινος δέομαι· ἐλήλυθα δ' ἐνθάδε ἐκ τύχης· ἄπελθε οὖν ἐν εἰρήνῃ.

85. Ἀναπαύου ἐπὶ κλίνης μετὰ τοῦ οἰκείου ἀνδρός· οὐδέν σοι πρακτέον ὑπὲρ ἐμοῦ· τί γὰρ οὐκ ἔπραξας, ὦ εὔσπλαγχνε, ἡ ἔσωσάς με σήμερον;

86. Τίς ὅμοιός σοι κρίνεται εἰς σωτηρίαν ξένης ψυχῆς; Καθὼς τὰ εὐώδη σάνδανα δένδρα πεφύκασιν εἰς χρῆσιν ἄλλων, οὕτω καὶ οἱ ἀγαθοὶ ἄνθρωποι εἰς εὐεργεσίαν καὶ ὠφέλειαν ἄλλων.

87. Καθὼς ὁ ἄνθρωπος φροντίζει τῆς σωτηρίας, ἑαυτοῦ, οὕτω πρόθυμος ἔστω εἰς σωτηρίαν καὶ τῶν ἀλόγων ζώων· καὶ ὁ ξένος ἄρα διαφυλαττέσθω ὑπὸ τοῦ ἐφιεμένου τοῦ οἰκείου ἀγαθοῦ.

88. Ὅστις ἔχει πλοῦτον εἰς τὸ εὐεργετεῖν ἄλλους ἀνθρώπους, οὗτός ἐστι πλούσιος, οὗτος εὔσπλαγχνος, οὗτός ἐστι τὸ ἔρεισμα καὶ τὸ ὄφελος τῶν ἀνθρώπων, καθὼς τὸ καρποφόρον δένδρον, τὸ ὃν παρὰ τῇ λεωφόρῳ.

89. Εἴ τις, οἶκον ἔχων πλήρη πολλῶν ἀγαθῶν, ἐλθόντων εἰς κτῆσιν ἐκ τῶν προπεπραγμένων ἀγαθῶν ἔργων, οὐδεμίαν δεξίωσιν καὶ φιλοφροσύνην δεικνύει πρὸς ξένον, πῶς οὗτος εἰκῇ ζῇ, ὀνειδιζόμενος ὑπὸ τοῦ Κόσμου;

90. Ὅς τις πρόθυμός εἰστιν εἰς εὐεργεσίαν, οὗτος, εἰ καὶ πτωχὸς, πλούσιος κρίνεται, καὶ ἀγαθὸς, καὶ κοινωφελὴς, καθὼς ὠφέλιμόν ἐστιν, εἰ καὶ ξηρὸν, τὸ παρὰ τῇ ὁδῷ

δένδρον· ξυλεύονται γὰρ ἐξ αὐτοῦ οἱ ἄνθρωποι· τί δ' ὄφελος ἐκ δένδρου καρποφόρου ἐν ἐρήμῳ ἀβάτῳ;

91. Οἵ τινες αὐξάνειν θέλοντες τὰ ἑαυτῶν ἀγαθὰ, ἐργάζονται ἀεὶ τὴν πολύολβον (ὀλβοδότειραν) ἀρετήν· τούτοις τοῖς φιλαρέτοις καὶ φίλοι γίνονται, καὶ ὁ πλοῦτος τούτων αὔξησιν λαμβάνει.

92. Οὐκ ἐκ τρυφῆς (χρήσεως) φθίνει ὁ πλοῦτος τῶν ἀνθρώπων· ὅτε δὲ τὰ ἀγαθὰ αὐτῶν ἔργα φθίνει, τότε καὶ ὁ πλοῦτος αὐτῶν ἐξ ἅπαντος φθίνει.

93. Οἱ ὄντες λίαν φιλάργυροι, μικρόφρονές τε καὶ μικροπρεπεῖς, οὐκ ἐφίενται τρυφᾶν τοῦ ἑαυτῶν πλούτου· ἄλλοι ὅμως ἔμπειροι καὶ πανοῦργοι ἁρπάζουσι τὸν πλοῦτον αὐτῶν, καθὼς τὰ δίκτυα τοὺς ἰχθύας.

94. Γνωστόν ἐστιν, ὡς ἅπαντες καὶ ἀγαθοὶ καὶ κακοὶ ἔρχονται πρὸς τὸν Ἰάμαν εἰς ἀνταμοιβὴν ἀνθ' ὧν ἔπραξαν· ἀλλὰ καὶ οὕτως, οὐκ ἐργάζονται τὴν ἀρετήν. Βαβαί! τί οὐ ποιοῦσιν οἱ ἀναίσθητοι καὶ ἀνόητοι;

95. Ὅς τις νομίζει ἀΐδια ταῦτα· τὸν πλοῦτον, τὸ σῶμα, τὴν εὐρωστίαν τοῦ σώματος, τὴν ζωὴν, τοὺς οἰκείους, καὶ γνωστοὺς, τούτου οὐδείς ἐστιν ἄλλος μᾶλλον μωρόφρων καὶ ἀνόητος.

96. Ὅστις δὲ φρονεῖ, ὡς ταῦτα πάντα, τὰ κινητὰ καὶ ἀκίνητα, πρόσκαιρά ἐστι, καὶ φθαρτὰ, καθὸ γεννητὰ, οὗτος ὀρθῶς φρονεῖ.

97. Ἀλλὰ τί πολυλογῶ; οἵτινες διδόασι τὸν πλοῦτον ἐπ' ἀρετῇ, οὗτοί εἰσι σοφοί· ἡ γὰρ ἀρετὴ τοῖς μὲν ἐφιεμένοις καρποῦ δίδωσι τὸν ἐφετὸν καρπόν· τοῖς δὲ μὴ ἐφιεμένοις καρποῦ δίδωσι τὴν ἀθανασίαν [1].

---

(1) Οἱ γὰρ ἀπαθεῖς οὔτε φίλους ἔχουσιν, οὔτε ἐχθροὺς, καὶ οὔτε ἐπαινοῦσιν, οὔτε κατηγοροῦσιν· ἀδιάφοροι γάρ εἰσι πρὸς πάντας.

98. Ταῦτα δ' ἐῤῥέθη σοι ὑπ' ἐμοῦ, εἰ καὶ ἀνοίκειον, ἐπειδὴ οὐκ ἀμνήμων εἰμὶ τῆς πρὸς ἐμέ σου χάριτος· καὶ οἱ ἀνεπιδεεῖς γὰρ καὶ ἐγκρατεῖς φιλόφρονες γίνονται πρὸς τοὺς ἀγαθούς.

99. Τοῦτο τὸ σῶμα, ὦ ἀγαθὴ, ῥυπαρόν ἐστι φύσει καὶ πολυπαθές· ὅθεν ὁ ποιῶν περιποίησιν καὶ θεραπείαν αὐτοῦ ματαίως πονεῖ, ὡς μωρόφρων.

100. Καὶ τοῖς φιλαρέτοις καὶ ἀγαθοεργοῖς καὶ θεόφροσι θλίψεις καὶ πάθη γίνονται· ἀλλὰ καὶ οὕτως, ὁ ἀνόητος ἄνθρωπος οὐκ ἐφίεται ἀφεῖναι τὸ πρὸς τὸ σῶμα φίλτρον.

101. Ὅςτις γινώσκει, ὡς τὸ σῶμα αἴτιόν ἐστι τούτου τοῦ Κόσμου, καὶ ἀπολαυστικὸν τῶν τοῦ Κόσμου, καὶ μάταιον, καὶ ὑποκείμενον γεννήσει καὶ θανάτῳ καὶ πάθεσι πολλοῖς, οὗτος καταφρονεῖ αὐτοῦ, καὶ ἀνέραστος γίνεται τῶν τοῦ Κόσμου.

102. Ἐπειδὴ τὸ σῶμα ὄργανόν ἐστι τῆς θεωρίας καὶ θεοφροσύνης, διὰ τοῦτο ὁ ἄνθρωπος ἐσθιέτω ὀλίγον, ὥστε ζῆν· ὀλιγοσιτίᾳ δὲ χρώμενος, θεωρίαν ποιείτω καὶ θεοφροσύνην· τοῦ γὰρ θεόφρονος καὶ θεωρητικοῦ τὸ τῆς σαρκὸς φρόνημα ὄλλυται.

103. Γνοὺς δ' ὁ θεόφρων, ὡς τὸ σῶμα ὄργανόν ἐστι μόνον τῆς θεωρίας, καὶ θεοφροσύνης, κρινεῖ, τί ἐστι τὸ ὂν, καὶ τί τὸ μὴ ὄν[1]· τὸ γὰρ φρόνημα τῆς σαρκὸς διασκεδάζεται ἐκ τῆς θείας γνώσεως, καθὼς τὸ σκότος ἐκ τῆς ἡλιακῆς λάμψεως.

104. Πῶς γὰρ ἂν σταίη τὸ σκότος ἐν λάμποντι ἡλίῳ; Σκέψαι, ὦ εὐόφθαλμε, τὴν ἀδράνειαν τοῦ σκότους ἐν τῷ φωτὶ, καὶ τῆς ἀγνοίας ἐν τῇ γνώσει!

---

(1) Δηλονότι τὰ μὲν θεῖα ἀληθῆ ἐστι, τὰ δὲ τοῦ σώματος ψευδῆ.

105. Ὅταν ἡ γνῶσις τοῦ θεόφρονος διασκεδάζῃ τὴν ἄγνοιαν, τότε εὐθεῖαν καὶ ἀγαθὴν ὁδὸν ὁδεύει, καὶ ὑπὸ πάντων ἐπαινεῖται· τοῦ γὰρ ὁδεύοντος ὁδὸν ἀγαθὴν πᾶσα ἐπιθυμία τῶν τοῦ Κόσμου οἴχεται.

106. Λυτρωθεὶς δ' ὁ ἀγαθὸς ἄνθρωπος τῆς φιληδονίας, πῶς ἂν στραφείη πρὸς αὐτὴν, καὶ κακὸς γένοιτο; πῶς δηλονότι ἡ φιληδονία καὶ φιλοϋλία ἐγγένοιτ' ἂν τῇ διανοίᾳ τοῦ ἀνθρώπου, ὃς ἀπηλλάγη τῶν τοῦ Κόσμου; τοῦ δ' ἀπαλλαγέντος τῶν τοῦ Κόσμου παθῶν οὐκ ἔστι μακρὰν ἡ λύτρωσις, ἡ πρόξενος τῆς ἄκρας ἡδονῆς.

107. Ὅταν γὰρ ὁ ἄνθρωπος, τυπτόμενος ὑπὸ τῆς συνειδήσεως, ἐνασχολῆται ἐπιμελῶς τῇ θεοφροσύνῃ διὰ τῆς ἐγκρατείας καὶ χαλιναγωγίας τῶν παθῶν, τότε τυγχάνει τῆς τελειότητος ἀναμφιβόλως.

108. Ἐπειδὴ δὲ ἡ διάνοια ἄλλα μὲν ἀληθῆ νομίζει, ἄλλα δὲ ψευδῆ, καὶ ἄλλοτε μὲν ἀμφιβολίαν ἔχει, ἄλλοτε δ' ἄγνοιαν, ἄλλοτε δ' ἐνθύμησιν τῶν προγεγενημένων, ἐξαχθήτω ὁ ἄνθρωπος ἐκ τοιαύτης πολυσχεδοῦς διανοίας, ὡς ἀπὸ δεινῆς εἱρκτῆς, διὰ τῆς θεωρίας, καὶ εἰσαχθήτω εἰς Θεὸν, καὶ ἔστω ἀτάραχος·

109. Ἀτάραχος γὰρ ὢν ὁ νοῦς, μένει ἀεὶ ἐν τῷ Θεῷ. Καλῶς δὴ σκεψαμένη, ὦ ἀγαθὴ, θὲς ἐν τῇ οἰκείᾳ καρδίᾳ, ἃ λέγω σοι.

110. Θεωρητικὸς δὲ γίνεται ὁ ἄνθρωπος, μονήρης ὢν, καὶ ἀνέραστος τῶν τοῦ Κόσμου, καὶ μεγάλῃ χρώμενος ἀσκήσει· οὕτω γὰρ κατὰ μικρὸν (κατὰ βαθμὸν) ὁ ἄνθρωπος ἄγει τὸν νοῦν αὐτοῦ εἰς τὸν Θεὸν, καὶ ἔχει αὐτὸν ἀπερίσπαστον.

111. Ὅταν δ' ὁ ἄνθρωπος, ἐγκαθείρξας τὸν νοῦν αὐτοῦ ἐν τῷ Θεῷ, γινώσκῃ ἑαυτὸν, ὡς Θεός ἐστι, τότε τυγχά-

νει τῆς ἀθανασίας, μηδεμίαν ἔχων προσπάθειαν εἰς τὰ τοῦ Κόσμου.

ΙΑΜΑΣ.

112. Ἀκούσασα δὲ σὺ, ὦ ἀγαθὴ, ταῦτα τὰ ῥηθέντα ὑπὸ τοῦ θεόφρονες Βραχμᾶνος, ἔλεξας πρὸς αὐτόν·

113. « Μεγάλην χάριν ἐποίησας πρὸς ἐμὲ τὴν εὐτελῆ, ὦ θεσπέσιε· οἱ ὄντες ὅμως, οἷος εἶ σὺ, θεόφρονες, καὶ φροντίζοντες τῆς πρὸς τοὺς ἄλλους ὠφελείας, λέγουσι μέθοδον τῆς ἀθανασίας, ἀκατανόητον εὐτελεῖ ἀνθρώπῳ καὶ δυσανάσχετον.

114. »Πῶς ἐγὼ ἡ ῥυπαρὰ, καὶ ἀκάθαρτος, ἡ κακὰ πράττουσα, καὶ κακοῖς ἀνθρώποις συνδιατρίβουσα, καὶ τὰ ἀλλότρια ἁρπάζουσα, διαπλεύσαιμι ἂν τὸ πέλαγος τούτου τοῦ Κόσμου ;

115. » Ἱλάσθητι ἐμοὶ τῇ εὐτελεῖ· οἱ γὰρ ὄντες, οἷος εἶ σὺ, ἕτοιμοί εἰσι παντὶ τρόπῳ εἰς ὄφελος πάντων τῶν ἀνθρώπων. » Ἀκούσας δ' ἐκεῖνος ὁ εὔσπλαγχνος ἀσκητὴς, εἶπε πάλιν πρὸς σέ·

116. «Ὅ,τι πρότερον χαριζόμενός σοι εἴρηκα περὶ τῆς ἀθανασίας, φιλοσοφικῶς ἐῤῥέθη· νῦν δ' ἄκουσον μετὰ προθυμίας καὶ εὐλαβείας, ἅπερ ἐφετά σοι λέξω παχυμερῶς.

117. »Οἱ ἔχοντες πίστιν εἰς τὸν πνευματικὸν πατέρα, καὶ προσέχοντες τοῖς λόγοις αὐτοῦ, καὶ ὄντες ἀφιλότιμοι, καὶ ἀνυπόκριτοι, διαπλέουσι τὸ πέλαγος τούτου τοῦ κόσμου.

118. »Οἱ ὄντες εὔσπλαγχνοι περὶ τὰ ἔμψυχα, καὶ ἀνεκτικοὶ, καὶ ἀδιάφοροι ἔντε εὐτυχίαις καὶ δυστυχίαις, καὶ εὐθεῖς τὴν γνώμην, καὶ ἀνέραστοι τῶν ἡδονῶν, διαπλέουσι τὸ πέλαγος τούτου τοῦ Κόσμου.

119. »Οἱ ὄντες στερεοὶ τὴν γνώμην, καὶ καθαροὶ, καὶ ἐγκρα-

τεῖς, καὶ φιλοδιδάσκαλοι, καὶ φιλήσυχοι, καὶ ἀνέραστοι τῆς περὶ τῶν τοῦ Κόσμου λογοτριβῆς, διαπλέουσι τὸ πέλαγος τούτου τοῦ Κόσμου.

120. »Οἱ κρατοῦντες ἀεὶ τῶν παθῶν, καὶ μὴ προσφυόμενοι τῇ γυναικὶ καὶ τοῖς τέκνοις, καὶ οἰηματίαι μὴ ὄντες, διαπλέουσι τὸ πέλαγος τούτου τοῦ Κόσμου.

121. »Οἵτινες φρονοῦσιν, ὅτι πᾶν γεννητὸν, καὶ φθαρτὸν, καὶ ὅτι πάθη εἰσὶν ἐν τῷ Κόσμῳ, καὶ ὅτι ἄστατον τὸ σῶμα, καὶ πάλιν γέννησις αὐτοῦ, οὗτοι διαπλέουσι τὸ πέλαγος τούτου τοῦ Κόσμου.

122. »Οἵτινες ἀεὶ φρονοῦσιν, ὅτι θλίψις γίνεται τῷ σώματι, συλληφθέντι ἐν γαστρὶ, καὶ μετὰ τὴν γέννησιν αὖθις, καὶ ἐν τῇ παιδικῇ, καὶ νεανικῇ ἡλικίᾳ, καὶ πάλιν ἐν τῇ γεροντικῇ, οὗτοι διαπλέουσι τὸ πέλαγος τούτου τοῦ Κόσμου.

123. »Οἵτινες, προσκείμενοι ἀδιαλείπτως ὅλῃ ψυχῇ τῇ θεολογίᾳ καὶ τῇ θεοφροσύνῃ, καὶ ἀτάραχοι ὄντες, ἀποσκοποῦσιν εἰς τὰ μέλλοντα, οὗτοι διαπλέουσι τὸ πέλαγος τούτου τοῦ Κόσμου.

124. »Οἱ προσκυνοῦντες ἐκ καρδίας καὶ ὑμνοῦντες τὸν Βισνοῦν, τὸν παντοδύναμον, τὸν παγκρατῆ, καὶ παντεπόπτην, διαπλέουσι τὸ πέλαγος τούτου τοῦ Κόσμου.

125. »Οἳ σέβονται ὅλῃ ψυχῇ τὸν Βισνοῦν, καὶ ἀγαθὰ πράττουσι, καὶ καθαροί εἰσι παθῶν, καὶ ἄφθονοι, οὗτοι διαπλέουσι τὸ πέλαγος τούτου τοῦ Κόσμου.

126. » Οἱ μὴ ὄντες φειδωλοὶ, μηδὲ πλεονέκται, οἴτε ἀνέραστοι τῶν τοῦ Κόσμου, καὶ κατὰ μικρὸν συλλέγοντες τὴν ἀρετὴν, διαπλέουσι τὸ πέλαγος τούτου τοῦ Κόσμου·

127. Ὅστις ἀγαθὸς ὢν, ἐν νῷ ἔχει ἀεὶ τὸν ἀγαθὸν Θεὸν Βισνοῦν, τὸν μελάγχρουν καὶ λωτόφθαλμον, καὶ εἰς

αὐτὸν ἀτενῶς ἀφορᾷ, οὗτος τυγχάνει ἐκείνου τοῦ ἀϊδίου Θεοῦ.»

ΙΑΜΑΣ.

128. Ταῦτά σοι εἶπεν, ὦ ἀγαθή, ὁ θεῖος ἐκεῖνος Βραχμὰν, ἐννοῶν, ὡς διὰ τούτων διαπλεύσεις τὸν δεινὸν Κόσμον.

129. Μείνας δ᾽ ἐν τῷ οἴκῳ σου κατ᾽ ἐκείνην τὴν νύκτα, πρωῒ ἀναστὰς, ἀπῆλθεν, ὅθεν ἦλθε.

130. Ἐξ ἐκείνου δὲ τοῦ χρόνου, ὦ καλὴ, ἀνέραστος ἐγένου τῶν τοῦ Κόσμου, πόῤῥω πάσης ἐπιθυμίας οὖσα, καὶ τῇ ἀρετῇ προσκειμένη.

131. Καταλιποῦσα δὲ τὸν οἶκον, καὶ τὰ τοῦ οἴκου, καὶ πᾶν ἄλλο κτῆμα, ἐθεράπευες τοὺς Θεοὺς, τοὺς Βραχμᾶνας, καὶ τὰς βοῦς.

132. Πόῤῥω τοίνυν οὖσα πάσης ἐπιθυμίας τῶν τοῦ Κόσμου ἐξ ἐκείνης τῆς παραινέσεως τοῦ ξενισθέντος Βραχμᾶνος, θεωροῦσα τὸν χρυσὸν, ὡς βῶλον,

133. Ἐλέγχουσα σεαυτὴν ἐπὶ τοῖς πεπραγμένοις κακοῖς ἔργοις, καὶ ἄφεσιν αὐτῶν αἰτοῦσα, καὶ νηστείαν ἄκραν καὶ σκληραγωγίαν ποιοῦσα, ἐτελεύτησας.

134. Ἐκ δὲ τῆς διδασκαλίας καὶ χάριτος ἐκείνου τοῦ Βραχμᾶνος, καὶ ἐκ τῆς οἰκείας μετανοίας, ἐγεννήθης ἔπειτα ἐν οἴκῳ Βραχμᾶνος Θεολόγου· λυτρωθεῖσα δὲ τοῦ δεσμοῦ τῶν ἔργων, τεύξῃ μετ᾽ ὀλίγον τοῦ ὑψίστου Θείου.

ΒΗΣΜΑΣ.

135. Τούτων ἀκούσασα ἡ μεγαλοφυὴς Σουβρατὰ, λίαν ἐθαύμασε· καὶ ἀφεῖσα τὴν ἣν εἶχε λύπην, ἔφη τῷ φαινομένῳ Βραχμᾶνι·

ΣΟΥΒΡΑΤΑ.

136. Ὦ θειότατε, καὶ πρὸς ἐμὲ φιλοφρονέστατε, σὺ τίς εἶ, ὁ ὢν ὑπέρλαμπρος (τοσοῦτον πάνσοφος), καὶ γνώστης τῶν παρελθόντων;

137. Οἱ θεωρητικοὶ πάντα οἴδασι, τὰ παρελθόντα, καὶ τὰ ἐνεστῶτα, καὶ τὰ μέλλοντα, τά τε ὁρατὰ καὶ ἀόρατα, καὶ τὰ ἐγγὺς καὶ πόῤῥω ὄντα.

138. Οὕτω γὰρ λέγουσιν οἱ σοφοὶ καὶ ἅγιοι Βραχμᾶνες· χάρισαί μοι οὖν, καὶ εἰπὲ, τίς εἶ σὺ ὁ μεγαλόφρων;

ΙΑΜΑΣ.

139. Ἐγώ εἰμι ὁ Ἰάμας· ἦλθον δ' ἐνθάδε διὰ χάριν σου· χάριν αἴτησον, οἵαν ἐθέλεις· εὖ σοι γένοιτο!

ΣΟΥΒΡΑΤΑ.

140. Ἡ ἐμὴ μήτηρ, καὶ ὁ ἐμὸς σοφὸς πατὴρ καὶ οἱ λοιποὶ εἰκεῖοι, καὶ συγγενεῖς, καὶ εὐμενεῖς, ὦ θειότατε,

141. Ὅσοι ἀφίκοντο εἰς τὴν σὴν χώραν, καὶ ὅσοι ἀφίξονται, ἅπαντες ἔστωσαν ἐν οὐρανῷ μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

ΒΗΣΜΑΣ.

142. Εἰπὼν δ' ὁ πρὸς πάντας φιλόφρων, Ἰάμας, «Οὕτως ἔστω,» καὶ τιμηθεὶς, ὡς ἔδει, ἄφαντος ἐγένετο.

143. Ἡ δὲ μεγαλοφυὴς Σουβρατὰ ἄλυπος ἐγένετο· καὶ ἀνέραστος οὖσα τῶν τοῦ Κόσμου, ἄσκησιν ἐποίει ἐν ἐκείνῳ τῷ ἄλσει.

144. Ἦν δὲ θεραπεύουσα τοὺς ὁσίους Βραχμᾶνας, σχολά-

ζουσα ἀγαθοῖς ἔργοις, ἐσθίουσα ῥίζας καὶ ὀπώρας καὶ ἄπειρος πάσης τρυφῆς,

145. Καὶ προσκειμένη τῇ νηστείᾳ καὶ ἐγκρατείᾳ, καὶ τῇ πρὸς τοὺς θεοὺς λατρείᾳ, ἔτυχε μετ' οὐ πολὺ τῆς θείας γνώσεως.

146. Ἀκολουθοῦσα δὲ τῇ δειχθείσῃ ὁδῷ ὑπὸ τῶν ἐρημιτῶν Βραχμάνων, καὶ βοηθουμένη τῇ χάριτι ἐκείνου τοῦ ξενισθέντος θεόφρονος Βραχμᾶνος,

147. Μεγάλην εὐλάβειαν ἔχουσα πρὸς τὸν Βισνοῦν, καὶ μηδένα ἄλλον γινώσκουσα ὑπέρτερον τοῦ Βισνοῦ,

148. Δοῦσα πάνθ' ὅσα εἶχε, καὶ λυτρωθεῖσα τοῦ δεσμοῦ τῶν ἔργων, ἔτυχε τῆς ὑψίστης χώρας, ἧς ἐπιθυμοῦσιν οἱ ἐφιέμενοι ἀθανασίας.

149. Καὶ σὺ οὖν, ὦ μέγα Βασιλεῦ Ἰνδδιστίρα, λαβὼν φρόνησιν ὀρθὴν, λάτρευε, ὡς νενόμισται, τῷ Θεῷ τῶν θεῶν Βισνοῦ.

150. Ἔχων δὲ εὐλάβειαν πρὸς τὸν Βισνοῦν, τὸ ἔρεισμα τοῦ Παντὸς, θεράπευε, ὅση δύναμις, δωρεαῖς καὶ τιμαῖς τοὺς Βραχμᾶνας,

151. Οἵ εἰσιν εἰδήμονες τῶν τοῦ νόμου, καὶ φιλάρετοι, καὶ φιλόφρονες πρὸς τοὺς ἄλλους, καὶ ἀπέχουσι θυμοῦ καὶ πλεονεξίας.

152. Ἐφ' ᾧ ἥδονται οἱ Βραχμᾶνες, ἐπὶ τούτῳ ἥδεται καὶ ὁ Βισνοῦς· ὅθεν ὁ σεβόμενος τοὺς Βραχμᾶνας, τυγχάνει τοῦ ὑψίστου Θείου.

153. Πόρνη, ἁμαρτωλὴ, καὶ τῶν ἀλλοτρίων ἁρπακτικὴ, θεραπεύσασα ἕνα Βραχμᾶνα, ἐλυτρώθη τοῦ δεσμοῦ τῶν ἔργων.

154. Λύτρωσις γίνεται κατ' ὀλίγον τοῖς ἀγαθοφυέσι, τοῖς φιλαρέτοις, καὶ τοῖς φιλοῦσιν ἀγαθοποιεῖν ἄλλους· οὕτω

λέγουσιν οἱ ἅγιοι Βραχμᾶνες. Πρόσκεισο οὖν, ὦ Βασιλεῦ, τῇ πρὸς ἄλλους ἀγαθοποιΐᾳ.

155. Ἵνα ἀποφύγῃς τὴν γέννησιν, τὸν θάνατον, καὶ τὰ δεινὰ τοῦ Κόσμου, κατέφυγε, ὦ Βασιλεῦ, εἰς τὸν Βισνοῦν, τὸν ἀρχαῖον, τὸν κύριον τῶν τριῶν Κόσμων, τὸν λωτόφθαλμον, τὸν καταληπτὸν τῇ θεωρίᾳ, τὸν κάλλιστον, τὸν χαριτόβρυτον, καὶ ἄϋλον.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ θεοσεβείας.

ΒΑΪΣΣΑΜΠΑΪΑΝΑΣ.

1. Προσκυνήσας εὐλαβῶς ὁ Ἰνδδιστίρας τὸν Βήσμαν, τὸν θεοσεβῆ, τὸν μεγαλόφρονα, τὸν θεωρητικὸν, τὸν φιλάνθρωπον, τὸν νικητὴν τῶν αἰσθήσεων, τὸν ἄμωμον,
2. Τὸν ἀκαταγώνιστον καὶ αὐτοῖς τοῖς θεοῖς, τὸν φιλαλήθη, τὸν νικητὴν τοῦ θυμοῦ, τὸν φιλογενῆ,
3. Τὸν ἔχοντα μεγάλην εὐλάβειαν ἔργῳ τε καὶ λόγῳ πρὸς τὸν Βισνοῦν, τὸν κύριον τοῦ Κόσμου, τὸν ἄξιον καταφυγῆς, καὶ φιλάγαθον·
4. Προσκυνήσας αὐτὸν τὸν Βήσμαν, τὸ δοχεῖον τῶν ἀρετῶν, τὸν ἱλαρὸν, καὶ σεβάσμιον, ἠρώτησεν·

ΙΝΔΔΙΣΤΙΡΑΣ.

5. Ἄλλοι μὲν λέγουσιν ἐξαίρετον τὴν ἀρετὴν, ἄλλοι δὲ τὸν πλοῦτον, ἄλλοι δὲ τὴν τρυφὴν, ἄλλοι δὲ τὴν ἀθανασίαν.
6. Ἄλλοι δὲ, οἳ νομίζουσιν ὡς βῶλον τὸν χρυσὸν, ἐπαινοῦσι

τὴν θεογνωσίαν· ἄλλοι δὲ ἐπαινοῦσι τὴν ἀνοχὴν, τήν τε εὐσπλαγχνίαν (τόν τε οἶκτον), καὶ τὴν εὐθύτητα.

7. Ἄλλοι δὲ ἐξαίρετον λέγουσι τὴν δόσιν, ἄλλοι δὲ τὴν μάθησιν, ἄλλοι δὲ πᾶσαν ἐπιστήμην (τὴν γνῶσιν τῶν ὄντων), ἄλλοι δὲ τὴν ἀπάθειαν.

8. Ἄλλοι ἐξαίρετον οἴδασι τὴν τῶν θυσιῶν τελετὴν, καὶ ἄλλοι, οἱ ὄντες θεολόγοι, τὴν θεοφροσύνην.

9. Ἄλλοι δὲ πολυειδῶς λέγουσι περὶ κτήσεως μόνον τῶν τεσσάρων τούτων εἰδῶν, ἀρετῆς, πλούτου, τρυφῆς, καὶ ἀθανασίας.

10. Πολυειδῶν οὖν ὄντων τῶν φιλοσοφικῶν λόγων καὶ δογμάτων, οἱ ἐν Κόσμῳ ἄνθρωποι ἀποροῦσι τί πρακτέον, καὶ τί μή.

11. Ἄξιος ἄρα σὺ εἶ, ὁ πάντα ἐπιστάμενος, εἰπεῖν μοι περὶ τούτου.

ΒΗΣΜΑΣ.

12. Ἄκουσον τοῦτο τὸ ἄξιον ἀκοῆς καὶ γνώσεως, τὸ ὂν λίαν μυστικὸν, καὶ ἀπαλλακτικὸν τοῦ πελάγους τούτου τοῦ Κόσμου.

13. Ἐπὶ τούτου, οὗ ἠρώτησάς με, τοῦτον τὸν παλαιὸν ἐπάγουσι λόγον, τὸν διάλογον τοῦ Βραχμᾶνος Πουνδαρήκα, καὶ τοῦ Θεοῦ Ναράδα.

14. Ἦν Βραχμάν τις, Πουνδαρήκας τοὔνομα, μεγαλόφρων, καὶ εὐπαίδευτος· ἦν δ' ἐκ τῆς τάξεως[1] τῶν ἀγάμων καὶ μαθητῶν, καὶ ὑπήκοος τοῖς διδασκάλοις.

15. Ἦν ἐγκρατὴς τῶν αἰσθήσεων, καὶ τοῦ θυμοῦ, προσκεί-

---

(1) Τέσσαρές εἰσιν αἱ τάξεις τῆς ζωῆς τῶν Βραχμάνων· πρώτη μὲν ἡ τῶν ἀγάμων καὶ μαθητευόντων· δευτέρα δὲ ἡ τῶν ἐγγάμων· τρίτη ἡ τῶν ὑλοβίων· τετάρτη δὲ ἡ τῶν πλανωμένων.

μενος τῇ προσευχῇ, καὶ ἔμπειρος τῆς Βεδας, καὶ πάσης ἐπιστήμης.

16. Κατὰ δὲ τὴν ἀνατολὴν καὶ τὴν δύσιν τοῦ ἡλίου καθαρᾷ καρδίᾳ ἐθεράπευε τὸ πῦρ τρισὶ ξυλαρίοις[1], θεωρῶν τὸν Βισνοῦν τὸν κύριον τῆς θυσίας.

17. Ἦν προσκείμενος τῇ ἐγκρατείᾳ καὶ τῇ ἀναγνώσει τῆς Βέδας, ὡς ἄλλος υἱὸς τοῦ Νόμου, καὶ κομίζων καθ' ἑκάστην πρὸς τὸν διδάσκαλον ὕδωρ, καὶ ξύλα καύσιμα, καὶ ἄνθη.

18. Ἦν ὑπήκοος τῷ πατρὶ καὶ τῇ μητρὶ, ἐσθίων ἐξ αἰτήσεως, ἄφθονος, ἀναγινώσκων θεολογικὰ βιβλία, καὶ κρατῶν τῆς πνοῆς.

19. Τούτῳ τῷ βλέποντι πάντας ἐξ ἴσου, καὶ ἀνεράστῳ ὄντι τῶν τοῦ Κόσμου, γνῶσις ἐγένετο, διαπλευστικὴ τοῦ πελάγους τούτου τοῦ Κόσμου.

20. Ἀφεὶς δὲ τὸν πατέρα, τὴν μητέρα, τοὺς ἀδελφοὺς, τοὺς πάππους, τοὺς θείους, τοὺς φίλους, τοὺς συγγενεῖς, τοὺς οἰκοίους,

21. Τὸν πλοῦτον, τὴν περιουσίαν, τὸν πατρικὸν οἶκον, πλήρη παντὸς ἀγαθοῦ, καὶ καρποφόρον γῆν,

22. Ἀφεὶς πάντα ταῦτα, ὁ μεγαλόψυχος, ὡς σκύβαλα, περιήρχετο ταύτην τὴν γῆν περιχαρῶς, ἐσθίων λάχανα, καὶ ῥίζας, καὶ ὀπώρας.

23. Φρονῶν δὲ πρόσκαιρον τὴν νεότητα, τὴν εὐμορφίαν, τὴν ζωὴν, καὶ πάντα τὸν πλοῦτον, κατεφρόνει πάντων τῶν ἐν Κόσμῳ.

24. Κατὰ δὲ τὴν προσταγὴν τῶν θείων γραφῶν, γνώμην

---

(1) Ὅτε μαθητεύει ὁ Βραχμὰν, τρία μόνον ξυλάρια τίθησι, καὶ θεραπεύει τὸ πῦρ, ὃ ἐστι σύμβολον τοῦ Θεοῦ.

ἔθετο πορευθῆναι κατὰ τὸν καιρὸν εἰς πάντα τὰ ἁγιάσματα, καὶ εἰς πάντας τοὺς ἁγίους τόπους.

25. Τοιαύτην οὖν γνώμην θέμενος, ἐπορεύθη εἰς τὴν Γαγγὰν, εἰς τὴν Ἰαμουνὰν, εἰς τὴν Γοματὴν, εἰς τὴν Γανδακήν,

26. Εἰς τὴν Σαταδροῦν, εἰς τὴν Παϊοσνὴν, εἰς τὴν Σαραϊοῦν, εἰς τὴν Σαρασϐατὴν, εἰς τὴν Πραϊάγαν, εἰς τὴν Ναρμαδὰν, καὶ εἰς τὸν μέγαν ποταμὸν Σόναν.

27. Ἐπορεύθη εἰς τὴν Γαϊὰν, καὶ εἰς πάντας τοὺς ἁγίους τόπους τοὺς ἐν τῷ ὄρει Βινδδεξ̃, καὶ Ἰμαῷ, εἴς τε τὴν Ναϊμίσαν, καὶ εἰς τὴν Πουσκάραν.

28. Πρὸς δὲ τούτοις καὶ εἰς τοὺς ἁγίους τόπους, τοὺς ὄντας ἐν τῇ Κουρουξέτρᾳ, καὶ ἐν τῷ ὄρει Δϐαρδάνᾳ, καὶ εἰς ἄλλους.

29. Τελευταῖον δὲ ἀφίκετο αὐτὸς ὁ μεγαλόφρων Πουνδαρήκας καὶ εἰς τὸν ἅγιον καὶ σεϐάσμιον τόπον Σαλαγράμαν,

30. Ὅς ἐστιν οἴκημα ὁσίων καὶ ἁγίων ἀνδρῶν, ἐξάκουστος ὢν ἐν τοῖς ἀρχαιολογικοῖς βιϐλίοις, καὶ ἠγλαϊσμένος τῷ ποταμῷ Σακραναδῇ, ἔνθα εἰσὶ χάλικες, κυκλοειδεῖς χαρακτῆρας ἔχοντες.

31. Ἔστι δὲ τόπος ἐκτεταμένος, τερπνὸς, θυμήρης, μοναστικός· οἱ δὲ ἐνοικοῦντες κυκλικὰ ἐγκαύματα φέρουσι, καὶ ἡδέως διάγουσι.

32. Εἰς αὐτὴν τὴν ἁγίαν γῆν Σαλαγράμαν ἐλθὼν αὐτὸς ὁ μεγαλόφρων Πουνδαρήκας, χαίρων προσεκύνησε τοὺς ἁγίους τόπους, λουσάμενος ἐν τῇ Δεϐαχρίδᾳ, ἐν τῇ Σαρασϐατῇ,

33. Ἐν τῇ Ζατισμαρῇ, ἐν τῇ Σακρακούνδᾳ, ἐν τῇ Βαμανασράμᾳ, καὶ ἐν τῇ Μισρακούνδᾳ· ταῦτα δὲ τὰ ἁγιάσματά εἰσι περὶ τὴν Σακραναδήν.

34. Περιῆλθε δὲ καὶ πάντας τοὺς ἐκεῖ λοιποὺς ἁγίους τό-

πους· ἐκ δὲ τῆς χάριτος αὐτῶν τῶν ἁγίων τόπων, περιχαρὴς τὴν ψυχὴν ἐγένετο, καὶ καθαρὸς τὴν καρδίαν, προσκείμενος τῇ θεωρίᾳ.

35. Ἐπιθυμῶν δὲ τῆς ἐντελεχείας, καὶ λατρεύων τῷ Βισνοῦ, τῷ κυρίῳ τοῦ Κόσμου, κατὰ τὴν ἐντολὴν τοῦ νόμου μετὰ πολλῆς τῆς εὐλαβείας,

36. Πολὺν χρόνον ἐκεῖ διέτριψε, μονάζων, φέρων ψύχος καὶ καῦμα, κρατῶν τῶν αἰσθήσεων, ῥίζας, λάχανα, καὶ ὀπώρας ἐσθίων, αὐτάρκης ὢν, καὶ βλέπων πάντας ἐξ ἴσου.

37. Ἐγκρατείᾳ οὖν χρώμενος, καὶ ἀσκήσει, καὶ σκληραγωγίᾳ, καὶ τῆς πνοῆς κρατῶν καὶ τῶν αἰσθήσεων, καὶ νήφων, θεωρίαν ἀτενῆ ἐποίει εἰς Θεὸν ἀεί.

38. Ἐκ δὲ τῆς γνώσεως τῶν Βεδῶν, καὶ τῶν ἐπιστημονικῶν καὶ ἀρχαιολογικῶν βιβλίων, φρονῶν, ὡς ὁ Θεός ἐστιν, ὁ κρατῶν, καὶ διοικῶν τοῦτο τὸ Πᾶν, ἔτυχε τῆς ἐντελεχείας,

39. Ἄπειρος ὢν ἐπιθυμίας καὶ μίσους, πράττων τὰ τοῦ νόμου, λατρεύων νοερῶς τῷ Βισνοῦ, τῷ Θεῷ τῶν θεῶν,

40. Αὐτὸς ὁ πανευδαίμων, καὶ φιλόπονος Πουνδαρήκας, ὁ ἐφιέμενος τῆς ἄκρας ἡδονῆς, τῆς ἀθανασίας, διὰ τῆς πρὸς τὸν Θεὸν θεωρίας.

41. Πολὺν δὲ χρόνον διέτριψεν ἐν ἐκείνῃ τῇ γῇ Σαλαγράμᾳ αὐτὸς ὁ μεγαλόφρων Πουνδαρήκας.

42. Καί ποτε ἦλθεν εἰς ἐκεῖνον τὸν τόπον ὁ Θεὸς Ναράδας, ὁ ὢν πανέκλαμπρος καὶ μεγάλην εὐλάβειαν ἔχων πρὸς τὸν Βισνοῦν, ἰδεῖν ἐφιέμενος αὐτὸν τὸν μέγαν ἀσκητὴν Πουνδαρήκαν.

43. Ἰδὼν δ' ὁ Πουνδαρήκας ἐλθόντα τὸν μεγαλόνοα Ναράδαν, πανέκλαμπρον ὄντα καὶ πανένδοξον,

44. Ἀναστὰς μετὰ χαρᾶς καρδίας, ἐτίμησεν αὐτὸν, καὶ προσεκύνησεν, ὡς εἰκός.

45. « Τίς οὗτος ὁ λαμπρὸς καὶ ὑπερφυὴς τὸ σχῆμα, ὁ ἔχων ἀγλαὸν φόρεμα, καὶ πρόσωπον ἡδὺ, καὶ κιθάραν φέρων ἐν χειρὶ, καὶ πλοκάμους ἐπὶ κεφαλῆς;

46. »Μῶν ὁ Ἥλιός ἐστιν; ἢ ὁ Ἀγνής; ἢ ὁ Ἴνδρας; ἢ ὁ Βαρούνας;» Τοιαῦτα διασκεψάμενος, ἠρώτησεν αὐτόν·

ΠΟΥΝΔΑΡΗΚΑΣ.

47. Τίς σὺ, ὦ θεσπέσιε, καὶ πανέκλαμπρε; ἢ πόθεν ἦλθες ἐνθάδε; ἡ σὴ θέα δύσκτητός ἐστι τοῖς ἐν γῇ ἁμαρτωλοῖς ἀνθρώποις.

48. Ὄναρ τοῦτο βλέπω; ἢ ὕπαρ; Τοιαῦτα ἀποροῦντί μοι, ἄξιος εἶ εἰπεῖν, ἐρωτώμενος.

ΝΑΡΑΔΑΣ.

49. Ἐγώ εἰμι ὁ Ναράδας, ἐπιθυμήσας θεάσασθαί σε· τοιαύτη, καὶ τοσαύτη ἐστιν ἡ δύναμις τῆς σῆς θεοσεβείας!

50. Ὁ θεοσεβὴς, εἰ καὶ ἐλάχιστος, ἁγνίζει ἀνελπίστως διὰ τῆς ἐνθυμήσεως, διὰ τῆς ἐντεύξεως, ἢ διὰ τῆς πρὸς αὐτὸν τιμῆς.

51. Ἐγώ εἰμι ὁ δοῦλος τοῦ Βισνοῦ, τοῦ Θεοῦ τῶν θεῶν, τοῦ ἔχοντος ἐν χερσὶ τόξον, κόγχον, τροχίσκον, καὶ κορύνην, καὶ τοῦ ὄντος μόνου ὀφθαλμοῦ τῶν τριῶν Κόσμων.

ΒΗΣΜΑΣ.

52. Τούτων ἀκούσας ὁ εὐσεβὴς Πουνδαρήκας, καὶ ἡσθεὶς ἐπὶ τῇ θέᾳ τοῦ Ναράδα, ἔλεξεν ὑπερήδιστα·

ΠΟΥΝΔΑΡΗΚΑΣ.

53. Μακάριος ἐγώ εἰμι ἐν ἀνθρώποις, ἐπειδὴ ἐτιμήθην σήμερον καὶ ὑπὸ θεῶν· σήμερον οἱ γονεῖς μου ἔτυχον τοῦ ποθουμένου, καὶ ἡ γέννησίς μου ἐπωφελὴς ἐγένετο.

54. Ποίησαί μοι χάριν, ὦ Θεέ· ἐγώ εἰμι λάτρις σὸς κατ' ἐξοχήν· τί ποιήσω, ὃς περιπλανῶμαι εἰς τοῦτον τὸν Κόσμον ἐκ τῶν ἐμαυτοῦ πράξεων;

55. Ἄξιος ἄρα εἶ διδάξαι με τὸ πρακτέον, ὅ ἐστι θεῖον καὶ μυστικόν· σὺ γὰρ εἶ ἡ σωτηρία πάντων τῶν ἀνθρώπων, καὶ κατ' ἐξοχὴν τῶν θεοσεβῶν.

ΝΑΡΑΔΑΣ.

56. Πολυειδῆ εἰσι τὰ φιλοσοφικὰ δόγματα· πολυειδῆ τὰ περὶ τῶν θυσιῶν, καὶ ἱερουργιῶν· πολυειδῆ καὶ τὰ ἔθιμα καὶ νόμιμα· ἐκ δὲ τούτου ἀμφίγνοια καὶ ἀπορία ἐπιγίνεται τοῖς ἀνθρώποις.

57. Ἄλλοι μὲν τῶν φιλοσόφων, οἱ καταφρονοῦσι τῶν τῆς ὕλης, φρονοῦσιν, ὡς τὸ Πᾶν τοῦτο ἀνείδεόν ἐστι καὶ ἀνύπαρκτον, καὶ διὰ τοῦτο τὰ δεινὰ καὶ ἀγαθὰ τῶν ἀνθρώπων ἀνυπόστατά εἰσι καὶ φαντασιώδη, καὶ ἡ αἴσθησις αὐτῶν, ὡς ἐν ὀνείρῳ.

58. Ἄλλοι δὲ δοξάζουσιν, ὡς τὸ Πᾶν τοῦτο γίνεται ἐκ τῆς ὕλης, καὶ ἀνείδεόν ἐστι, καὶ εἰς τὴν ὕλην διαλύεται.

59. Ἄλοι δὲ φιλόσοφοι δοξάζουσιν, ὡς αἱ ψυχαὶ πολλαί εἰσι, καὶ ἀΐδιοι, αἱ οὖσαι ἐν πᾶσι τοῖς ἐμψύχοις.

60. Ἄλλοι δὲ φρονοῦσιν, ὡς ἐν ὅσῳ ἐστὶ τὸ σῶμα, καὶ ἡ ψυχή ἐστι· καὶ ἄλλη μὲν μεγάλη, ἄλλη δὲ μικρὰ, ὡς ἐν τῷ ἐλέφαντι, καὶ ἐν τῷ σκώληκι.

61. Ἄλλοι δὲ δοξάζουσιν, ὡς τὸ Πᾶν τοῦτο ἀένναόν ἐστι,

καθὼς τὸ ῥεῦμα τοῦ ποταμοῦ· καὶ καθώς ἐστιν ἡ ὕπαρξις καὶ ἡ ἐνέργεια τοῦ Κόσμου, οὕτως ἔσεται καὶ εἰς αἰῶνας αἰώνων.

62. Ὅ,τι ἐστὶν ὀφθαλμοφανὲς, τοῦτό ἐστι, καὶ οὐχ ἕτερον Ποῦ οὐρανός; ἢ τάρταρος; Οὕτως ἕτεροι φρονοῦσιν.

63. Ἄλλοι δὲ λίαν κακόφρονες καὶ ἄθεοι λέγουσιν, ὡς τὸ Πᾶν τοῦτο ἀδέσποτόν ἐστι καὶ ἀπροστάτευτον.

64. Καὶ ἄλλοι ἄλλως πολυειδῶς συλλογιζόμενοι, λέγουσι κατὰ τὸν νοῦν ἑαυτῶν, κατὰ τὴν μάθησιν, καὶ κατὰ τὰ ἃ ἔχουσι φρονήματα, καὶ δόγματα.

65. Πολυειδεῖς εἰσιν αἱ συλλογιστικαὶ ἀποδείξεις· πολυειδῆ καὶ τὰ φιλοσοφικὰ δόγματα. Οὐκ ἔστι εἷς μόνος φιλόσοφος, οὗ ὁ λόγος ἀπόδειξις καὶ βεβαίωσις εἴη ἄν· τὸ δ' ὀρθὸν καὶ ἀληθινὸν κεῖται ἐν ἀδύτῳ καὶ ἀποκρύφῳ τόπῳ. Ἐκείνη ἐστὶν ὀρθὴ καὶ εὐθεῖα ὁδὸς, ἣν ὁδεύουσιν ἀγαθοὶ ἄνδρες.

66. Ἄκουσον μετὰ προσοχῆς, ὦ Βραχμάν· λόγον γὰρ λέγω σοι ὑψηλὸν καὶ ἀπόκρυφον, καὶ ἀπαλλακτικὸν τοῦ φοβεροῦ Κόσμου.

67. Ἡ ὅρασις οὐ βλέπει τὰ μέλλοντα, τὰ παρελθόντα, καὶ τὰ πόῤῥω ὄντα, ἀλλὰ τὰ παρόντα.

68. Ὅθεν, εἰ τὰ συμπεράσματα καὶ οἱ συλλογισμοὶ ἀπόδειξις ἦν βεβαία, πῶς οἱ ἄνθρωποι, οἱ πιστεύοντες τοῖς ἀποδεικτικοῖς συλλογισμοῖς, οὐ βλέπουσι τὸν Θεὸν, καὶ τὰ λοιπὰ ἀόρατα;

69. Ὁ θεῖος λόγος, ὁ ἐρχόμενος ἐκ παραδόσεως τῶν πρώην ἁγίων πατέρων, καὶ λεγόμενος ὑπ' ἀνδρῶν ἱερῶν, ἀπόδειξίς ἐστι βεβαία, καὶ δεικτικὴ τοῦ ὑψίστου Θείου.

70. Ἐκ γὰρ τῆς συνεχοῦς μελέτης αὐτοῦ τοῦ θείου λόγου, θεία γνῶσις γίνεται, ἀπαλλακτικὴ τῶν παθῶν· οὗτος λέγεται θεῖος λόγος.

71. Ἔστι δὲ τὸ Θεῖον, τὸ ᾀειχαρὲς, τὸ ἄϋλον, τὸ ἄφθαρτον, τὸ μονοειδὲς, τὸ ἀσύγκριτον, τὸ ἀνείδεον,

72. Τὸ αὐτοκατάληπτον, τὸ ἀΐδιον, τὸ αἰώνιον, τὸ ὑπὲρ αἴσθησιν, ὁ νοῦς, τὸ ἀθάνατον, ἡ γνῶσις, τὸ ἀτελεύτητον, τὸ ἀγέννητον, τὸ ἀμετάτρεπτον,

73. Τὸ ἀόρατον μὲν, ὁρατὸν δὲ διὰ τῆς ὁρατῆς κτίσεως, τὸ μόνιμον, τὸ ὀνομαζόμενον Βισνοῦς, διότι πανταχοῦ πάρεστι, τὸ ὂν μὲν ἀδιαίρετον, ὂν δὲ, ὡς διῃρημένον,

74. Τὸ γνωστὸν μὲν τοῖς θεόφροσι καὶ θεοσεβέσιν, ἄγνωςον δὲ τοῖς ἀθέοις καὶ ἀσεβέσι. Καί τοι δ' οὕτως ἔχει τὸ Θεῖον, θεωρεῖται δ' ὅμως ὑπὸ τῶν ἀνοήτων ἐν διαφόροις ὀνόμασι καὶ μορφώμασι θεῶν.

75. Ἄκουσον μετὰ προσοχῆς, ὦ ἀγαθέ· λέξω γάρ σοι, ὃ ἤκουσα πάλαι παρὰ τοῦ Βραχμᾶ, ἐρωτήσας αὐτόν.

76. Πάλαι ποτε προσκυνήσας, ὡς ἔδει, τὸν λωτογενῆ, καὶ προπάτορα Βραχμᾶν, ἠρώτησα αὐτόν.

77. Τίς ἐστιν ἡ ἀνωτέρα γνῶσις; τίς ἡ ἀνωτέρα θεωρία; τοῦτο φράσον μοι, ὡς ἔχει, ὦ σεβάσμιε πάτερ.

ΒΡΑΧΜΑΣ.

78. Ἄκουσον μετὰ προσοχῆς, ὦ υἱὲ, τὴν ὑπερτάτην γνῶσιν καὶ θεωρίαν, ἣ ἔχει ὀλίγα μὲν λόγια, πολλὰ δὲ νοήματα, καὶ πόνον οὐ προξενεῖ ἐν τῇ πράξει.

79. Ὁ Θεὸς, ὁ ὢν ἀνώτερος τῆς ὕλης καὶ τῶν τῆς ὕλης δυνάμεων, καὶ ἡ ψυχὴ πάντων τῶν ὄντων, λέγεται Νάρα.

80. Τὰ δὲ ὄντα, ὡς γεγονότα ὑπὸ τούτου τοῦ Νάρα, λέγονται Ναρά· καὶ ἐπειδὴ αὐτὰ τὰ Ναρὰ οἴκημά ἐστι τοῦ Θεοῦ, διὰ τοῦτο ὁ Θεὸς λέγεται Ναραϊάνας.

81. Ἐπειδὴ δὲ τοῦτο τὸ Πᾶν ὑπὸ τοῦ Ναραϊάνα γίνεται ἐν τῇ κοσμογονίᾳ, διὰ τοῦτο εἰς αὐτὸν πάλιν διαλύεται ἐν τῇ πανωλεθρίᾳ.

82. Ὁ Ναραϊάνας ἐστὶ τὸ ὑπέρτατον Θεῖον, τὸ ὑπέρτατον Ὂν, τὸ ὑπέρτατον φῶς, καὶ ἡ ὑπερτάτη ψυχή.

83. Αὐτός ἐστιν ὁ ὑπέρτερος παντὸς ὑπερτέρου, καὶ οὐδείς ἐστιν ὑπέρτερος αὐτοῦ· αὐτός ἐστιν ὁ ὑπέρτατος Θεὸς, καὶ ἡ ὑπερτάτη ἀφθαρσία.

84. Αὐτός ἐστι τοῦτο τὸ μέγα Πᾶν, τὸ φαινόμενον· αὐτός ἐστιν ὁ ὕψιστος Θεός· αὐτός ἐστιν ἡ σύστασις πάντων τῶν ὄντων, καὶ ὁ ὑπέρτατος (πανυπέρτατος) πάντων.

85. Ὅ,τι ἐν τούτῳ τῷ Κόσμῳ ὁρᾶται, ἢ ἀκούεται, ὅ,τι αἰσθητὸν, ἢ νοητὸν, τοῦτο πᾶν αὐτὸς ὁ Ναραϊάνας πληροῖ, καὶ περιέχει.

86. Οὕτω φρονῶν καὶ θεωρῶν ἀτενεῖ τῇ διανοίᾳ ἐκεῖνον τὸν Θεὸν, τὸ ὌΜ, λέγε συνεχῶς· « Προσκύνησις τῷ Ναραϊάνα. »

87. Ὅστις γὰρ θεωρεῖ ἀεὶ ἀτενεῖ τῇ διανοίᾳ τὸν Θεὸν τὸν Ναραϊάναν, τί δεῖ τούτῳ δόσεως χρημάτων πρὸς ἄλλους, ἢ προσκυνήσεως ἁγίων τόπων, ἢ ἀσκήσεως, ἢ θυσιῶν ;

88. Αὕτη ἐστιν ἡ ὑπερτάτη γνῶσις, καὶ ἡ ὑπερτάτη θεωρία· τίς ἀνάγκη ἄλλων πολλῶν νομικῶν ἢ φιλοσοφικῶν δογμάτων, ἅ εἰσιν ἐναντία ἀλλήλοις ;

89. Καθὼς ὅμως αἱ ὁδοὶ, εἰ καὶ πολλαὶ, εἰς μίαν καὶ τὴν αὐτὴν πόλιν φέρουσι τοὺς ἀνθρώπους, οὕτω καὶ αἱ δόξαι πᾶσαι εἰς ἐκεῖνον τὸν Θεὸν ἄγουσιν.

90. Ἐκεῖνος ὁ Θεός ἐστιν ἐν πᾶσιν, ὁ διαφανὴς, ὁ ἀκραιφνὴς, ὁ ἀφανὴς, ὁ ἀΐδιος, ὁ ἀρχέγονος, ὁ ἄναρχος, ὁ ἀτελεύτητος, ὁ αὐτογένεθλος, ὁ παντουργός.

91. Ὁ Βισνοῦς, ὁ Κύριος, ὁ ἀκατανόητος, ὁ ἀΐδιος, ὁ αἴτιος

τῶν αἰτίων καὶ αἰτιατῶν (παναίτιος), ὁ Βασουδέβας, τὸ οἴκημα τοῦ Κόσμου, ὁ παλαιὸς, ὁ σοφὸς, καὶ ὁ ἀναλλοίωτος.

92. Ἐπειδὴ τοῦτο τὸ Πᾶν, κινητὸν καὶ ἀκίνητον, ἔχει τὴν ὕπαρξιν ἐκ τοῦ Θεοῦ, διὰ τοῦτο ὁ Θεὸς ὀνομάζεται Βισνοῦς.

93. Ἐκεῖνος ὁ Θεός ἐστι τὸ οἴκημα πάντων τῶν ὄντων, ἐπειδὴ καὶ τὰ αἴτια καὶ τὰ αἰτιατὰ πάντα εἰς αὐτὸν ἐπανέρχονται ἐν τῷ τέλει τοῦ αἰῶνος· διὰ τοῦτο καὶ καλεῖται Βασουδέβας.

94. Ἐκεῖνον τὸν Θεὸν ἄλλοι μὲν λέγουσι Πουρούσσαν, ἄλλοι δὲ ἡγεμόνα ἄφθιτον, ἄλλοι δὲ γνῶσιν, ἄλλοι δὲ Βραχμαπαρὰμ (ὕψιστον Θεῖον).

95. Ἄλλοι δὲ λέγουσι χρόνον, ἄναρχον καὶ ἀτελεύτητον· ἄλλοι δὲ ζωὴν ἀΐδιον· ἄλλοι δὲ ὑπερτάτην ψυχὴν (πνεῦμα) ἄλλοι δὲ ἀπαθῆ.

96. Ἄλλοι δὲ λέγουσι καρδιογνώστην, ἄλλοι δὲ ὑπερούσιον, ἄλλοι δὲ δακτυλιαῖον τὸ μέγεθος, καὶ ἄλλοι λεπτὸν, ὡς τὴν κόνιν τοῦ ἄνθους.

97. Αὗται καὶ ἄλλαι τοιαῦται πολυωνυμίαι τοῦ Βισνοῦ λέγονται ὑπὸ τῶν σοφῶν ἐν βιβλίοις, αἳ ἀμφίγνοιαν καὶ ἀμηχανίαν τοῖς ἀνθρώποις προξενοῦσιν.

98. Εἰ γὰρ ἦν μία γνώμη τῶν φιλοσόφων ἐν κόσμῳ, ἐγίνετο ἂν καὶ γνῶσις ἀναμφίβολος· πολλῶν δ' οὐσῶν τῶν γνωμῶν, ἡ γνῶσις τοῦ ἀληθοῦς δυσπόριστός ἐστιν.

99. Ἐγὼ ἐρευνήσας κατὰ βάθος πάντα τὰ ἱερὰ βιβλία, καὶ θεωρήσας ἀκριβῶς, τοῦτο μόνον εὕρηκα τὸ κύριον, ὅτι ὁ Ναραϊάνας θεωρητέος ἐστιν ἀεὶ, καὶ λατρευτέος.

100. Ἡ γὰρ πρὸς τὸν Ναραϊάναν συνεχὴς θεωρία καὶ λατρεία, τὸ τέλος ἐστὶ καὶ ὁ σκοπὸς πάντων τῶν ἱερῶν

βιβλίων· ὅστις δὲ ποιεῖ θεωρίαν τοῦ Ναραϊάνα, οὗτος σύνεστιν αὐτῷ.

101. Ἀφεὶς οὖν πάντας τοὺς δογματικοὺς λόγους, τοὺς ἀμφίγνοιαν καὶ ἀμηχανίαν ἐμποιοῦντας, θεώρει ἀτενεῖ τῇ διανοίᾳ τὸν Ναραϊάναν, τὸν ἀγέννητον Θεόν.

102. Ὅστις γὰρ καὶ ἐν ὀλίγῳ χρόνῳ θεωρεῖ τὸν Ναραϊάναν, νήφων, οὗτος πορεύεται πρὸς αὐτόν· πολλῷ μᾶλλον ὁ ἀεὶ σχολάζων τῇ θεωρίᾳ.

103. Οὕτως οὖν θεωρῶν ἀεὶ τὸν ἀναλλοίωτον Θεὸν τῶν θεῶν, ταχέως ἑνωθήσῃ αὐτῷ· οὐδεμία ἐνταῦθα ἀμφιβολία. »

ΝΑΡΑΔΑΣ.

104. Ἀκούσας ἐγὼ ταύτην τὴν δυσπόριστον γνῶσιν καὶ θεωρίαν, τὴν ῥηθεῖσαν ὑπὸ τοῦ Βραχμᾶ, ἦν ἀεὶ προσκείμενος τῇ πρὸς τὸν Ναραϊάναν θεωρίᾳ.

105. Ὅστις γινώσκει τὸν αἰώνιον Θεὸν, καὶ ἐν καιρῷ θανάτου ἐκφωνεῖ· « Προσκύνησις τῷ Ναραϊάνᾳ, » οὗτος τυγχάνει τοῦ ὑψίστου τόπου τοῦ Βισνοῦ.

106. Ταῦτ᾽ ἄρα ὁ φρόνιμος θεόφρων φρονείτω, ὡς ὁ Ναραϊάνας, τὸ ὕψιστον καὶ ἀΐδιον Θεῖον, θεωρητέος ἐστιν ἀεὶ ἀτενεῖ τῇ διανοίᾳ.

107. Ὁ Ναραϊάνας, τὸ ὕψιστον καὶ ἀΐδιον Ὂν, ὁ πληρῶν τὰ πάντα, καὶ ὁ ποιῶν, καὶ τρέφων, καὶ ὀλλύων τὰ πάντα,

108. Καὶ ἀκοῇ, καὶ διανοίᾳ, καὶ θεωρίᾳ, λατρευτέος ἐστιν ἀεὶ ὑπὸ τοῦ ἀνθρώπου, τοῦ ἐφιεμένου τοῦ οἰκείου ἀγαθοῦ.

109. Οἱ αὐτάρκεις, οἱ ὀλιγαρκεῖς, οἱ θεόφρονες, οἱ ἐγκρατεῖς τῶν αἰσθήσεων, οἱ ἄμοιροι φιλαυτίας, οἰήσεως, φιλίας, καὶ μίσους (ἔχθρας),

110. Οἱ ἀδιάφοροι, οἱ πραεῖς, οἱ φιλήσυχοι, καὶ προσκεί-

μενοι τῇ θεωρίᾳ, οὗτοι πάντες ἀεὶ βλέπουσι τὸν ποιητὴν τοῦ Παντός.

111. Οἱ προσκείμενοι τῷ Ναραϊάνᾳ διὰ τῆς πρὸς αὐτὸν θεωρίας, γινώσκουσιν ἀληθῶς καὶ πραγματικῶς ὡς

112. αὐτός ἐστιν ὁ περιέπων, καὶ βλέπων εἰς αἰῶνας αἰώνων τὰ ἐνεστῶτα, τὰ παρῳχημένα, τὰ μέλλοντα, τὰ πόῤῥω ὄντα, καὶ πᾶν αἰσθητὸν, καὶ νοητόν.

113. Οἱ δὲ ὀλιγόνοες, οἱ δύστροποι, καὶ ψευδέσι σοφίσμασιν ἐπιστηριζόμενοι, ἀγνοοῦσιν αὐτὸν τὸν Θεὸν, ἐπειδὴ ἔγκεινται τοῖς ὑλικοῖς.

114. Καὶ σὺ οὖν αὐτὸς, ὦ Βραχμὰν, ἔσο προσκείμενος τῷ Ναραϊάνᾳ· ἐκτὸς γὰρ ἐκείνου τίς ἄλλος ἐστὶ μεγαλόδωρος, καὶ ἱκανὸς διδόναι τὸ αἰτούμενον;

115. Ὡς πατέρα, καὶ μητέρα σέβου καὶ ἀσπάζου ἐκεῖνον τὸν ὑπεράνθρωπον, τὸν Θεὸν τῶν θεῶν, καὶ Κύριον τοῦ Κόσμου.

116. Ποίει ἀεὶ ἐπιμελῶς σπονδὰς (λοιβὰς) εἰς τὸ πῦρ, προσευχὰς, λουτρὰ, ἄσκησιν, καὶ τῆς Βέδας ἀνάγνωσιν, ἀναφέρων αὐτὰ εἰς τὸν Θεὸν τῶν θεῶν.

117. Σέβου καὶ ἀσπάζου τὸν Θεὸν τῶν θεῶν· οὕτω γὰρ ποιοῦντι, τί σοι δεῖ πολλῶν εὐχῶν; τί σοι δεῖ πολλῶν νηστειῶν καὶ ἐγκρατειῶν;

118. Ἀρκεῖ αὕτη μόνη ἡ εὐχὴ, « Προσκύνησις τῷ Ναραϊάνᾳ· » ἀποτελεσματικὴ γάρ ἐστι πάντων τῶν ἐφετῶν.

119. Οὐδέν τοι διαφέρει, εἴτε ῥακενδύτης, εἴτε πλοκαμοφόρος, εἴτε τριῤῥαβδοῦχος, εἴτε κουρίας, εἴτε λαμπροφόρος εἴη ὁ εὐχόμενος· τὸ γὰρ μοναστικὸν καὶ ἀσκητικὸν σχῆμα οὐκ ἔστιν αἴτιον τῆς ἀρετῆς.

120. Οἱ προσκείμενοι τῷ Ναραϊάνᾳ τυγχάνουσι τῆς ὑψίστης χώρας ἐν οὐρανῷ, εἰ καὶ ἄσπλαγχνοι (σκαιοὶ), καὶ δύστροποι, καὶ ἁμαρτωλοὶ πεφύκασι.

121. Οἱ φιλόθεοι καὶ καθαροὶ τὴν καρδίαν οὐ χραίνονται ἁμαρτήμασι· καθαίρουσι δὲ καὶ φωτίζουσι πάντας τοὺς ἄλλους, καθὼς ὁ ἀνατέλλων λαμπρὸς ἥλιος.

122. Ὅςτις ἐν πολλαῖς γεννήσεσι τοιαῦτα ἐννοεῖ, » Ἐγώ εἰμι δοῦλος τοῦ Θεοῦ τῶν θεῶν, τοῦ Ναραϊάνα, »

123. Οὗτος ἀναμφιβόλως ἑνοῦται τῷ Βισνοῦ· πόσῳ μᾶλλον οἱ ὄντες θεωρητικοὶ, καὶ νικηταὶ τῶν αἰσθήσεων ;

ΒΗΣΜΑΣ.

124. Τοιαῦτα εἰπὼν ὁ Ναράδας, ἄφαντος ἐγένετο, ὁ πρόθυμος εἰς ἀγαθοποιΐαν, καὶ τὸ ἀγλάϊσμα τῶν τριῶν Κόσμων.

125. Ὁ δὲ Πουνδαρήκας, ὁ φιλάρετος, ἦν προσκείμενος τῷ Ναραϊάνᾳ, ἐκφωνῶν συνεχῶς· « Προσκύνησις τῷ Ναραϊάνᾳ. »

126. Θεὶς δὲ ἐν τῇ ἑαυτοῦ καρδίᾳ τὸν Θεὸν, ἔλεγεν ἀεὶ « Ἐλέησόν με, (ἵλεώς μοι ἔσο), ὦ πανάγαθε ».

127. Ἐπιθυμῶν δὲ τοῦ ἄκρου ἐφετοῦ, ἐπὶ πολὺ διέτριψε μονάζων ἐν τῇ χώρᾳ Σαλιγράμᾳ, τῇ τερπνῇ, καὶ παραιτίῳ τῆς τελειότητος.

128. Οὐδέ γε ὕπνος ἦν αὐτῷ, ὁ ἐχθρὸς τοῦ ἄκρου ἐφετοῦ· εἰ δέ ποτε ὕπνωττεν, οὐδέν τι ἄλλο ἔβλεπεν, ἀλλ' ἢ τὸν Θεόν.

129. Διὰ δὲ τῆς σκληραγωγίας, διὰ τῆς παρθενίας, διὰ τῆς καθαριότητος, διὰ τῆς πολλαῖς ἐν γεννήσεσιν ἀρετῆς,

130. Καὶ διὰ τῆς χάριτος τοῦ Θεοῦ τῶν θεῶν, τοῦ μόνου ὀφθαλμοῦ παντὸς τοῦ Κόσμου, ἔτυχε τῆς ἄκρας καὶ θείας ἐντελεχείας αὐτὸς ὁ ἀναμάρτητος Πουνδαρήκας.

131. Ἔβλεπε τὸν ἐν τῇ καρδίᾳ ὄντα Θεὸν, ἔχοντα κόγχον

καὶ τροχίσκον, καὶ κορύνην ἐν χερσὶ, καὶ κροκωτὸν περιβόλαιον, καὶ μέλαν χρῶμα.

132. Οἱ λέοντες, οἱ τίγρεις, καὶ οἱ λοιποὶ αἱμοβόροι θῆρες, ἀφέντες τὴν ἣν εἶχον ἔμφυτον ἀντιπάθειαν, συνήρχοντο περὶ τὸ κατάλυμα τοῦ Πουνδαρήκα,

133. Καὶ περιήρχοντο ἀσμένως, ἥμερον καὶ ἱλαρὸν ἦθος, καὶ φιλοφροσύνην πρὸς ἀλλήλους δεικνύοντες.

134. Τὰ δ' ὕδατα τῶν λιμνῶν καὶ τῶν Ποταμῶν διειδῆ ἐφαίνοντο, καὶ ὁ αἰθὴρ καθαρὸς, καὶ ὁ οὐρανὸς λαμπρὸς ἐκ τῶν πλανήτων καὶ ἀστέρων.

135. Οἱ δ' ἄνεμοι ἡδὺ ἦσαν πνέοντες, καὶ τὰ δένδρα ἀνθοφόρα, καὶ καρποφόρα· πάντα ἦσαν χαρίεντα χάριν αὐτοῦ τοῦ κεχαριτωμένου.

136. Ἱλαροῦ ὄντος τοῦ Θεοῦ τῶν θεῶν, πᾶν ἔμψυχον καὶ ἄψυχον ἱλαρὸν καὶ ἡδὺ ἐφαίνετο αὐτῷ τῷ ἱλαρῷ.

137. Καί ποτε ὁ Θεὸς Βισνοῦς, ὁ κύριος τοῦ Κόσμου, ἐπεφάνη σωματικῶς αὐτῷ τῷ θεόφρονι Πουνδαρήκᾳ,

138. Λαμπρὸς τὸ πρόσωπον, ὡς ἡ σελήνη, κόγχον, καὶ τροχίσκον καὶ κορύνην ἔχων ἐν χερσὶ, καὶ κροκωτὸν περιβόλαιον, καὶ στέφανον περὶ τὸν τράχηλον ἐξ ἀνθέων,

139. Κεκοσμημένος διαδήματι, ἐνωτίοις, βραχιονίοις, ὅρμῳ ἐκ μαργάρων καὶ ἀδαμάντων, ζώνῃ χρυσῇ, καὶ τῇ Σρηβάτσᾳ ἐπὶ τοῦ στήθους,

140. Ἄλλοις τε λαμπροῖς κοσμήμασιν ἀγλαϊζόμενος, καὶ ἀργυρῷ οὐρανίσκῳ, κροσσοὺς πέριξ ἔχοντι ἐκ μαργάρων, ῥιπιζόμενος ῥιπιδίοις, ἐποχούμενος ἐπὶ τοῦ Γαρούδα, ὥσπερ ἐπὶ μέλανος ὄρους,

141. Καὶ περιεπόμενος πᾶσι τοῖς θεοῖς μετὰ τοῦ Ἴνδρα, τοῖς Σίδδαις, τοῖς Γανδάρβαις, τοῖς ὁσίοις, καὶ ἁγίοις, καὶ θεοσεβέσι, καὶ δικαίοις ἀνδράσι, καὶ ταῖς θείαις νύμφαις.

142. Αὐτὸν τὸν Θεὸν τῶν θεῶν ἰδὼν ὁ Πουνδαρήκας, ἐνώ-

σας τὰς παλάμας, κλίνας τὴν κεφαλὴν καὶ τὸ γόνυ, προσεκύνησε μετὰ δέους.

143. Μεγάλην δὲ χαρὰν ἔλαβε δι' ὅλων τῶν αἰσθήσεων ὁ Πουνδαρήκας, ὥσπερ πίνων τὸν Θεὸν διὰ τῶν ὀφθαλμῶν, ὥσπερ φθεγγόμενος, ὥσπερ ὀσφραινόμενος, ὥσπερ

144. Ἀγγαλιζόμενος διὰ τῶν βραχιόνων, καὶ ὥσπερ λείχων διὰ τῆς γλώττης,

145. Ἔπεσε πρηνὴς κατὰ γῆς, καὶ ἑνώσας τὰς παλάμας, ὕμνησε τὸν Θεὸν μετὰ χαρᾶς καρδίας.

ΠΟΥΝΔΑΡΗΚΑΣ.

146. Προσκύνησις σοὶ τῷ Βισνοῦ, τῷ μόνῳ ὀφθαλμῷ παντὸς τοῦ Κόσμου, τῷ ἀχράντῳ, τῷ ἀϊδίῳ, τῷ ἀΰλῳ, καὶ συστατικῷ τῆς ὕλης.

147. Σὲ λέγουσιν ἔρεισμα τοῦ Κόσμου, αὐτοτελῆ, μὴ ὑποπίπτοντα τῇ αἰσθήσει, ἁπλοῦν (ἀνείδεον), νοερὸν, ὕψιστον, καὶ ἀναλλοίωτον.

148. Προσκύνησις σοὶ τῷ Βισνοῦ, τῷ παλαιῷ, τῷ ἀρχεγόνῳ, (ἀρχιδημιουργῷ) καὶ αἰτίῳ τῆς γενέσεως, τῆς ὑπάρξεως καὶ τῆς φθορᾶς τοῦ Κόσμου.

149. Σὺ εἶ τὸ ὌΜ, τὸ κατάλυμα τοῦ Κόσμου· σὺ εἶ ὁ Κύριος πάντων, καὶ ὁ Θεὸς τῶν θεῶν.

150. Σὺ εἶ ὁ Γοβίνδας, ὁ ἔχων ἐν σημαίᾳ τὸν Γαρούδαν, καὶ ὁ λαμβάνων πολλὰς μορφὰς, εἰς ἀπαλλαγὴν τῶν θλίψεων τῶν θλιβομένων, καὶ εἰς χάριν (εὐποιΐαν) τῶν εὐσεβῶν.

151. Οἱ σοφοὶ λέγουσιν, ὡς ἐν σοί ἐστι τοῦτο τὸ Πᾶν, καὶ ἐκ σοῦ αὐτοῦ συνίσταται· σὺ εἶ κεχωρισμένος τούτου τοῦ Παντὸς, καὶ τὸ Πᾶν ἀχώριστόν ἐστιν ἐκ σοῦ.

152. Προσκύνησις σοὶ τῷ ἔχοντι λωτὸν ἐπὶ τοῦ ὀμφαλοῦ,

καὶ ἀνακειμένῳ ἐπὶ τῶν ὑδάτων, καὶ γνωριζομένῳ διὰ τῆς Βέδας, καὶ θεολογίας.

153. Σὺ εἶ τὸ ἐμὸν καταφύγιον, ὦ καταφυγὴ, καὶ κύριε τοῦ Κόσμου· ἵλεως ἐμοὶ γενοῦ, ὁ ὢν ἐν τῇ καρδίᾳ πάντων, καὶ ὁ κρατῶν κόγχον καὶ τροχίσκον καὶ κορύνην.

154. Προσκύνησις σοὶ τῷ Βισνοῦ, τῷ ἀρχαιοτάτῳ πάντων τῶν ὄντων, καὶ πολλὰς μορφὰς ἀναλαμβάνοντι.

155. Ἡ φύσις σου, ὦ Κύριε, ἄῤῥητος λέγεται· πῶς ἂν γνωσθείης ἀκριβῶς, ὁ ὢν ἀνείδεος, καὶ ἄποιος.

156. Ἀλλὰ καὶ οὕτω, γνωστὸς εἶ, ὦ ὑπεράνθρωπε, διὰ τῶν διαφόρων μορφῶν τοῦ Βραχμᾶ, καὶ τῶν λοιπῶν Θεῶν, ἃς λαμβάνεις χάρις τῶν εὐσεβῶν·

ΒΗΣΜΑΣ.

157. Τοιούτοις θυμήρεσι λόγοις ὕμνησε τὸν Θεὸν ὁ Πουνδαρήκας, βλέπων ἀκορέστως, ὃν διὰ πολλοῦ ἐπεθύμει ἰδεῖν.

158. Ὁ δὲ Θεὸς εἶπε πρὸς αὐτὸν τὸν πανευδαίμονα Πουνδαρήκαν βαθείᾳ τῇ φωνῇ·

ΒΙΣΝΟΥΣ.

159. Ἥσθην ἐπὶ σοὶ, ὦ μεγαλόφρων Πουνδαρήκα· εὖ γε! αἴτησον χάριν· δώσω γάρ σοι, ὅτι ἐστιν ἐν τῇ καρδίᾳ σου.

ΒΗΣΜΑΣ.

160. Ἀκούσας ὁ μεγαλόφρων Πουνδαρήκας, τοιαῦτα εἰπόντος τοῦ Θεοῦ, ἀπεκρίνατο ἱκετικῶς·

ΠΟΥΝΔΑΡΗΚΑΣ.

161. Ποῦ ἐγὼ ὁ κακόφρων; καὶ ποῦ ἡ πρὸς ἐμέ σου θέα; ὅ,τι ἐστιν εἰς ἐμὴν ὠφέλειαν, τοῦτο πρόσταξον, ὦ Θεέ.

ΒΗΣΜΑΣ.

162. Ἀκούσας δ' ὁ Θεὸς, εἶπε πάλιν τῷ πανευδαίμονι Πουνδαρήκᾳ, ἱσταμένῳ εὐλαβῶς·

ΒΙΣΝΟΥΣ.

163. Ἀγαθόν σοι ἔστω, ὦ ἀγαθέ· ἐλθὲ μετ' ἐμοῦ, καὶ ἔσο μετ' ἐμοῦ ἀεί.

ΒΗΣΜΑΣ.

164. Τοιαῦτα εἰπόντος εὐμενῶς τοῦ Θεοῦ, θεῖα τύμπανα ἐκρούοντο, καὶ ἄνθη ἐξ οὐρανοῦ ἔπιπτον.

165. Ὁ δ' Ἴνδρας, καὶ οἱ θεοὶ, καὶ οἱ Σίδδαι, καὶ οἱ Ἰάξαι, καὶ οἱ Νάγαι, καὶ οἱ Γανδάρβαι, καὶ οἱ Κιννάραι, ἐβόων· « εὖγε! εὖγε! »

166. Κρατήσας δ' ἔπειτα ἐκ τῆς χειρὸς ὁ Θεὸς τὸν Πουνδαρήκαν, καὶ καθίσας αὐτὸν ἐπὶ τοῦ Γαρούδα, ἀνῆλθεν εἰς τὸν οὐρανὸν, ὑμνούμενος ὑπὸ τῶν θεῶν.

167. Καὶ σὺ οὖν, ὦ Βασιλεῦ Ἰνδδιστίρα, σέβου τὸν Θεὸν εὐλαβῶς, ἔχων τὸν νοῦν καὶ τὴν διάνοιαν εἰς αὐτὸν, καὶ φιλόφρων ὢν πρὸς πάντας.

168. Τιμῶν δὲ καὶ θεραπεύων τὸν Θεὸν, ἄκουε τῶν περὶ Θεοῦ λόγων, τῶν καθαρτικῶν, καὶ ἀπαλλακτικῶν παντὸς πάθους.

169. Ποίει ἐκτενῶς πᾶν ἔργον καὶ πάντα τρόπον, ἐφ' ᾧ ἄσμενος γίνεται ὁ Βισνοῦς, ὁ Κύριος τῶν κυρίων καὶ ἡ ψυχὴ τοῦ Παντός.

170. Ὁ μὴ ἀποϐλέπων καὶ ἐλπίζων εἰς τὸν Ναραϊάναν, οὐ τυγχάνει καλῆς στάσεως, εἰ καὶ πολλὰς ἱπποθυσίας θύσειε.

171. Ἐγὼ καταφεύγω εἰς σὲ τὸν μόνον Θεὸν, τὸν ἀγήρω, τὸν ἀθάνατον, τὸν νοητὸν, τὸν ἄναρχον, τὸν ἀτελεύτητον, τὸ δοχεῖον τῆς ὕλης, τὸν ἀρχαῖον, τὸν φαινόμενον, τὸν ἀφανῆ, τὸν ἀσύγκριτον, τὸν καταληπτὸν τῇ θεωρίᾳ, καὶ κύριον τῶν τριῶν Κόσμων.

172. Οἷα ἀπολαμϐάνει, ὅςτις ἀκούει τῆς μεγάλης βίϐλου Βαράτας, καὶ ἔπειτα δίδωσι τῷ ἀναγινώσκοντι καὶ ἑρμηνεύοντι Βραχμᾶνι κλίνας, στρώματα, ἱμάτια, τροφὰς,

173. χρυσίον, ἀργύριον, βόας, βουϐάλους, αἶγας, πρόϐατα, γῆν, καὶ οἴκους, τοιαῦτα ἀγαθὰ ἀπολαμϐάνει καὶ ὅςτις ἀκούει ταύτης τῆς μικρᾶς βίϐλου.

174. Ὅ,τι ἐφετώτατόν ἐστιν ἐν κόσμῳ, τοῦτο διδότω ἀφθόνως ὁ ἄνθρωπος· ὅςτις γὰρ οὐ δίδωσιν, οὐχ εὑρίσκει οὔτ' ἐν τῷ παρόντι οὔτ' ἐν τῷ μέλλοντι βίῳ.

175. Αὕτη ἡ Ἰτιχασασαμουτσάϊα ἐντελὴς ἐγένετο τριάκοντα καὶ δύω [1] Κεφαλαίοις ψυχωφελέσι (διηγήσεσι)· στίχοι δὲ ἐμπεριέχονται ἐν αὐτῇ τρισχίλιοι, καὶ τριακόσιοι, καὶ τρεῖς πρὸς τοῖς τριάκοντα, οἳ ἔῤῥευσαν ἐκ τοῦ μελιῤῥύτου στόματος τοῦ Βεάσα.

---

(1) Τὸ Κεφαλαιον περὶ τῆς μυθολογίας τῆς βοὸς οὐ συναριθμεῖται, ἐπειδὴ οὐκ ἔστι τῆς Μαχαϐαράτας, ἀλλὰ τῆς Βρινδαϐαναμαχάτμας.

ΠΙΝΑΞ

ΚΕΦΑΛΑΙΩΔΗΣ.



ΤΕΛΟΣ.

A




LIBRARY OF CONGRESS
0 010 133 454 5